Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Homeri Iliadis carmina

https://hdl.handle.net/1874/235356

# HOMERI

# ILIADIS CARMINA

CUM APPARATU CRITICO

EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA

PARS PRIOR. Carm. I—XII

LUGDUNI BATAVORUM
APUD A. W. SIJTHOFF
MDCCCLXXXVII

mm 12285

W. oct.
2116

# HOMERI ILIAS

W. oct. 2116

# HOMERI

# ILIADIS CARMINA

CUM APPARATU CRITICO

EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA

BIBLIOTHEEK DER UNIVERSITEIT TE UTRECHT

LUGDUNI BATAVORUM

APUD A. W. SIJTHOFF

MDCCCLXXXVII

VIRO CLARISSIMO

C. G. COBET

MAGISTRO VENERANDO

GRATI DISCIPULI

In fronte libri neque rationes nostras defendere in animo est neque impugnare alienas. Ea enim criseos Homericae est condicio, ut si de singulis quaestionibus illuc pertinentibus varia virorum doctorum placita referre diiudicare velis, intra praefationis angustos cancellos continere te nequeas. Itaque ea cuncta differenda duximus; dabitur autem occasio opiniones nostras exponendi et asserendi in Enchiridio dictionis Homericae quod, magna ex parte iam nunc elaboratum, *'Επιλεγομένων* instar Iliadis Odysseaeque recensioni subiuncturi sumus, si modo vires nos non defecerint. Summarium autem eius libri, scholarum in usum lingua patria compositum, intra paucos menses in lucem prodibit, quod cedat in locum libelli anno 1883 a nobis evulgati [1]), quem nunc divenditum fere esse monuit nos bibliopola.

Una autem eademque ratione amplior breviorque grammatica erunt digestae, idem erit paragraphorum ordo et numerus; itaque lector sicubi hac Homeri recensione usus in annotatione legerit: „cf. n$^{0}$...", utrumque enchiridium citari sciat. Spes autem est fore ut intra temporis spatium non ita magnum poematum editio et dictionis Homericae grammatica duplex ad finem perduci possint; interim rogatos velimus lectores ne stomachentur cum ad libellos nondum emissos ablegari se videant.

Lectionum vitiosarum farraginem undecunque corradere noluimus. Aliquanto magis etiam chartis parcere posse nobis videbamur quam fecit Nauckius [2]), cum non nostrum duceremus denuo ostendere quod Cobetus

---

[1]) Het taaleigen der Homerische gedichten. — Leiden A. W. Sijthoff 1883.
(Der Dialect der Homerischen Gedichte, aus dem Holländischen übersetzt von Dr. E. Mehler. — Leipzig B. G. Teubner 1886.
Grammaire de la langue d'Homère, traduit du néerlandais par J. Keelhoff Dr. phil. — Mons H. Manceaux 1887.)

[2]) *Homeri Odyssea* ed. A. Nauck, Berolini ap. Weidmannos 1874; *Ilias* 1877, pars posterior 1879.

et Nauckius – ne plures nominemus – inter prudentes dudum evicerunt, vitiis omne genus cum alios codices scatere tum Homericos; in his grammaticae artisque metricae vel prima elementa passim contemni [1]), intercidisse syllabas vel tota vocabula, aliena per dittographiam aliisve causis irrepsisse, ordinem verborum etiamsi metrum obstaret sexcentis locis esse turbatum. Haec omnia vix quemquam hodie latere possunt; si quis autem nondum satis perspecta habeat aut quacunque de causa varietatem lectionis requirat integram, adeundae ei erunt copiae Larochii [2]), non convivis illae sed ipsis coquis paratae. Nos studiosae iuventutis potius commodis prospicere cupientes, ad Christii [3]) Rzachii [4]) Caueri [5]) rationem propius accessimus [6]); exemplar autem editionis Rzachianae recensioni nostrae pro fundamento substravimus, cum collectanea nostra, per adversaria et commentariolos variasque editiones sparsa, in unum corpus contrahere coepimus et in eam formam redigere ut typothetae tradi possent.

Minus parcos nos praestitimus in referendis virorum doctorum coniecturis, multamque operam dedimus ut suo singulae auctori tribuerentur. Qua in re non temere aliis credendum esse abunde experti sumus. In Bekkeri et Nauckii editionibus constanter fere omissa sunt criticorum nomina, cum pluris referre putarent quid dictum esset quam quis dixisset; qui tamen suas ipsorum coniecturas asteriscis insigniendo ultro concessisse videntur etiam nomina auctorum alicuius momenti esse. Sed praestat sane reticere quam falsa referre; in Christii autem et Rzachii annotationibus multae emendationes tributae sunt recentioribus et vel recentissimis quibusdam criticis, quae dudum a veteribus nostrae disciplinae heroibus essent occupatae. Quod non eo sane consilio dicimus ut horum editorum diligentiae, unde uberes fructus in

---

[1]) Multorum instar exemplorum est Υ 99, ubi metro et grammatica invitis *ἰθὺς βέλος* pro *ἰθὺ βέλος* (—◡◡—) legitur in optimis codicibus Veneto A, Laurentiano C, Syriaco rescripto, nec non in editionibus Flor. Ald. Rom.; quid quod fuit qui in codice A annotaret „*ἐν ἄλλῳ ἰθὺ χωρὶς τοῦ σ*", nec intellegeret una litura delendam esse literam importunam!

[2]) *Homeri Odyssea* ed. J. La Roche, Lipsiae ap. B. G. Teubner 1867, pars posterior 1868; *Ilias* 1873, pars posterior 1876.

[3]) *Homeri Iliadis carmina* seiuncta discreta emendata prolegomenis et apparatu critico instructa ed. G. Christ, Lipsiae ap. B. G. Teubner 1884.

[4]) *Homeri Iliadis carmina* ed. A. Rzach, Lipsiae ap. G. Freytag 1886, pars altera 1887.

[5]) *Homeri Odyssea* scholarum in usum ed. P. Cauer, Lipsiae ap. G. Freytag 1886, pars altera 1887.

[6]) Et proxime quidem ex his Rzachium secuti sumus, quo cum viro docto multis in rebus nobis convenire non sine gaudio vidimus. Cum Cauero vero prorsus facimus in *διεκτεταμέναις* quae dicuntur formis verborum contractorum reiciendis.

nostrum opus redundasse grati agnoscimus, obtrectemus aut nostram qualemcunque extollamus, sed ut a viris doctis, quorum in manus ventura est haec editio, petere possimus ne inclementius iudicent si forte asteriscos appositos viderint coniecturis quas ante nos ab aliis propositas esse sciant. Non dubitamus enim quin nobis acciderit [1]) quod aliis haud raro accidisse sciamus, sed talia condonari nobis posse speramus, nam aliquanto plures fortasse suis reddidimus auctoribus [2]), Heynio inprimis, cuius editionem criticam multis hodie immerito sordere nec satis a nostrae aetatis criticis pervolvi suspicamur.

---

[1]) Sic in annotatiuncula ad *Δ* 18 coniecimus *ναίοιτο* pro *οἰκέοιτο*, sero autem vidimus occupatam esse emendationem, quae Nauckio tribuenda fuerat et in textum recipienda. Eadem medela *Ξ* 116 *Υ* 218 a Nauckio sunt sanati.

[2]) Rei non rarae exempla quaedam in paginae calce afferenda videntur. Versu *Ι* 42 pro *ὥς τε νέεσθαι* editum videbis *ἀπονέεσθαι*, et emendationis rationem in notis redditam invenies. Quam correctionem Nauckio tribuunt Christius et Rzachius, et verum est sane in textu editionis Nauckianae eam extare; at non excogitavit eam Nauckius neque asterisco adscripto sibi vindicavit, sed desumsit ex Lehrsii libro, unde Bekkerus ante eum hauserat; in Bekkeri enim annotatione legitur: „*ἀπονέεσθαι* Lehrs. Arist. p. 160."

In *Π* 379 non *ἀνεκυμβαλίαζον* sed *ἀνεκυμβαχίαζον* esse legendum, quam observationem Doederlino tribuit Christius, Rzachius autem ne commemorandam quidem duxit, (nobis satis certa videtur correctio), ea non Doederlino debetur sed Valckenaerio (ad Eur. Phoen. 1158) et Heynio, vel potius protraxit uterque ex Hesychio et Eustathio, quorum verba lucide ostendunt inter veteres grammaticos fuisse qui -*χίαζον* legerent.

In *Σ* 460 non *ὃ* sed *ἃ* scribendum esse libenter concedimus Christio, neque aliter edituri sumus; nec tamen sequemur annotantem „*ἃ* Doederlein, *ὃ* codd.", licet apud Rzachium, qui *ὃ* in textu servavit, in annotatione critica repetatur „*ὃ*] *ἃ* Doederlein". At ante Doederlinum Bentleius idem dixerat, teste Heynio VII p. 513; et aliquot ante Bentleium seculis verum vidit grammaticus quidam ignotus, legimus enim in schol. BV: *τινὲς δὲ* „*ἃ γὰρ ἦν οἱ ὅπλα*".

Ad *Λ* 554 denique Rzachius annotat: „*τρέει* Nauckius", idemque apud Fickium legitur. In Rzachii corrigendis Nauckio adimitur emendatio, datur Ahrensio. At ipsa haec correctio correctione indiget, nam qui primus dixit, certe ante viros doctos Ahrensium et Nauckium dixit, est Heynius: „Homericum erat *τάς τε τρέει*".

Quam vivacia autem ipsa adeo sint menda typographica, hanc quoque rem, quamquam scribentibus satis superque notam, exemplo tamen uno et altero denuo comprobare liceat. In Nauckii recensione ad *Γ* 86 legimus „*ὄφρ' εἴπω* etc. (*Θ* 349) addunt C al."; idem refert Christius, idem Rzachius: frustra tamen *Θ* 349 verba allata quaeras, extant enim *Η* 349. — Ad *Λ* 385 a Rzachio citatur *ω* 81, et Helbig hom. Epos p. 165 sq. plus semel citat „Od. XXIV 81"; nec tamen Odyssea est adeunda sed Iliadis *Ω* 81. Utrique igitur viro docto, aut certe Helbigio quem Rzachius secutus est, fraudem fecit Th. Bergk, qui in poetarum lyricorum editione annotavit, Archilochi fragmentum 59 legi „Schol. Il. *ω* 81", suo more Iliadis libros literis minusculis designans. — Ad *Υ* 138 ab Heynio citatur versus *Ε* 744, eundemque numerum affert Rzachius; item in scholiorum editione Bekkeriana ad schol. *Υ* 138 adscriptum legitur *Ε* 744. Mirus sane in errore consensus; quem enim omnes volunt versum, extat ille *Ε* 774.

Zenodoti (**Zen.**) Aristophanis (**Aristoph.**) Aristarchi (**Ar.**) ἀθετήσεις ad paginarum calcem notavimus; qua in re multum nobis profuit utilissimus liber Ludwichii [1]), fidem Aristarchi post Lehrsium [2]) splendide vindicantis.

Locos parallelos cum neque sine magno detrimento omitti posse censeremus neque lectorum commodo (et nummis) satis consultum fore si in paginarum calce vel etiam in fine operis longa aridaque serie deinceps recenserentur, in margine dextro consignandos curavimus. In quo opere occupatis taedium devorare nobis vix et ne vix quidem contigisset, nisi ad manum fuisset liber Caroli Eduardi Schmidt *Parallel-Homer*, Goettingen 1885. Diligenter autem distinguendum duximus inter versus versuumve partes consimiles (**=**) et locos vocabulo uno pluribusve inter se differentes (**cf.**). Nonnulla quae afferri poterant scientes praetermisimus; prorsus vero inutile videbatur identidem monere de versiculis quibusdam passim repetitis, qui lectoribus vel unum diem in Homero versatis ignoti esse nequeunt: τὸν (τὴν) δ' ἀπαμειβόμενος προσέφη vel τὸν (τὴν) δ' ἠμείβετ' ἔπειτα.

Levioribus quibusdam quaestiunculis, ad orthographiam pertinentibus, lectores impedire noluimus; qualia sunt ν ephelcysticum omissum additumve, spiritus asper et lenis permutati, diaereseos signum diphthongis (ευ ει οι cett.) superadditum, elisionis vel aphaereseos signum adiectum, digamma insertum, accentus mutati. Quae de his dicenda erant in grammatica melius tractabuntur. In pronominum tantummodo personalium et possessivorum formis e re nostra duximus fideliter referre quid singulis locis exhiberent codices; itaque ne ὕμιν quidem pro ὑμῖν et similia scripsimus nisi admonito lectore. Et quoniam hanc rem tetigimus, breviter exponendum videtur quam in pronominibus secuti simus rationem. Cum igitur metro duce eo pervenissemus ut firmiter nobis constaret non duplices vel etiam triplices formas pronominum poetis epicis in usu fuisse sed ad unam normam cunctas revocari posse et debere [3]), circumspeximus quomodo id minimo molimine assequi liceret. Ad Aeolicas autem quae dicuntur formas ἄμμιν cett. reliquas corrigere poteramus sane, auctoribus Fickio [4]) et Sittelio [5])

---

[1]) ***Aristarchs Homerische Textkritik nach den Fragmenten des Didymos dargestellt und beurtheilt*** von A. Ludwich, Leipzig B. G. Teubner I 1884. II 1885.

[2]) K. Lehrs ***de Aristarchi studiis Homericis*** anno 1833; ed. alt. Lipsiae Hirzel 1865.

[3]) Vid. Mnemosyn. 1885 p. 188—221 et 400—428. Nunc conferri potest etiam Jos. Menrad ***de contractionis et synizeseos usu Homerico***, Monachii 1886.

[4]) In editione Odysseae et Iliadis: ***die homerische Odyssee in der ursprünglichen sprachform wiederhergestellt*** von A. Fick, Göttingen 1883, ***die homerische Ilias*** 1886.

[5]) In Philolog. XLIII p. 24 sq.; nisi quod ille ἀμμές ἀμμιν etc. praefert.

neque improbante Christio [1]); sed neque spiritus asper sine iusta causa abiciendus videbatur neque vocali ᾱ et toti illi aeolismo, cuius patronus nuper acerrimus extitit Fickius, ita favebamus ut ἄμμας pro ἡμέας et similia in textum invecta placere possent. Re igitur diu pensitata contrariam institimus viam: ἦμες ἦμας ἥμων ἦμιν ἡμός scripsimus, ὖμες ὖμας ὕμων ὖμιν ὑμός cett. [2]), et pro ἄμμε ὔμμε, quas ad dualem numerum referendas esse formas evicisse nobis videmur [3]), dedimus ἦμε ὖμε. Probe autem nobis conscii sumus hanc rationem, utpote in re minus certa, non ita stabiliri posse ut nullus dubitationi locus remaneat, sed tamen, nisi quis traditam formarum farraginem fovere velit, haec una medela et satis lenis et satis probabilis afferri posse videbatur.

Utrum ᾱ vocalis an potius η regnet in Homericis, haec quaestio, ad quam nos deducunt ea quae modo tetigimus, Fickio aliisque viris doctis tam gravis videtur ut vel totam crisin Homericam quodammodo inde pendere statuant [4]). Nos tamen longe minoris esse momenti et vix dirimi posse putamus. Libenter sane, si fieri posset, novum aliquod signum inveheremus in textum Homericum, ad indicandam vocalem *a* suapte natura longam, quam vocalem non solum inter Doricas gentes sed etiam apud Ionicos homines ab ē distinctam fuisse sono, neque satis apte igitur hodie ambiguo signo *H* passim designari, minime dubium videtur. Sed cum propter gravissimas rationes compescendum esse novandi studium probe intellegeremus, totam hanc quaestionem intactam relinquere et *Βιᾱνωρ ἀγήνωρ, ψᾱρῶν ψῆρας, ηὔδᾱ ηὐδήτην, ’πίτνᾱ ἵστη, ἀθάνατος ἠνεμόεις, ἆλτο ἐσήλατο* aliaque eiusmodi multa, prouti temere et casu olim divulgata sunt, immutata servare quam aut alteramutram vocalem usquequaque inculcare aut pauca quaedam ex multis corrigere satius duximus.

En alteram rem in qua dandum aliquid fuit consuetudini. Elisionis aphaereseosque signa in poetis Graecis innumera hodie leguntur et in pedestres quoque scriptores plura pluraque sensim irrepserunt. Ipsum tamen Aristarchum in textu Homerico ea certe vocabula, quae verendum videbatur ne obscura fierent si elisione decurtarentur, plena et imminuta perscripsisse ἐπὶ τὸ γνωριμώτερον, ex disertis testimoniis abunde

---

[1]) In Iliadis epilegomenis p. **734**.

[2]) De formis ἦμιν ὖμιν (et ἦμας ὖμας?), apud Sophoclem satis frequentibus, non sine fructu conferri potest Ellendt in *lexico Sophocleo* (p. 192 et 699 ed. Genthe).

[3]) Vid. Mnemos. l. l. p. 400 sqq.

[4]) „Das lange ᾱ, dieses sicherste kennzeichen nichtionischen ursprungs der epischen sprache" Fick Odyss. p. 16, et saepius.

constat [1]). Non facile autem dixeris cur in Graecis carminibus docta illa brevitas, quae hodie regnat, gratior utiliorve sit quam in Latinis, cur displiceant *monstr' horrend' inform' ingens* vel *sentir' e' aetat' eumps' ess' odios' alteri,* sed probentur *τοῦτ' ἐκεῖν' οὐγὼ 'λέγον* vel *ἀλλ' ἐῶ 'πολέσθαι τἄρι'* [2]), aut cur Graecae poeseos amatoribus hodiernis lectu difficiliora sint futura *τοῦτο ἐκεῖνο ὃ ἐγὼ ἔλεγον* et similia quam Latine scientibus sint versus Vergiliani et Plautini. Quidquid id est, in Homerico certe textu tali scribendi ratione gravia quaedam incommoda vitari possent et spinosae parumve fructuosae quaestiunculae praecidi satis multae; perspicuitati autem, id est lectoris commodo, melius sic consultum foret quam virgularum illa volitantium nubecula, quae in nova hac editione etiam densior est facta, ut appareret formas permultas quae olim decurtatae aut contractae esse credebantur (*-ει -εν -ου -μεν -οις -ης* cett.) revera per elisionem adaptatas esse versui heroico. At non quid fieri cuperemus quaerendum erat, sed quid sana ratione duce facere possemus et deberemus; cavendum autem ne deterrerentur lectores insolitis verborum figuris in textu notissimo obviis; cavendum ne in stuporem inciderent magis quam ad poetae studium pertraherentur. Neque editionem adornantibus scholarum praesertim usui destinatam quaelibet concessa nobis putabamus. Quapropter deteriorem morem sequendum duximus, meliorem tamen videntes et probantes.

Augmentum in Homericis passim suppressum non ex arcanis quibusdam syntaxeos rationibus explicari posse putamus, neque, ut viris doctis hodie multis placet, ex Vedarum lingua et ipsis igitur linguae Graecae incunabulis repetendum ducimus; nedum Ionicae (sive epicae) dialecti, quae Aristarchi erat opinio, proprium fuerit augmenti odium. Metricae tantummodo libertatis hoc nobis videtur indicium. Augmentum a veteribus cantoribus nunquam resectum esse censemus neque in recitando neglectum, sed urgente metro saepe tam breviter enunciatum ut quasi extra numeros positum non in legitima syllabarum morarumque serie recenseretur [3]). Non tamen illis locis invehere studuimus ubi posterioris aetatis ars metrica, severioribus legibus adstricta, id respueret. Non scripsimus igitur *ἔβη δ' ἀκέων παρὰ θῖνα*

---

[1]) Vid. schol. *Α* 323 *Δ* 441, 450 *Ν* 407 *Π* 854 *Χ* 336, 470 *ζ* 131. Neque desunt etiam nunc in codicibus simplicioris huius rationis exempla; sic *ἀστέρ' ὀπωρινῷ* *Ε* 5 exhibet omnium antiquissimus codex Ambrosianus (cf. Eustathius 514, 19). Plura dat La Roche *Hom. Textkritik* p. 396 sqq.

[2]) Ar. Lysistr. 240 et 734.

[3]) Formas autem augmento temporali munitas, e. g. *ἦγε - ἄγε*, cum ancipiti multorum verborum vocali, e. g. *α* in *Ἀπόλλων*, conferendas ducimus.

πολυφλοίσβοιο θαλάσσης aut δϝεινὴ δὲ κλαγγὴ ἐγένετ' ἀργυρέοιο βιοῖο aut ὅτι ῥα θνήσκοντας ὡρᾶτο, sed id unum nobis permissum putavimus ut ubicunque per metrum fieri posset augmentum adderemus [1]), versuum spondiacorum numerum augere aut bucolicam diaeresin violare religioni habentes, sed incisioni post arsin pedis tertii non praeferentes caesuram post tertium trochaeum, neque in versuum fine vitantes vocabula quadrisyllaba. Nam poetas epicos odisse caesuram post arsin quinti pedis, hanc legem, cui critici hodierni aliquid tribuere solent [2]), ipsis carminibus nihilo magis comprobari sensimus quam studium illud spondei, cui in pede primo veteres poetas indulsisse Bekkerus sibi aliisque olim persuasit [3]). Fidenter igitur scripsimus e. g. Z 313 Ἕκτωρ δὲ πρὸς δώματ' Ἀλεξάνδροι' ἐβεβήκει, et versu 495 ἄλοχος δὲ φίλη ϝοῖκόνδ' ἐβεβήκει, cum videremus in vicinia (vs. 513) extare τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ ἐβεβήκει, et in hac certe rhapsodia quintum pedem sic conformatum *septimo quoque versu* recurrere. Correctiunculas autem, quibus ad augmentum revocandum indulsimus, commemoravimus omnes; — unde multos asteriscos in annotationes irrepsisse subridentes vidimus: κοῦφα γὰρ δαπάνα sane fuit currente calamo usquequaque augmentum addere ubi sineret hexameter, et aliquanto graviora aliis locis a nobis observata esse speramus. Tacite restituimus augmentum sicubi literae textus recepti aliter tantummodo dividendae erant, ut in ὄσσε φάενθεν, τὸν δὲ λίπ', ἀλλ' ὅ γε δέκτο cett.; si tamen Aristarchi lectio cognita esset, hanc vel in talibus fideliter rettulimus. Tacite vero augmentum etiam verbis quae ab ευ diphthongo ordiuntur addidimus; cunctis scilicet locis Homericis haec augmento carent, ita ut in praefatione semel de iis monuisse sufficiat, cum praesertim talia verba ne in Atticorum quidem scriptorum textibus augmentum exhibere soleant, nec tamen ab ipsis Atheniensibus id omissum fuisse hodie vel ex lapidum testimoniis constet [4]).

Finem praefandi facturis redeunt in memoriam aurea verba quibus Nauckius ante hos novem annos usus est in Iliadis suae Prolego-

---

[1]) Assentientem habemus Fickium Il. p. 226: „augment ist überall zu schreiben wo es ohne schaden für den versbau geschehen kann". — Nullam autem rationem habuimus regulae de nihilo fictae, qua iterativas formas augmentum respuere vulgo traditur.

[2]) „Quintus pes dactylicus, qui caesuram post primam brevem quam qui post longam syllabam habet, numerosior est" Christ Prolegom. p. 122.

[3]) Hom. Blätter I 138.

[4]) Conf. K. Meisterhans *Gramm. d. att. Inschriften* p. 78 annot. 645.

menis [1]). „Quo plus laboris observandis et vindicandis Homerici ser- „monis legibus ipse impendi," — scripsit indefessae industriae vir idemque sagacissimus et feliciter audax — „eo magis licebit mihi „iuniores philologos admonere ut discere antea velint quam edocere „alios conentur." — Nos vix expectamus fore ut Nauckios et si qui alii in his studiis senuerunt nova docere possimus; discendi autem laborem non sane refugimus, et ad finem perductum nobis minime putamus. At idem reputantes longae arti penitus perdiscendae brevem vitam ne totam quidem sufficere, confidentes autem iam nunc a nobis praestari posse quod patriae certe iuventuti — nam ultra fines Batavos non evagatur nostra ambitio — gratum foret et utile, aggrediendum duximus opus quod proximo tempore ab aliis philologis susceptum iri desperabamus [2]). Si quis autem vitia castigando nos meliora docuerit, optime nobiscum actum censebimus: — *πλεόνων τοι Ϝέργον ἄμεινον.*

Dedimus Lugduni Bat. et Amstelodami
m. Novembri 1887.

---

[1]) Iliad. part. post. pag. X.

[2]) Abhinc quatuor annis in praefatione Summarii dictionis Homericae sic fere scripsimus: „utinam in usum nostrarum scholarum editio Homeri elaboraretur „duce sana illa ratione quam per longam vitam summus Magister noster Cobetus „tueri et discipulis suis ostendere non desiit; editio igitur similis fere Thucydideae „quam debemus curae viri cl. Van Herwerden". — Ex his verbis satis apparet quid voluerimus assequi; quid revera assecuti simus non nostrum est decernere.

# CODICUM NOTITIA.

---

Longe uberrimus et integerrimus textus scholiorumque fons est codex **A** = cod. Venetus Marcianus n⁰ 454 seculi X. Continet textum Iliadis cum scholiis veteribus; Aristarchi signa critica in fronte versuum appicta habet, quae desumta sunt ex Aristonici libro *de Aristarchi notis criticis* (περὶ σημείων τῆς Ἰλιάδος καὶ Ὀδυσσείας), Augusti tempore scripto. Interciderunt folia 19, in quibus scripti erant versus *E* 336—635, *P* 277—577, 729—761, *T* 126—326, *Ω* 405—504; seculo XV textus ex alio codice suppletus est. In his igitur 935 versibus codicis vix ulla est auctoritas. Scholia tertio fere p. C. seculo ab erudito aliquo viro sunt excerpta ex Aristonici libro supra laudato, et praeterea ex libris Didymi, qui Aristonici fuit aequalis, *de Aristarchi recensione* (περὶ τῆς Ἀριστάρχου διορθώσεως), Herodiani de *prosodia Homerica* (περὶ τῆς Ἰλιακῆς προσῳδίας), Nicanoris denique *de Homeri interpunctione* (περὶ στιγμῆς). Herodianus patrem habuit Apollonium Dyscolum grammaticum notissimum, et Romae floruit sub Marco Aurelio; Nicanor sub Hadriano vixit.

Ex hisce igitur quatuor libris excerpta scholia ad Iliadem et Odysseam postea ab indoctis librariis in breviorem brevioremque formam non sine sensus detrimento sunt contracta, tum intermixtis Porphyrii verbosis animadversionibus et aliorum observatiunculis futilibus vel etiam plane absurdis in immensum sunt adaucta. Dubitari autem nequit quin multae Alexandrinorum observationes criticae aut omnino interciderint aut ita mutilatae ad nos pervenerint ut verus sensus nos fugiat.

Aristarchi signa critica, supra commemorata, haec sunt:

1) *διπλῆ* (>—), qua indicatur in versu cui apposita legitur vocabulum rarius aut lectionem diversam occurrere aut aliud quiddam notatu dignum; e. g. *A* 3 „ἡ διπλῆ ὅτι τινὲς κακῶς γράφουσι *κεφαλάς*" (pro ψυχάς).

2) *διπλῆ περιεστιγμένη* (>÷—), ad redarguendos Zenodoti errores. E. g. *B* 239: „ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἑοῦ" (pro ἕο).

3) *ὀβελός* (—), ad notandos versus spurios vel certe aliqua de causa suspectos. E. g. *A* 29—31: „ἀθετοῦνται ὅτι ἀναλύουσι τὴν ἐπίτασιν τοῦ νοῦ καὶ τὴν ἀπειλήν". Est autem ubi *diple* et *obelus* coniunctim ponantur; e. g. *K* 240 *Ξ* 114.

4) *ἀστερίσκος* (※), ad designandos versus alibi perperam repetitos, e. g. *A* 12 sqq.; recurrunt enim vs. 372 sqq. — Illis autem versibus, quos Aristarchus aliunde irrepsisse censebat, *obelum cum asterisco* appingebat; e. g. *A* 372 sqq. — Interdum *asteriscum* comitatur *diple periestigmene*, e. g. *A* 208 sq.

Raro occurrunt *ἀντίσιγμα* (Ͻ), quo indicatur inserendos videri versus alibi positos, e. g. *B* 192, et *στιγμή* (•), *dubitationis signum*, quod Aristarchus allinebat versibus quos non suo loco legi censebat, e. g. *B* 203 *Θ* 538 *K* 397.

---

Ceteri codices, quorum lectiones cunctae fere in hac editione commemorabuntur, hi sunt:

**C** = Laurentianus XXXII 3, seculi XI.

**D** = Laurentianus XXXII 15, seculi XI vel XII. Casu exciderunt *P* 28—159 sive versus 132, consulto sunt omissi *B* 494—877 (navium recensio).

**Syr.** = codex rescriptus Syriacus, seculi fere V, qui libri *M* et sequentium partem continet magnam; totus liber *P* ceterorumque multi versus interciderunt [1]).

---

[1]) **Supersunt *M* 273—471, *N* 133—265, 333—398, 465—530, 663—728, 797—*Ξ* 20, 156—419, *O* 158—220, 356—421, 491—557, *Π* 199—261, 331—397, 666—731, 798—862, *Σ* 93—358, 426—492, *T* 136—268, 335—*Υ* 172, 306—*Φ* 397, 465—*X* 113, 181—378, *Ψ* 57—323, 457—589, 656—788, 856—*Ω* 20, 285—483.**

**Ambr.** = fragmenta codicis Ambrosiani picti, seculi V, quae librorum *Α Β Δ—Ρ Φ—Ω* versus 800 continent.

Praeterea in laciniis antiquissimorum papyrorum, ex Aegypti sepulcris protractorum, extat libri *Ν* initium et finis librorum *Σ* et *Ω*:

**Parisiensis** continet *Ν* 1—175.

**Harrisianus** continet *Σ* 311—617.

**Bankesianus** continet *Ω* 127—804.

---

Ex codicibus deterioribus ea tantum attulimus quae aut in textum recipienda aut ad veram lectionem indagandam utilia viderentur. Recensendi sunt h. l.:

**Eust.** = lectiones ab Eustathio in Commentariis memoratae.

**Ven.** = Veneti B M N apud LaRochium. Codex B (n° 453 seculi XI) propter scholia quantivis est pretii, sed propter textum vix semel et iterum commemorandus fuit.

**Townl.** = Townleianus seculi XI. – Ex codd. B et Townl. descripta sunt scholia L (Lipsiensis) et V (Victoriani Monachensis n° 16, qui sola scholia sine textu continet).

**Harl.** = Harleianus 5693.

**Cant.** = Cantabrigensis 300.

**Lips.** = Lipsiensis 1275.

**Vind.** = Vindobonenses G H L apud LaRochium.

**Mor.** = Mori episcopi Eliensis codex.

**Barocc.** = Baroccianus 202.

**Vrat.** = Vratislavenses sex apud Heynium.

**Vat.** = Vaticanus.

**Mosc.** = Fragmenta Moscoviensia apud Heynium.

**Stuttg.** = Stuttgartensis 5.

# HOMERI ILIAS

# *ΙΛΙΑΔΟΣ Α.*

*Λοιμός* (vs. 1—52). — *Μῆνις* (vs. 53—492). — *Λιταί* (vs. 493 sqq.).

---

μῆνιν ἄειδε, θεά, Πηληιάδα᾽ Ἀχιλῆος
ὀλομένην, ἣ μυρί᾽ Ἀχαιοῖσ᾽ ἄλγε᾽ ἔθηκε,
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϝιδι προΐαψε
ἡρώων, αὐτοὺς δὲ ϝελώρια ᾽τεῦχε κύνεσσι
οἰωνοῖσί τε πᾶσι — Διὸς δ᾽ ἐτελείετο βουλή —, 5ᵇ cf. Cypr. fr. 1
ἐξ οὗ δὴ τὰ πρῶτα διεστήτην ἐρίσαντε
Ἀτρεΐδης τε ϝάναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.
τίς τ᾽ ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός. ὃ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,
οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα
Ἀτρεΐδης. ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν 12 sq. cf. Ω 501 sq.
λυσόμενός τε θύγατρα φέρων τ᾽ ἀπερείσι᾽ ἄποινα, 13-16 = 372 sqq.

---

4 sq. Zen. ——

---

1 *Πηληιάδα᾽* nº 55] *-δεω* ‖ 2 *ὀλομένην* nº 21] *οὐλομένην* ‖ 3 *ψυχὰς*] *κεφαλὰς* Apoll. Rhodius, ut legitur *Λ* 55 ‖ 5 *πᾶσι*] *δαῖτα* Zen.; cf. *Ω* 43, (B 383), Aesch. Suppl. 801, Soph. Philoct. 957, Eur. Hecub. 1076, Ion. 503. Recte tamen Aristarchus praetulit vulgatam *πᾶσι*, cf. ALudwich Aristarch. II p. 87 sqq. — *βουλή*] *βουλῇ* Nicanor alii apud Eust. ‖ 6 **διεστήτην*] *διαστήτην*. — Fuerunt olim qui legerent *διὰ στήτην* (i. e. *feminam!*) *ἐρίσαντο*, vid. Eustath. 21, 44, Bekk. Anecd. 735, 2. Hinc *στῆτα* pro *femina* legitur Theocrit. Syring. 14, Dosiad. Ar. 1 ‖ 8 *σφωε*] *σφῶι* Zen. ‖ 9 *Λητοῦς*] nº 77; *Λητόος ἀγλαὸς* Nauck, cf. h. Merc. 314, 500; **Λητόος ἐκ Διός*, cf. *E* 897 *α* 220 ‖ 11 *ἠτίμασεν* Ambr. A] *ἠτίμησ*

I στέμμα τ' ἔχων ἐν χερσὶ Ϝεκηβόλου Ἀπόλλωνος
χρυσέῳ ἂν σκήπτρῳ, καὶ ʼλίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν·
„Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί, 17 cf. Ψ 272, 658
ὔμιν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες, 18-21 cf. h. Cer. 135 sqq.
ἐκπέρσαι Πριάμοιο πόλιν, ἐὺ δ' οἴκαδ' ἱκέσθαι,
παῖδα δ' ἐμοὶ λῦσαί τε φίλην τά τ' ἄποινα δέχεσθαι
ἁζόμενοι Διὸς υἷα Ϝεκηβόλον Ἀπόλλωνα."
ἔνθ' ἄλλοι μὲν πάντες ἐπηυφήμησαν Ἀχαιοὶ 22-25 = 376 sqq.
αἴδεσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα, 23b = h. Ven. 141
ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ʼϜάνδανε θυμῷ,
ἀλλὰ κακῶς Ϝ' ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
„μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχήω,
ἢ νῦν δηθύνοντ' ἢ ὕστερον αὖτις ἰόντα,
μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο.
τὴν δ' ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισι
ἡμετέρῳ ἐνὶ Ϝοίκῳ, ἐν Ἄργεϊ, τηλόθι πάτρης
ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιάουσαν.
ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι."
ὣς ἔφατ', ἔδϜεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ, 33 = Ω 571
ʼβῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης. 34 cf. Ι 182 ν 220 h. Merc. 341
πολλὰ δ' ἔπειτ' ἀπάνευθε κιὼν ἠρᾶθ' ὁ γεραιὸς
Ἀπόλλωνι Ϝάνακτι, τὸν ἠύκομος ʼτέκε Λητώ·
„κλῦθί μεʼ, ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας 37 sq. = 451 sq.
Κίλλαν τε ζαθέην, Τενέδοιό τε Ϝῖφι Ϝανάσσεις,
Σμινθεῦ· εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα, 39-41 cf. ρ 240 sqq.
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα

29—31 Ar. —

14 *στέμμα τ'* HStephanus] *στέμματ'* Ar. codd.; singularem praeferendum esse docet vs. 28 || 15 *ἂν* Lehrs] *ἀνά*, cf. nº 61. — *λίσσετο* Ar. A] *ἐλίσσετο* C D, quod deberet esse *ἐλλίσσετο*, cf. nº 27. Item vs. 374 || 18 **ὔμιν*] *ὑμῖν*. — *θεοί*] nº 8; *ὔμμι θεοὶ μὲν* Bentley, quod recipi posset nisi in vicinia plura essent suspecta || 19 (*Ϝ*)*οἴκαδ'*] *καὶ Ϝοίκαδ'* Bentley, cf. *Ι* 393; *ἐὺ δ' ἀπονέεσθαι* Nauck; *ἐκπέρσασι πόλιν Πριάμοι' ἐὺ Ϝοίκαδ' ἱκέσθαι* LJSuringar || 20 *λῦσαί τε φίλην τά τ'* Wolf] *λύσαιτε φίλην τὰ δ'*. Bentley *λύσαντε φίλην τάδ' ἄποινα δέχεσθε*. — Locus nondum persanatus neque fortasse sanabilis || 21 *υἷα* Bentley] *υἱὸν* || 23 **αἴδεσθαι*] *αἰδεῖσθαι* || 24 *Ἀτρεΐδῃ Ἀγαμέμνονι*] *-δεω -νος* Zen. — *ʼϜάνδανε*] *ἥνδανε* || 25 **Ϝ'* || 26 *κιχήω* nº 122] *κιχείω* || 31 *ἀντιάουσαν* nº 191] *-όωσαν* || 33 *δ' ὁ*] *δὲ*? || 34 *ἀκέων*] *ἀχέων* Zen. || 35 *ἠρᾶθ' ὁ*] *ἠρᾶτο*? || 37 **με'* vel **μοι*] *μευ*

I ταύρων ἠδ' αἰγῶν, τὸ δέ μοι κρήηνον ἐϜέλδωρ· 41ᵇ = 504
τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσι."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων· 43 = 457 Π 527
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων χωόμενος κῆρ, 44 cf. Β 167
τόξ' ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην.
ἔκλαγξαν δ' ἄρ' ὀιστοὶ ἐπ' ὤμων χωομένοιο,
αὐτοῦ κινηθέντος· ὃ δ' ἤιε νυκτὶ ϜεϜοικώς.
ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκε·
δϜεινὴ δὲ κλαγγὴ 'γένετ' ἀργυρέοιο βιοῖο.
οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς,
αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς
'βάλλ'· αἰεὶ δὲ πυραὶ νεκύων 'καίοντο θαμειαί.

---

ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,
τῇ δεκάτῃ δ' ἀγορήνδ' ἐκαλέσσατο λαὸν Ἀχιλλεύς·
τῷ γὰρ ἐνὶ φρέσ' ἔθηκε θεὰ λευκώλενος Ἥρη,
'κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, 57 cf. Ω 790
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Ἀτρεΐδη, νῦν ἧμε πάλιν πλαγχθέντας ὀίω 59 sq. cf. ν 5 sq.
ἂψ ἀπονοστήσειν, αἴ κεν θάνατόν γε φύγωμεν,
εἰ δὴ ὁμοῦ πόλεμος δαμάει καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ' ἄγε δή τινα μάντιν ἐρήομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον — καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι —,
ὅς Ϝείπῃ ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴ τ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴ θ' ἑκατόμβης, 65 cf. 93
αἴ κέν πως Ϝαρνῶν κνίσης αἰγῶν τε τελείων
ἀντιάσας ἧμιν βούλητ' ἀπὸ λοιγὸν ἀμῦναι." 68 = 101 Β 76 etc.
ἦ τοι ὅ γ' ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη
Κάλχας Θεστορίδης, οἰωνοπόλων ὄχ' ἄριστος,

---

46 sq. Zen. — || 63 Zen. —

---

47 ϜεϜοικώς] ἐλυσθεὶς Zen. — Vulgatam tuentur *Μ* 463 λ 606, imitantur h. Merc. 358 Eurip. Orest. 408 || 55 ἐνὶ (dubitanter) Heyne] ἐπί. Cf. Eust. et *Π* 83. — *φρέσ' ἔθηκε] φρεσὶ θῆκε || 56 ὁρᾶτο] ὁρῆτο (an ὅρητο?) Zen. || 59 *ἧμε] ἄμμε || 60 αἴ C] εἴ, Zen. οἴ. — φύγωμεν Naber] φύγοιμεν || 61 *πόλεμος δαμάει n° 147] πόλεμός τε δαμᾷ || 62 ἐρήομεν] ἐρείομεν, cf. n° 122 et 264; *ἐρώμεθα? vid. ϑ 133 || 64 ὅς Ϝείπῃ Bentley] ὅς κ' εἴποι || 67 *ἀντιάσας ἧμιν βούλητ'] βούλεται ἀντιάσας ἡμῖν, cf. n° 92 et 122 || 68 κατ' ἄρ' ἕζετο] Zen. ἐκαθέζετο || 69 Κάλχας] μάντις Zen.

I ὃς ’Ϝείδει τά τ’ ἐόντα τά τ’ ἐσσόμενα πρό τ’ ἐόντα,
καὶ νήεσσ’ ἡγήσατ’ Ἀχαιῶν Ϝίλιον εἴσω
Ϝὴν διὰ μαντοσύνην, τήν Ϝοι ’πόρε Φοῖβος Ἀπόλλων. 72b = Α 353 cf. Ο 441
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ὦ Ἀχιλεῦ, κέλεαί με, Διὶ φίλε, μυθήσασθαι
μῆνιν Ἀπόλλωνος, Ϝεκατηβελέταο Ϝάνακτος·
τοιγὰρ ἐγὼ Ϝερέω, σὺ δὲ σύνθεο καί μοι ὅμοσσον 76 cf. Ζ 334
ἦ μέν μοι πρόφρων Ϝέπεσιν καὶ χερσὶν ἀρήξειν.
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν’, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί Ϝοι πείθονται Ἀχαιοί.
κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηι·
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
ἐν στήθεσσιν ἑϜοῖσι. σὺ δὲ φράσαι εἴ με σαώσεις.”
τὸν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„θαρσήσας μάλα Ϝειπὲ θεοπροπέων ὅ τι Ϝοῖσθα·
οὐ μὰ γὰρ Ἀπόλλωνα Διὶ φίλον, ᾧ τε σὺ, Κάλχαν,
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τίς σοι παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει, 88 sq. cf. π 438 sq.
ζώοντός γ’ ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο,
συμπάντων Δαναῶν, οὐδ’ αἴ κ’ Ἀγαμέμνονα Ϝείπῃς,
ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.” 91 cf. Β 82
καὶ τότε δὴ ’θάρσησε καὶ ηὔδα μάντις ἀμύμων·
„οὔτ’ ἄρ’ ὅ γ’ εὐχωλῆς ἐπιμέμφεται οὔθ’ ἑκατόμβης, 93 cf. 65
ἀλλ’ ἕνεκ’ ἀρητῆρος, ὃν ἠτίμασσ’ Ἀγαμέμνων,
οὐδ’ ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ’ ἄποινα·
τούνεκ’ ἄρ’ ἄλγε’ ἔδωκε Ϝεκηβόλος ἠδ’ ἔτι δώσει.
οὐδ’ ὅ γε πρὶν Δαναοῖσιν ἀϜεικέα λοιγὸν ἀπώσει,
πρίν γ’ ἀπὸ πατρὶ φίλῳ δόμεναι Ϝελικώπιδα κούρην

80 Zen. — || 96 Ar. —

70 ’Ϝείδει] ᾔδη || 73 ὃ Ar. ACD] ὃς Ambr. — Zen. ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα || 77 μέν] nº 18 || 80 κρείσσων] κρείσσω (sic) Zen.; cf. 249 Γ 71 Η 114 || 81 sq. καταπέψῃ, τελέσσῃ] nº 122 || 83 φράσαι] φράσον Zen. || 85 θεοπροπέων Nauck] θεοπρόπιον || 86 Κάλχαν Ar. A C] Κάλχα Zen. D || 88 sq.] correximus (et post nos IMenrad) collato π 439. Vulg. οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο | σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει, in quibus vitiosa sunt ἐμεῦ (nº 92), ζῶντος (nº 194), κοίλῃς (nº 57) || 90 *αἴ κ’] ἤν || 91 Ἀχαιῶν Zen. Aristoph. Ar.] ἐνὶ στρατῷ codd.; cf. Β 82 || 92 ηὔδα] ηὔδαε? nº 191 || 94 ἠτίμασσ’ Nauck] ἠτίμησ’ || 97] sic Ar.; λοιμοῖο βαρείας χεῖρας (κῆρας Markland) ἀφέξει Zen. codd.

*ἀπριάτην ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην*
*ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν."*
*ἦ τοι ὅ γ' ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη* 101 = 68
*ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων* 102 = *H* 322 *N* 112
*ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι* 103 sq. = *δ* 661 sq.
*'πίμπλαντ', ὄσσε δέ Ϝοι πυρὶ λαμπετάοντ' ἐϜεϜίκτην.*
*Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέϜειπε·*
*„μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρήγυον εἶπες.*
*αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,*
*ἐσθλὸν δ' οὔτε τί πω 'Ϝεῖπες Ϝέπος οὔτ' ἐτέλεσσας.*
*καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις,*
*ὡς δὴ τοῦδ' ἕνεκά σφι Ϝεκηβόλος ἄλγεα τεύχει,*
*οὕνεκ' ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα*
*οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν*
*Ϝοίκοι ἔχειν. καὶ γάρ Ϝε Κλυταιμνήστρης προβέβουλα,*
*κουριδίης ἀλόχου, ἐπεὶ οὔ Ϝεθέν ἐστι χερείων*
*οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἂρ φρένας οὔτε τι Ϝέργα.*
*ἀλλὰ καὶ ὣς Ϝ' ἐθέλω δόμεναι πάλιν, εἰ τό γ' ἄμεινον·*
*βούλομ' ἐγὼ λαὸν σάον ἔμμεναι ἢ ἀπολέσθαι.*
*αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ', ὄφρα μὴ οἶος*
*Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ϜέϜοικε·*
*λεύσσετε γὰρ τό γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλῃ."*
*τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·*
*„Ἀτρεΐδη κύδιστε, φιλοκτεανώτατε πάντων,*
*πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;*
*οὐδέ τί που Ϝίδμεν ξυνήια κείμενα πολλά,*
*ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,*
*λαοὺς δ' οὔ τι ϜέϜοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.*
*ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ*

---

110 Ar. — ‖ 117 Zen. —

---

99 *ἄγειν*] inf. *praes.* post *πρίν* nonnisi h. l. et *τ* 475 occurrit, et post *πάρος Σ* 245 ‖ 100 *τότε*] *αἴ* Zen. ‖ 104 **λαμπετάοντ' ἐϜεϜίκτην*] *λαμπετόωντι ἐίκτην*, cf. nº 191 et 160 ‖ 106 *τὸ κρήγυον* (Ϝ)*εἶπες*] *τὰ κρήγυα* Bentley; *κρήγυον* vox obscura, apud veteres epicos nonnisi h. l. obvia. Pro *εἶπες* Ar. *εἶπας* habebat; cf. nº 153 ‖ 108 *'Ϝεῖπες* nº 153] *εἶπας* ‖ 113 *Ϝε* Bentley] *ῥα* ‖ 116 **Ϝ'* ‖ 117 *σάον* Apoll. Dysc.] *σῶν* Ar., *σόον* vulg. ‖ 119 *οὐδὲ*] **οὔ τι*? sed cf. *Φ* 436 *Ψ* 493 ‖ 122 *φιλοκτεανώτατε*] *-νέστατε* Aristoph. ‖ 124 *που* Aristoph. Ar.] *πω* A¹CD ‖ 125 *τὰ ... τὰ* pro *ἃ ... τὰ* non est Homericum, et *πέρθειν ἐκπέρθειν* de *urbe*, non de *praeda* dicitur; versus igitur corruptus ‖ 126 **οὔ τι ϜέϜοικε*] *οὐκ ἐπέοικε*. Heyne *οὐδὲ ϜέϜοικε*, cf. 119

I τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν, αἴ κέ ποθι Ζεὺς
δῷσι πόλιν Τρωίην ἐυτειχέα ἐξαλαπάξαι.” 129ᵇ = Θ 241
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„μὴ δ' οὕτως, ἀγαθός περ ἐών, θεοϜείκελ' Ἀχιλλεῦ, 131 = Τ 155
κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις, ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὔτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ' ἀποδοῦναι;
ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται... —,
εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι 137 cf. 324
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος.
ἀλλ' ἦ τοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτίς,
νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν, 141 = ϑ 34 cf. π 348
ἐν δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
θήομεν, ἂν δ' αὐτὴν Χρυσηίδα καλλιπάρηον
βήσομεν, εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς,
ἠὲ σὺ Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν, 146ᵇ = Σ 170 Υ 389
ὄφρ' ἧμιν ϜεκάϜεργον ἱλάσσεαι ἱερὰ ῥέξας.”
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„ὤ μοι ἀναιδείην ἐπιϜειμένε, κερδαλεόφρον, 149 cf. h. Merc. 156
πῶς τίς τοι πρόφρων Ϝέπεσιν πείθηται Ἀχαιῶν
ἢ ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσι Ϝῖφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
δεῦρο μαχεσσόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσι·
οὐ γάρ πώ ποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους,
οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ', ἐπεὶ ἦ μάλα πολλὰ μεσηγὺ,

---

139 ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.
133 sq. Ar. — || 139 Ar. — || 143 Zen. —

---

129 δῷσι] nº 122. — Τρωίην Apoll. lex., cf. nº. 17] Τροΐην Ar. et libri, Τροίην Zen. — Si recte contendit Ar. non de ipsa Troia sed de urbibus vicinis haec dicta esse, olim Τρώων lectum fuisse suspicari licet; cf. 164 Ε 461 λ 510; sed magis arridet *δώησι Τροίην ἐυτειχέα ἐξαλαπάξαι, urbes enim circumiacentes minus apte appellari videntur εὐτειχεῖς (vid. tamen Π 57). — ἐυτειχέα Nauck] -εον || 136 ἄρσαντες] ἅρσαντες Ar. A || 139 ἑλών] male post ἕλωμαι. De κεν κεχολώσεται (futuri forma) cf. nº 122 (*θην κεχ.?) || 142 ἐν Ar.] ἐς || 143 θήομεν nº. 122] θείομεν || 147 *ἧμιν] ἥμιν Herodian. A, ἡμῖν || 153 μαχεσσόμενος Nauck] μαχησόμενος || 156 μεσηγὺ(ς) Bekker] μεταξύ, vox non Homerica

*οὔρεά τε σκιόεντα θάλασσά τε Ϝηχήεσσα·*
*ἀλλὰ σοί, ὦ μέγ' ἀναιδές, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς,*
*τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα,*
*πρὸς Τρώων. τῶν οὔ τι μετατρέπε' οὐδ' ἀλεγίζεις·* 160 cf. *M* 238
*καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,*
*ᾧ ἔπι πόλλ' ἐμόγησ', ἔδοσαν δέ μοι υἷες Ἀχαιῶν.*
*οὐ μὲν σοί ποτε Ϝῖσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ*
*Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον·* 164 cf. *B* 133 *N* 380
*ἀλλὰ τὸ μὲν πλεῖον πολυάικος πολέμοιο*
*χεῖρες ἐμαὶ διέπουσ', ἀτὰρ εἴ ποτε δασμὸς ἵκηται,*
*σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε*
*ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.*
*νῦν δ' εἶμι Φθίηνδ', ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι*
*Ϝοίκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀίω*
*ἐνθάδ' ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν."* 26 Nov.
*τὸν δ' ἠμείβετ' ἔπειτα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·*
*„φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται· οὐδέ σ' ἐγώ γε*
*λίσσομαι εἵνεκ' ἐμεῖο μένειν· πάρ' ἐμοί γε καὶ ἄλλοι*
*οἵ κέ με τιμήσωσι, μάλιστα δὲ μητιέτα Ζεύς.*
*ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·* 176 sq. cf. *E* 890 sq.
*[αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.]*
*εἰ μάλα καρτερός ἐσσι, θεός ποθι σοὶ τό γ' ἔδωκε.* 178 cf. 280
*Ϝοίκαδ' ἰὼν σὺν νηυσί τε σῇσ' ἰδὲ σοῖσ' ἑτάροισι* 179 cf. *γ* 323
*Μυρμιδόνεσσι Ϝάνασσε· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω*
*οὐδ' ὄθομαι κοτέοντος. ἀπειλήσω δέ τοι ὧδε·*
*ὡς ἔμ' ἀφαιρέεται Χρυσηίδα Φοῖβος Ἀπόλλων,*
*τὴν μὲν ἐγὼ σὺν νηί τ' ἐμῇ καὶ ἐμοῖσ' ἑτάροισι* 183 cf. *ι* 173
*πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηίδα καλλιπάρῃον*
*αὐτὸς ἰὼν κλισίηνδε, τεὸν γέρας, ὄφρ' εὖ Ϝειδῇς* 185 sq. cf. Φ 487 sq.

---

160 Zen. —— ‖ 177 Ar. ——. Etiam Zenodotum obelo notasse (Ameis-Hentze) *non* legitur Schol. Bekk. p. III

---

157 *σκιόεντα*] *σκιόωντα* Ar. ‖ 159 *ἀρνύμενοι*] *-νος* Zen. ‖ 160 **μετατρέπε'*]*-πῃ* ‖ 162 *πόλλ' ἐμόγησ', ἔδοσαν*] *πολλὰ μόγησα, δόσαν* Ar. ‖ 163 *ὁππότ'*] *οὐδ' ὅτ'* Zen. ‖ 164 *ἐκπέρσωσ'*] n°. 122 ‖ 166 **εἴ ποτε*] *ἤν ποτε* ‖ 168 *ἐπεί κε κάμω* Ar.] *ἐπὴν κεκάμω* ‖ 170 *ἴμεν*] n° 126. Fortasse *κεῖσ' ἴμεναι* vel *ἂψ ἴμεναι* verum est. — *σ'*] id est *σοι*, cf. n° 13 ‖ 171 *ἀφύξειν*] *ἀέξειν* Naber ‖ 175 *τιμήσωσι* n° 122] *-σουσι* ‖ 178 *ποθι* n° 322] *που* ‖ 179 **σῇσ' ἰδὲ*] *σῇς καί*, cf. n° 57. Nauck *νηί τε σῇ καί* ‖ 180 *σέθεν δ' ἐγώ*] **ἐγὼ σέθεν*? ‖ 182 *ἀφαιρέεται* n° 191] *-ρεῖται* ‖ 185 *τεὸν* Nauck] *τὸ σόν*. Vera lectio superest 282, restituenda est etiam 207 *Z* 407 *Θ* 430 *Π* 40 *Σ* 457. — *Ϝειδῇς* n° 122] *εἰδῇς*

I ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
ϝῖσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην."
ὣς 'φάτο· Πηλεΐωνι δ' ἄχος 'γένετ', ἐν δέ ϝοι ἦτορ
στήθεσσιν λασίοισι διάνδιχα 'μερμήριξε, 189b = Θ 167 Ν 455
ἢ ὅ γε φάσγανον ὀξὺ ϝερυσσάμενος παρὰ μηροῦ
τοὺς μὲν ἀναστήσειεν, ὃ δ' Ἀτρεΐδην ἐναρίζοι,
ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.
ἦος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 193 = Λ 411 Ρ 106 etc.
εἵλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
οὐρανόθεν· πρὸ δέ ϝ' ἧκε θεὰ λευκώλενος Ἥρη, 195 cf. 208
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε. 196 = 209
'στῆ δ' ὄπιθε, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα,
οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο.
'θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δϝεινὼ δέ ϝοι ὄσσ' ἐφάενθεν.
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„τίπτ' αὖτ', αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃς Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ' ἔκ τοι ϝερέω, τὸ δὲ καὶ τελέεσθαι ὀίω· 204 cf. 212 Β 257
ϝῇ ὑπεροπλίῃ τάχα κέν ποτε θυμὸν ὀλέσσῃ."
τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ἦλθον ἐγὼ παύσουσα τεὸν μένος, αἴ κε πίθηαι,
οὐρανόθεν· πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη, 208 cf. 195
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε. 209 = 196
ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·
ἀλλ' ἦ τοι ϝέπεσιν μὲν ὀνείδισον, ὡς ἔσεταί περ.
ὧδε γὰρ ἐκϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 212 = Θ 401 Ψ 672 etc.

192 Ar. — || 195 sq. Ar. — || 208 sq. Zen. —

193 ἦος nº 323] ἕως || 194 *εἵλκετο] ἕλκετο || 195 *δέ ϝ'] γὰρ || 197] l. a. ξανθὴν δὲ κόμην ἕλε Πηλείωνος ab Ar. improbata || 198 ὁρᾶτο] ὁρῆτο (ὅρητο?) Zen. || 200 ὄσσ' ἐφάενθεν nº 280] ὄσσε φάανθεν || 202 εἰλήλουθας] εἰλήλευθας Naber || 203 ἴδῃς Zen.] ἴδῃ Ar. codd. Verba propter hiatum post ἵνα et digamma vocis ϝίδῃς neglectum suspecta; vGendt ἦ ἵνα ϝέργα ϝίδῃς, sed cf. 214. Alii aliter. Ecquid *ἦ ὕβριν 'ϝείδησθ'? cf. *Β* 409 *Χ* 280 || 204 τελέεσθαι ὀίω Ar.] τετελεσμένον ἔσται Zen., τετελέσθαι ὀίω codd. Cf. *Ι* 310 || 205 *ϝῇ ὑπεροπλίῃ τάχα κεν] ϝῇσ' ὑπεροπλίῃσι τάχ' ἄν. — ὀλέσσῃ] cf. nº 122. Subiunctivus requiritur sec. nº 108; CD ὀλέσσαι, quod non *perdet* significaret sed *perderet*, cf. *Β* 373 *Χ* 42 *β* 76 etc. || 207 τεὸν Eustath.] τὸ σόν, cf. ad vs. 185 || 211] versus finem bene vertit Heyne *quicquid in buccam venerit* || 212 τετελεσμένον ἔσται] τετελέσθαι ὀίω Zen. (?)

I καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἧμιν."
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„χρὴ μὲν σφωίτερόν γε, θεά, Ϝέπος εἰρύσσασθαι,
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣς γὰρ ἄμεινον.
ὅς κε θεοῖσ' ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ."
ἦ, καὶ ἐπ' ἀργυρέῃ κώπῃ 'σχέθε χεῖρα βαρεῖαν,
ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
μύθῳ Ἀθηναίης· ἣ δ' Οὔλυμπόνδ' ἐβεβήκει
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.
Πηλεΐδης δ' ἐξαῦτις ἀταρτηροῖσι Ϝέπεσσι
Ἀτρεΐδην προσέϜειπε, καὶ οὔ πω 'λῆγε χόλοιο·
„Ϝοινοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
οὔτε ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχονδ' ἴμεναι σὺν ἀριστήεσσιν Ἀχαιῶν 227 cf. Ν 277 (Φ
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ Ϝείδεται εἶναι. 35 sqq.)
ἦ πολὺ λώιόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ' ἀποαίνυσθαι, ὅς τις σέθεν ἀντία Ϝείπῃ.
δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσι Ϝανάσσεις·
ἦ γάρ κ', Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο. 232 = Β 242
ἀλλ' ἔκ τοι Ϝερέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι· 233ᵇ = υ 229
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπε,
οὐδ' ἀναθηλήσει, περὶ γάρ ῥά Ϝε χαλκὸς ἔλεψε
φύλλα τε καὶ φλοιόν, νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃ φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ' οὔ τι δυνήσεαι ἀχνύμενός περ 241 sq. cf. 588 sq.
χραισμέμεν', εὖτέ κε πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο

222 Ar. —(?) ‖ 225—233 Zen. —

213 καί] *ἦ? ‖ 214 ἧμιν Ar.] ἡμῖν ‖ 218 τ' ἔκλυον αὐτοῦ] τοῦ κλύον αὐτοί vGendt, τοι κλύον αὐτοῦ Naber ‖ 219 sq.] ὣς εἰπὼν πάλιν ὦσε μέγα ξίφος οὐδ' ἀπίθησε Zen. ‖ 223 -ροῖσι Ϝέπεσσι Bekker] -ροῖς ἐπέεσσι ‖ 227 ἴμεναι nº 125] ἰέναι ‖ 230 ἀποαίνυσθαι Naber] ἀποαιρεῖσθαι, forma propter hiatum et contractionem vitiosa; cf. vs. 275. — ἀντία Bentley] ἀντίον ‖ 232 *γάρ κ'] γὰρ ἂν ‖ 233 ὀμοῦμαι] nº 147 ‖ 238 παλάμῃ Nauck] παλάμαις ‖ 241 τότε Ar. A] τοῖς C D ‖ 242 *χραισμέμεν'] χραισμεῖν. — *εὖτέ κε] εὖτ' ἂν

I θνήσκοντες πίπτωσι· σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας." 244 cf. 412 Π 274
ὣς 'φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον 'βάλε γαίῃ 245ᵇ = β 80
χρυσείοισ' ἥλοισι πεπαρμένον, ἕζετο δ' αὐτός· 246ᵃ = Λ 633
Ἀτρεΐδης δ' ἑτέρωθεν ἐμήνιε. τοῖσι δὲ Νέστωρ
ϜηδυϜεπὴς ἀνόρουσε, λιγὺς Πυλίων ἀγορητής,
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων 'ρέεν αὐδή.
τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
ἐφθίαθ', οἵ Ϝοι πρόσθεν ἅμ' ἔτραφον ἠδ' ἐγένοντο
ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισ' ἐϜάνασσε.
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει. 254 = Η 124
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,
εἰ σφῶιν τάδε πάντα πυθοίατο μαρναμένοιιν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὔμιν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον.
οὐ γάρ πω τοίους 'Ϝίδον ἀνέρας, οὐδὲ Ϝίδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε, ποιμένα λαῶν,
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον. 264-268 cf. Hes. Scut. 178 sqq.
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων 'τράφον ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοισ' ἐμάχοντο,
Φηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
τηλόθεν ἐξ ἀπίης γαίης, 'καλέσαντο γὰρ αὐτοί· 270 cf. Γ 49 η 25 π 18

265 Θησέα τ' Αἰγεΐδην, ἐπιϜείκελον ἀθανάτοισι. 265 = Hes. Scut. 182

244 οὐδὲν] nº 100 ‖ 249 γλυκίων] γλυκίω (sic) Zen.; cf. vs. 80 ‖ 251 οἵ] αἵ Zen. — *ἅμ' ἔτραφον] ἅμα τράφον Buttmann, cf. nº 252; τράφεν codd. ‖ 252 *τριτάτοισ' ἐϜάνασσε] τριτάτοισι ἄνασσε ‖ 258 βουλὴν Ar.] l. a. βουλῇ ‖ 260 ὔμιν Zen.] ἤμιν Ar. ‖ 265] deest in bonis libris; legit Pausanias X 29 § 10 ‖ 266 τράφον Buttmann] τράφεν, cf. nº 252 ‖ 268 Φηρσὶν] sic h. l. et *B* 743 appellantur *centauri*. Pro gentili nomine videtur habuisse poeta; veteres vero grammatici multique recentiorum statuerunt Aeolicam (Thessalicam) esse formam nominis θήρ. Cum voce θήρ cohaerere negat RMeister Dialect. I p. 119; cui obloquitur EHMeyer Achilleis p. 452. Centauros biformes ab Homero fingi vulgo negant, ille censet ‖ 270 ἀπίης] non esse nomen proprium (*Peloponnesi*), ut posteriores (tragici) male acceperunt, monuit Ar., conferens π 18; praeterea vid. Γ 49 η 25

I καὶ 'μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ· κείνοισι δέ κ' οὔ τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
καὶ μέν μευ βουλέων ξύνιεν, 'πείθοντό τε μύθῳ.
ἀλλὰ πίθεσθε καὶ ὗμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
μήτε σὺ τόνδ', ἀγαθός περ ἐών, ἀποαίνυσο κούρην,
ἀλλ' ἔα, ὥς ϝοι πρῶτ' ἔδοσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σύ, Πηλεΐδη, θέλ' ἐριζέμεναι βασιλῆι
ἀντιβίην, ἐπεὶ οὔ ποθ' ὁμοίης ἔμμορε τιμῆς
σκηπτόοχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκε.
εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε 'γείνατο μήτηρ, 280 cf. 178
ἀλλ' ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσι ϝανάσσει.
Ἀτρεΐδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἐγώ γε
λίσσομ' Ἀχιλλῆι μεθέμεν χόλον, ὃς μέγα πᾶσι
ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔϝειπες. 286 = Θ 146 Ω 379 cf. K 169 etc.
ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
πάντων μὲν κρατέειν ἐθέλει, πᾶσιν δὲ ϝανάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν' οὐ πείσεσθαι ὀίω.
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
τούνεκά ϝοι προθέουσιν ὀνείδεα μυθήσασθαι;"
τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
„ἦ γάρ κε δϝειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
εἰ δὴ πᾶν ϝέργον σ' ὑποϝείξομαι, ὅττι κε ϝείπῃς.
ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἐμοί γε.
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 297 = Δ 39 E 259 I 611 etc.

296 σήμαιν', οὐ γὰρ ἐγώ γ' ἔτι σοι πείσεσθαι ὀΐω. 296 Ar. —

271 ἔμ' αὐτὸν] ἐμωυτὸν Zen., cf. nº 9. — *δέ κ'] δ' ἂν || 272 μαχέοιτο] vitiose pro μάχοιτο, cf. vs. 344. Varia tentari possunt; e. g. *ἐπὶ χθονὶ ἄντα μάχοιτο (vid. T 168) || 273 μευ βουλέων] verba corrupta, cf. nº 92 et 56; correctio incerta, fortasse *καί μεο βουλάων. — ξύνιεν Ar. A] ξύνιον C D || 274 *ὗμες] ὔμμες. Sed praestare videtur *ὔμε, cf. nº 92 || 275 ἀποαίνυσο Nauck] ἀποαίρεο, forma vitiose decurtata et praeterea propter hiatum suspecta; cf. vs. 230 || 276 *πρῶτ' ἔδοσαν] πρῶτα δόσαν || 277 θέλ'] verbi brevior forma, hoc versu et h. Ap. 46 firmiter stabilita metro, immerito ab Aristarcho videtur poetae fuisse abiudicata. Necessarium est ἐθέλω locis fere 100, sed 175 locis metrum et θελ- et ἐθελ- admittit || 279 σκηπτόοχος Nauck] -οῦχος || 288 πᾶσιν δὲ Bentley] πάντεσσι δ' || 291 προθέουσιν] vox obscura; corrupta ut videtur. Freytag et Naber προθέωσιν || 294 *εἰ δὴ πᾶν ϝέργον σ' ὑποϝείξομαι] εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι (εἴκω pro ϝείκω †)

I χερσὶ μὲν οὔ τοι ἐγώ γε μαχέσσομαι εἵνεκα κούρης,
οὔτε σοι οὔτε τιν' ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ Ϝε δόντες·
τῶν δ' ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηὶ μελαίνῃ,
τῶν οὐ κέν τι φέροις ἀνελὼν ἀϜέκοντος ἐμεῖο.
εἶ' ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί." 303 cf. π 441
ὣς τώ γ' ἀντιβίοισι μαχεσσαμένω Ϝεπέεσσι
ἀνστήτην, 'λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν.
Πηλεΐδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐϜίσας
ἤιε σύν τε Μενοιτιάδῃ καὶ Ϝοῖσ' ἑτάροισι,
Ἀτρεΐδης δ' ἄρα νῆα θοὴν ἅλαδε προϜέρυσσε, 308-311 cf. 141 sqq.
ἐν δ' ἐρέτας ἔκρινεν ἐϜείκοσιν, ἐς δ' ἑκατόμβην
'βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηίδα καλλιπάρῃον
εἷσεν ἄγων· ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
οἳ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα, 312 = ο 474 cf. δ 842
λαοὺς δ' Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγε.
οἳ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον,
'Ϝέρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας 315 cf. Β 306 Θ 548
ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο·
κνίση δ' οὐρανὸν ἷκε Ϝελισσομένη περὶ καπνῷ.
ὣς οἳ μὲν τὰ 'πένοντο κατὰ στρατόν· οὐδ' Ἀγαμέμνων
'λῆγ' ἔριδος, τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆι,
ἀλλ' ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέϜειπε,
τώ Ϝοι ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·
„ἔρχεσθον κλισίην Πηληιάδα' Ἀχιλῆος,
χειρὸς ἑλόντ' ἀγέμεν Βρισηίδα καλλιπάρῃον.
εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι 324 cf. 137
ἐλθὼν σὺν πλεόνεσσι· τό Ϝοι καὶ ῥίγιον ἔσται."

---

298 *μαχέσσομαι*] *μαχήσομαι* Ar. et libri meliores. Admodum notabile est Didymi scholion ad hunc versum || 299 **τιν'(ι)*] *τῳ*, vid. nº 99. — **Ϝε*] *γε*. Zen. *ἐπεί ϱ' ἐθέλεις ἀφελέσθαι*, quae lectio ex Φ et Θ literarum confusione nata est:

*μΑΦΕΛΕΣ ΘΕΓΕδοντες*
*ϱΑΘΕΛΕΣαΦΕΛΕσθαι.*

Similis est origo lectionum Zenodotearum *Ε* 53 *Θ* 207 *Ι* 36 || 301 **οὔ κέν*] *οὐκ ἄν* || 302 *εἶ'* Nicanor] *εἰ δ'*, quam scripturam locis quales sunt *δ* 832 *χ* 391 damnari recte observat Eustathius. Apud Theocr. II 95 et V 78 vera lectio superest || 304 *μαχεσσαμένω*] *μαχησαμένω* Ar. || 309 *ἐν* [Ar.] *ἐς* || 314 *λύματ' ἔβαλλον*] *λύματα βάλλον* Ar. || 321 *Ϝοι ἔσαν*] **Ϝ' ἦσαν?* || 322 *Πηληιάδα'* nº 55] *-δεω* || 325 *σὺν*] *ξὺν* Ambr.

I ὣς Ϝειπὼν προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
τὼ δ' ἀϜέκοντ' ἐβάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην. 328=Ι185 cf. 652
τὸν δ' ηὗρον παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ 329 cf. Κ 74 Ν 267
ἥμενον, οὐδ' ἄρα τώ γε Ϝιδὼν 'γήθησεν Ἀχιλλεύς.
τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα
'στήτην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο· 332ᵇ sq. = Θ 445 sq.
αὐτὰρ ὃ ἔγνω Ϝῇσιν ἐνὶ φρεσί, 'φώνησέν τε· 333 cf. Χ 296
„χαίρετε κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν· 334ᵇ = Η 274
ἆσσον ἴτ'· οὔ τί μοι ὔμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
ὃ σφῶι προΐει Βρισηίδος εἵνεκα κούρης.
ἀλλ' ἄγε, διογενὲς Πατρόκλεες, ἔξαγε κούρην
καί σφωιν δὸς ἄγειν. τὼ δ' αὐτὼ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ ποτε δ' αὖτε
χρηὼ ἐμεῖο γένηται ἀϜεικέα λοιγὸν ἀμῦναι
τοῖσ' ἄλλοισ'· ἦ γὰρ ὅ γ' ὀλοιῇσι φρεσὶ θύει,
οὐδέ τι Ϝοῖδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως Ϝοι παρὰ νηυσὶ σάοι μαχέονται Ἀχαιοί."
ὣς 'φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ, 345=Ι205 Λ616
ἐκ δ' ἄγαγε κλισίης Βρισηίδα καλλιπάρῃον,
'δῶκε δ' ἄγειν. τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν,
ἣ δ' ἀϜέκουσ' ἅμα τοῖσι γυνὴ 'κίεν.

αὐτὰρ Ἀχιλλεὺς
δακρύσας ἑτάρων ἄτερ ἕζετο, νόσφι λιασθείς,
θῖν' ἔφ' ἁλὸς πολιῆς, ὁράων ἐπ' ἀπείρονα πόντον·
πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς·
„μῆτερ, ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
τιμήν πέρ μοι ὄφειλεν Ὀλύμπιος ἐγγυαλίξαι,

---

327 ἀϜέκοντ'] ἀκέοντε Bentley ‖ 332 τι] l. a. τε ab Ar. improbata ‖ 335 *ὔμες] ὔμμες. Sed praestare videtur *ὔμε ἐπαιτίω, nº 92 ‖ 336 ὃ Zen. Ar.] ὅς Apoll. Dysc. — σφῶι] σφῶιν Zen. Apoll. Dysc. ‖ 337 Πατρόκλεες nº 73] -κλεις ‖ 340 ἀπηνέος] ἀναιδέος liber „πολύστιχος" habebat ‖ 341 χρηὼ nº 190] χρειὼ ‖ 344 σάοι nº 62] σόοι. — μαχέονται Thiersch] μαχέοιντο. Male Barnes μαχεοίατ', neque enim optativus requiritur, neque -χεοι- pro -χοι- defendi potest; cf. vs. 272 ‖ 348 ἀϜέκουσ'] ἀκέουσ' Duentzer et Nauck ‖ 349 ἄτερ Naber] ἄφαρ ‖ 350 ὁράων nº 191] ὁρόων. — ἐπ' ἀπείρονα Ar.] ἐπὶ (Ϝ)οίνοπα ‖ 351 χεῖρας ὀρεγνύς] χεῖρας ἀναπτάς (lege χεῖρ' ἀναπιτνάς Cobet) Zen., χεῖρας ἀνασχών schol. ‖ 353 ὄφειλεν Nauck] ὄφελλεν. — *μ' ὤφειλεν

I Ζεὺς ὑψιβρεμέτης· νῦν δ' οὐδέ με τυτθὸν ἔτισε.
ἦ γάρ μ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἠτίμασσεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀποϝράς." 356 = 507 *B* 240 cf. *I* 111
ὣς 'φάτο δάκρυ χέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ,
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι. 358 = *Σ* 36
καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη,
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δάκρυ χέοντος,
χειρί τέ μιν κατέρεξε, ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 361 = *E* 372 *Z* 485 etc.
„τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος; 362 sq. = *Σ* 73 sq.
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα ϝείδομεν ἄμφω." 363 = *Π* 19
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 364 = *Σ* 78
„ϝοῖσθα· τίη τοι ταῦτα ϝιδυίῃ πάντ' ἀγορεύω;
ᾠχόμεθ' ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.
καὶ τὰ μὲν εὖ 'δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ' ἕλον Ἀτρεΐδῃ Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ', ἱερεὺς ϝεκατηβόλου Ἀπόλλωνος,
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων,
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα, 372-375 = 13 sqq.
στέμμα τ' ἔχων ἐν χερσὶ ϝεκηβόλου Ἀπόλλωνος
χρυσέῳ ἂν σκήπτρῳ, καὶ 'λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ' ἄλλοι μὲν πάντες ἐπηυφήμησαν Ἀχαιοὶ 376-379 = 22 sqq.
αἴδεσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα,
ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι 'ϝάνδανε θυμῷ,
ἀλλὰ κακῶς ϝ' ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο, τοῖο δ' Ἀπόλλων
εὐξαμένοι' ἤκουσεν, ἐπεὶ μάλα ϝοι φίλος ἦεν,
ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
'θνῆσκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν. ἦμι δὲ μάντις

366—392 Ar. —

356 ἠτίμασσεν Nauck] -μησεν. — ἀποϝράς n° 150] ἀπουράς || 365 ϝιδυίῃ Ahrens] ταῦτ' εἰδυίῃ || 373 στέμμα τ'] στέμματ'. Cf. vs. 14 || 374 ἂν Lehrs] ἀνά. — λίσσετο Ar. A] ἐλίσσετο. Cf. vs. 15 || 377 *αἴδεσθαι] αἰδεῖσθαι || 378 'ϝάνδανε] ἥνδανε || 379 *ϝ' || 380 δ' ὁ] δὲ? || 381 εὐξαμένοι' n° 59] -νου. — μάλα] ῥά νυ libri Cyprius et Cretensis || 384 *ἦμι] ἄμμι

I εὖ Ϝειδὼς ἀγόρευε θεοπροπίας Ϝεκάτοιο.
αὐτίκ' ἐγὼ πρῶτος 'κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρεΐωνα δ' ἔπειτα χόλος 'λάβεν, αἶψα δ' ἀναστὰς
μῦθον ἐπηπείλησεν, ὃ δὴ τετελεσμένος ἐστί.
τὴν μὲν γὰρ σὺν νηὶ θοῇ Ϝελίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα Ϝάνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι 'δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἐῆος·
ἐλθοῦσ' Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι
ἢ Ϝέπε' ὤνησας κραδίην Διὸς ἠέ τι Ϝέργῳ.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα 396 sq. cf. Φ 475 sq.
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέι Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀϜεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων.
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον, 402 sqq. cf. Hes. Theog. 617 sqq. 714
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων'· ὃ γὰρ αὖτε βίῃ Ϝοῦ πατρὸς ἀμείνων.
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων· 405 cf. Ε 906
τὸν καὶ ὑπέδϜεισαν μάκαρες θεοί, οὐδέ Ϝ' ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα Ϝέλσαι Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
γνώῃ δ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων 411 sq. = Π 273 sq.
Ϝὴν ἀάτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε." 412 cf. 244
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα· 413 = Σ 428 cf. Σ 94
„ὤ μοι τέκνον ἐμόν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;

396—406 Zen. —

388 μῦθον ἐπηπείλησεν Nauck] ἠπείλησεν μῦθον || 393 ἐῆος C] ἑῆος A D, ἑοῖο Zen. || 395 *Ϝέπε'] ἔπει. — ἠέ τι Bentley] ἠὲ καί; cf. Ε 879 || 396 μεγάροισιν ἄκουσα] *μεγάροισ' ἤκουσα? || 400 Φοῖβος Ἀπόλλων Zen.] Παλλὰς Ἀθήνη || 403 Βριάρεων] nº 62 || 404 βίῃ Zen.] βίην Ar. — Ϝοῦ πατρὸς ἀμείνων] πολὺ φέρτατος ἦεν | τῶν ὁπόσοι ναίουσ' ὑπὸ Τάρταρον εὐρώεντα Zen. (ex Cobeti emendatione) || 406 *Ϝ'] τ' || 411 *γνώῃ δ' nº 122] γνῷ δὲ καί || 412 ἀάτην Nauck] ἄτην. — οὐδὲν] nº 100

I αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔ τι μάλα δϝήν. 416ᵇ = Ν 573 χ 473
νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀιζυρὸς περὶ πάντων
ἔπλεο· τῷ σε κακῇ αἴσῃ 'τέκον ἐν μεγάροισι.
τοῦτο δέ τοι ϝερέουσα ϝέπος Διὶ τερπικεραύνῳ
εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.
ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀποπαύεο πάμπαν.
Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο·
δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπόνδε,
καὶ τότ' ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
καί μιν γουνάσομαι, καί μιν πείσεσθαι ὀίω."
ὣς ἄρα φωνήσασ' ἀπεβήσετο, τὸν δ' ἔλιπ' αὖθι 428 cf. Β 35
χωόμενον κατὰ θυμὸν ἐυζώνοιο γυναικός,
τήν ῥα βίῃ ἀϝέκοντος ἀπέϝραον. 430 cf. δ 646

αὐτὰρ Ὀδυσσεὺς
ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
οἳ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐγγὺς ἵκοντο, 432 cf. π 324
ἱστία μὲν 'στεῖλάν τ' ἔθεσάν τ' ἐν νηὶ μελαίνῃ,
ἱστὸν δ' ἱστοδόκῃ 'πέλασαν προτόνοισιν ὑφέντες 434 = h. Ap. 504
καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρεσσαν ἐρετμῷ. 435-437 = ο 497 sqq.
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν,
ἐκ δὲ καὶ αὐτοὶ ἔβαινον ἐπὶ ῥηγμῖνι θαλάσσης, 437 = h. Ap. 505
ἐκ δ' ἑκατόμβην 'βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι,
ἐκ δὲ Χρυσηὶς νηὸς 'βῆ ποντοπόροιο.
τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς
πατρὶ φίλῳ ἐν χέρσ' ἐτίθει, καί μιν προσέϝειπε· 441 cf. 585
„ὦ Χρύση, πρό μ' ἔπεμψε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ' ἱερὴν ἑκατόμβην

---

424 κατὰ Ar.] μετὰ libri, vetusto errore. — Versui 424 ab Aristarcho *obelum* fuisse appictum, ut traditur in scholio mutilo, credibile non est || 428 *αὖθι nº 322] αὐτοῦ || 430 ἀπέϝραον (an *ἀπέϝρασαν?) nº 150] ἀπηύρων || 432 ἐγγὺς Ar.] ἐντός, ut π 324 legitur || 433 στεῖλάν τε θέσαν τ' Wakefield] στείλαντο θέσαν δ' || 434 ὑφέντες Zen. codd.] ἀφέντες Ar. || 435 προέρεσσαν Ar.] προέρυσσαν. — ἐρετμῷ Nauck] -μοῖς || 437 *ἔβαινον] βαῖνον || 438 (ϝ)εκηβόλῳ Ἀπόλλωνι] Ἀπόλλωνι ϝεκαϝέργῳ vGendt, Ἀπόλλωνι κλυτοτόξῳ Ameis || 441 et 446 *χέρσ' ἐτίθει] χερσὶ τίθει

I ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ' ἱλασόμεσθα Ϝάνακτα,
ὃς νῦν Ἀργείοισι πολύστονα κήδε' ἐφῆκε."
ὣς Ϝειπὼν Ϝ' ἐν χερσ' ἐτίθει, ὃ δ' ἐδέξατο χαίρων 446 = Ψ 624, 797 cf. Ψ 565 ο 130
παῖδα φίλην. τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην
ἑξείης ἔστησαν ἐύδμητον περὶ βωμόν,
'χερνίψαντο δ' ἔπειτα καὶ οὐλοχύτας ἀνέλοντο.
τοῖσιν δὲ Χρύσης μεγάλ' ηὔχετο, χεῖρας ἀνασχών· 450ᵇ = Γ 275
„κλῦθί με' ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας 451 sq. = 37 sq.
Κίλλαν τε ζαθέην, Τενέδοιό τε Ϝῖφι Ϝανάσσεις·
ἠμὲν δή ποτ' ἐμεῖο πάρος 'κλύες εὐξαμένοιο, 453 cf. Π 236
'τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν· 454 sq. = Π 237 sq.
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐϜέλδωρ·
ἤδη νῦν Δαναοῖσιν ἀϜεικέα λοιγὸν ἄμυνον."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων. 457 = 43
αὐτὰρ ἐπεί ῥ' ηὔξαντο καὶ οὐλοχύτας προβάλοντο, 458-461 = Β 421 sqq.
ἀϜϜέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν, 458 = γ 447
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν 460 sq. = μ 360 sq.
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν. 461-465 = γ 458 sqq.
'καῖε δ' ἐπὶ σχίζῃσ' ὁ γέρων, ἐπὶ δ' αἴθοπα Ϝοῖνον
'λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσί.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο, 464-469 = Β 427 sqq.
'μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν, 464 sq. = μ 364 sq.
ὤπτησάν τε περιφραδέως, 'Ϝερύσαντό τε πάντα. 465 sq. = ξ 430 sq. 466-468 = Η 318 sqq.
αὐτὰρ ἐπεὶ 'παύσαντο πόνου 'τετύκοντό τε δαῖτα, 466 = Ω 624
'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης. 468 sq. = Ψ 56 sq. 468 = 602 τ 425
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο, 469 = Η 323 Ι 92, 222 Ω 628
κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο, 470 cf. Ι 175 α 148 γ 339 φ 271
'νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι, 471 = Ι 176 γ 340 φ 272
οἳ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,

444 Ar. —

446 *Ϝ(οι) ‖ 446 sq.] *ὣς εἰπὼν τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην* Zen.; Bekker *εἶπεν*, sed corrigendum videtur *ὣς εἰπόνθ' οἵδ' ὦκα* etc., *εἰπόντε* igitur pro *εἰπόντες*, vitio apud Zen. frequentissimo. Illud autem *εἰπόντε*, cum nonnisi unus verba fecisset, defendere poterat locis quales sunt *Κ* 349 Φ 298 ‖ 447 *τοὶ*] *οἱ* Ambr. — *ἱερὴν* Ar.] *κλειτὴν* ‖ 451 **με'* vel **μοι*] *μευ* Ar. et codd. ‖ 453 *ἠμὲν δή* Spitzner] *ἤδη μέν*, cf. *Π* 236. — **ἐμεῖο πάρος 'κλύες*] *ἐμεῦ πάρος ἔκλυες*; cf. *Π* 76 ‖ 459 *ἀϜϜέρυσαν* n° 40] *αὐέρυσαν* A, *αὖ ἔρυσαν* C D ‖ 462 *σχίζῃσ' ὁ*] *σχίζῃσι?* ‖ 464] *μῆρε* (immo *μῆρα*, vid. Ludwich Ar. Einl. § 22) *κάη καὶ σπλάγχνα πάσαντο* Ar. ‖ 465 *τἆλλα*] n° 9; *τ' ἄλλα* libri meliores ‖ 469 **εἷντο*] *ἕντο*

I καλὸν ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν, 473 cf. Χ 391
μέλποντες ϜεκάϜεργον· ὃ δὲ φρένα ’τέρπετ’ ἀκούων.
ἦμος δ’ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε, 475 = ι 168, 558 κ 185 etc.
δὴ τότ’ ἐκοιμήσαντο παρὰ πρυμνήσια νηός. 476 cf. μ 32
ἦμος δ’ ἠριγένει’ ἐφάνη ῥοδοδάκτυλος Ἠώς, 477 = Ω 788 β 1 γ 404 etc.
καὶ τότ’ ἔπειτ’ ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν·
τοῖσιν δ’ ἴκμενον οὖρον ἵει ϜεκάϜεργος Ἀπόλλων. $479^{a}$ = β 420 ο 292
οἳ δ’ ἱστὸν ’στήσαντ’, ἀνά θ’ ἱστία λεύκ’ ἐπέτασσαν· 480 cf. ι 77 μ 402
ἐν δ’ ἄνεμος ’πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα 481 cf. β 427
στείρῃ πορφύρεον μέγ’ ἐϜίϜαχε νηὸς ἰούσης. 482 sq. = β 428 sq.
ἣ δ’ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
αὐτὰρ ἐπεί ῥ’ ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
νῆα μὲν οἵ γε μέλαιναν ἐπ’ ἠπείροι’ ἐϜέρυσσαν 485 = π 325 cf. h. Ap. 488
ὑψόθ’ ἐπὶ ψαμάθοισ’, ὑπὸ δ’ ἕρματα μάκρ’ ἐτάνυσσαν, 486 = h. Ap. 507. Cf. Hes. Oper. 624 sqq.
αὐτοὶ δ’ ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
αὐτὰρ ὃ ’μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι,
διογενὴς Πηλῆος υἱός, πόδας ὠκὺς Ἀχιλλεύς·
οὔτε ποτ’ εἰς ἀγορὴν ’πωλέσκετο κυδιάνειραν
οὔτε ποτ’ ἐς πόλεμον, ἀλλ’ ἐφθινύθεσκε φίλον κῆρ $491^{b}$ cf. κ 485
αὖθι μένων, ’ποθέεσκε δ’ ἀυτήν τε πτολεμόν τε.

---

ἀλλ’ ὅτε δή ῥ’ ἐκ τοῖο δυωδεκάτη ’γένετ’ ἠώς, 493 = Ω 31
καὶ ’τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες $494^{b}$ = Φ 518
πάντες ἅμα, Ζεὺς δ’ ἦρχε. Θέτις δ’ οὐ ’λήθετ’ ἐφετμῆς
παιδὸς ἑϜοῦ, ἀλλ’ ἥ γ’ ἀνεδύσετο ~~κοῦφα~~ θαλάσσης,
ἠερίη δ’ ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε. $497^{b}$ cf. Ε 750 Θ 394
ηὗρεν δ’ εὐρύϜοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων $498^{b}$ sq. = Ε 753 sq.
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο. 499 = Θ 3
καί ῥα πάροιθ’ αὐτοῖο καθέζετο, καὶ ’λάβε γούνων

---

474 Ar. — || 488—492 Zen. —, 491 om.

---

477 *ἠριγένει’ ἐφάνη] ἠριγένεια φάνη || 480 *λεύκ’ ἐπέτασσαν] λευκὰ πέτασσαν || 482 *μέγ’ ἐϜίϜαχε] μέγα Ϝίαχε Bentley, μεγάλ’ codd. || 484 κατὰ Ar. C] μετὰ AD || 485 *ἠπείροι’ ἐϜέρυσσαν] ἠπείροιο ἔρυσσαν || 486 *ὑψόθ’ nº 322] ὑψοῦ. — *μάκρ’ ἐτάνυσσαν] μακρὰ τάν. || 489 Πηλῆος υἱὸς nº 17] Πηλέος υἱὸς || 491 *ἀλλ’ ἐφθινύθεσκε] ἀλλὰ φθ. || 495 *ἐφετμῆς] ἐφετμέων, cf. nº 56. Singularem numerum suadent Σ 216 Φ 299; simili vitio laborat Ε 818 || 496 ἀνεδύσετο Ar.] ἀνεδύσατο. — κοῦφα Mehler, cf. Ν 158 etc.] κῦμα. vHerwerden ῥίμφα vel αἶψα

I σκαιῇ, δεξιτερῇ δέ Ϝ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα
λισσομένη προσέϜειπε Δία Κρονίωνα Ϝάνακτα·
„Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα
ἢ Ϝέπε' ἢ Ϝέργῳ, τὸ δέ μοι κρήηνον ἐϜέλδωρ· 504ᵇ = 41
τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ'· ἀτάρ μιν νῦν γε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμασσεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀποϜράς. 507 = 356
ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε μητιέτα Ζεῦ·
τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρα κ' Ἀχαιοὶ
υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τέ Ϝε τιμῇ."
ὣς 'φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
ἀλλ' ἀκέων δϜὴν ἧστο. Θέτις δ' ὡς ἥψατο γούνων,
ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ ἤρετο δεύτερον αὖτις·
„νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον,
ἢ ἀπόϜειπ', ἐπεὶ οὔ τοι ἔπι δϜέος, ὄφρ' ἐὺ Ϝείδω
ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς· 517 = Δ 30 cf. Η 454
„ἦ δὴ λοίγια Ϝέργ', ὅ τέ μ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅτ' ἄν μ' ἐρέθῃσιν ὀνειδείοισι Ϝέπεσσι.
ἡ δὲ καὶ αὔτως μ' αἰὲν ἐν ἀθανάτοισι θεοῖσι
νεικεῖ, καί τέ μέ φησι μάχῃ Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσῃ
Ἥρη· ἐμοὶ δέ γε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
εἶ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν πάλιν ἀγρετὸν οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω."
ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι 'νεῦσε Κρονίων· 528 = Ρ 209
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο Ϝάνακτος

501 *δέ Ϝ'] δ' ἄρ' ‖ 503 ἀθανάτοισιν ὄνησα] *ἀθανάτοισ' ὤνησα? ‖ 504 *Ϝέπε'] ἔπει ‖ 505 μοι] vitiose producitur, cf. nº 14; σύ μοι Ameis-Hentze, υἱέα μοι τίμησον Nauck; *μοι παῖδα ‖ 507 ἠτίμασσεν Nauck] -μησεν. — ἀποϜράς nº 150] ἀπουράς ‖ 509 *ὄφρα κ'] ὄφρ' ἂν ‖ 515 Ϝείδω nº 160] εἰδῶ ‖ 519] corruptus; Ἥρῃ Ar. (?); de ἄν pro κεν cf. nº 326. — -οισι Ϝέπεσσι Bekker] -οις ἐπέεσσι ‖ 520 αἰὲν Hermann] αἰεὶ ‖ 521 νεικεῖ] νεικέει ἠδὲ vel νεικέει· ἤ τε Menrad ‖ 522 μή τι Ar.] μή σε ‖ 523 γε vHerwerden] κε. — μελήσεται] genere medio hoc verbum nonnisi h. l. et κ 505 usurpatur ‖ 524 εἶ' Nicanor] εἰ δ'. Cf. vs. 302. — κατανεύσομαι Ar.] l. a. ἐπινεύσομαι ‖ 527 κατανεύσω Ar.] l. a. ἐπινεύσω

I κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐϝέλιξεν Ὄλυμπον.
τώ γ' ὣς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα 531 = ν 489
εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Ζεὺς δὲ ἐϝὸν πρὸς δῶμα. θεοὶ δ' ἅμα πάντες ἀνέσταν
ἐξ ἑδέων, σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες.
ὣς ὃ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
ἠγνοίησε ϝιδοῦσ', ὅτι ϝοι συμφράσσατο βουλὰς
ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος. 538 = 556
αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα·
„τίς δ' αὖ τοι, δολόμητι, θεῶν συμφράσσατο βουλάς; 540 cf. δ 462
αἰεί τοι φίλον ἐστὶν, ἐμεῖ' ἀπὸ νόσφιν ἐόντα
κρυπτάδια φρονέοντα δικαζέμεν'· οὐδέ τί πώ μοι
πρόφρων τέτληκας ϝειπεῖν ϝέπος ὅττι νοήσῃς.'' –
τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
„Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιϝέλπεο μύθους
ϝειδήσειν· χαλεποί τοι ἔσοντ' ἀλόχῳ περ ἐούσῃ.
ἀλλ' ὃν μέν σ' ἐπιϝεικὲς ἀκουέμεν', οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τὸν ϝείσεται οὔτ' ἀνθρώπων·
ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι, 549 cf. Θ 10
μή τι σὺ ταῦτα ϝέκαστα διείρεο μηδὲ μετάλλα.''
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· 551 = Δ 50 Π 439 Σ 360 Υ 309
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες; 552 = Δ 25 Θ 462 Ξ 330 Π 440 Σ 361
καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι οὔτε μεταλλῶ,
ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσ' ἐθέλησθα.
νῦν δ' αἰνῶς δέδϝοικα κατὰ φρένα μή σε παρείπῃ 555ᵃ = ω 353
ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος· 556 = 538
ἠερίη γάρ σ' ἦ γε παρέζετο καὶ 'λάβε γούνων.

---

530 κρατός] κρητός Zen. — ἐϝέλιξεν Dawes Cobet] ἐλέλιξεν; vide nº 41. Vulgatam sequitur Vergilius Aen. X 115 *nutu tremefecit Olympum*, sed ἐϝέλιξεν vertit Cicero Rep. I § 56 *qui nutu totum Olympum converteret*; vid. etiam Verg. Aen. IV 269 *coelum ac terras qui numine torquet* ‖ 533 ἐϝόν] σεϝόν? cf. nº 44. Fick Ζεὺς δ' ἴε ϝόν ‖ 540 δολόμητι Nauck] δολομῆτα ‖ 541 *ἐμεῖ'] ἐμεῦ ‖ 547 σ' Wakefield] κ' ‖ 548 τὸν ϝείσεται Bentley] τόν γ' εἴσεται ‖ 549 ἐθέλωμι Hermann] ἐθέλοιμι ‖ 554 ἅσσ' Ar.] ὅττι (θέλησθα) Dionysius Sidonius ‖ 555 δέδϝοικα] δείδοικα. — παρείπῃ] suspicionem movet neglecta litera ϝ et subiunctivus. Bentley παρέλθῃ, cf. vs. 132; Thiersch et vHerwerden παρεῖπε, quia indicativus requiritur, cf. ε 300; *μὴ παρέπεισε, cf. Η 120 Ν 788 Ψ 606; sed etiam *μὴ παρέϝειπε ferri potest. Naber νῦν σ' αἰνῶς… μὴ παράϝειπε, qualis tamen prolepsis vix Homerica videtur ‖ 557 σ' ἦ γε Bekker] σοί γε

I τῇ σ' ὀίω κατανεῦσαι ἐτήτυμον, ὡς Ἀχιλῆα
τιμήσεις, ὀλέεις δὲ πολῦς ἐπὶ νηυσὶν Ἀχαιῶν." 559 cf. Β 4
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„δαιμονίη, αἰεὶ μὲν ὀίεαι, οὐδέ σε λήθω.
πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ 562a = β 191
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ' οὕτω τοῦτ' ἐστὶν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφήω." 567 cf. Ο 105
ὣς ἔφατ', ἔδϜεισεν δὲ βοῶπις πότνια Ἥρη,
καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ·
ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες. 570a = Ο 101
τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
μητρὶ φίλῃ ἐπὶ Ϝῆρα φέρων, λευκωλένῳ Ἥρῃ·
„ἦ δὴ λοίγια Ϝέργα τάδ' ἔσσεται, οὐδ' ἔτ' ἀνεκτὰ,
εἰ δὴ σφῶ' ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς 575b sq. = σ 403 sq.
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
πατρὶ φίλῳ ἐπὶ Ϝῆρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατὴρ, σὺν δ' ἧμιν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς,
ἐξ ἑδέων στυφελίξει· ὃ γὰρ πολὺ φέρτερός ἐστι.
ἀλλὰ σὺ τόν γε Ϝέπεσσι καθάπτεσθαι μαλακοῖσι·
αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἧμιν."
ὣς ἄρ' ἔφη, καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρ' ἐτίθει, καί μιν προσέϜειπε· 585 cf. 441
„τέτλαθι, μῆτερ ἐμὴ, καὶ ἀνάσχεο κηδομένη περ, 586 cf. Ε 382

---

559 ὀλέεις vHerwerden] ὀλέσεις. — πολῦς Zen. nº 83] πολέας ‖ 560 τὴν δ' ἀπαμειβόμενος] l. a. τὴν δὲ μέγ' ὀχθήσας ‖ 567 ἰόνθ'] i. e. ἰόντα Ar., ἰόντε Zen., cf. nº 52. Bentley ἰών. — ἀάπτους Ar.] ἀέπτους Aristoph. — ἐφήω nº 122] ἐφείω ‖ 572 et 578 ἐπὶ Ϝῆρα] ἐπίηρα Ar. ‖ 574 σφῶ'] σφώ, cf. nº 92 ‖ 576 ἦδος] sine Ϝ, ut Λ 318 et σ 404; Bentley (Heyne Bekker) his locis ἔσται Ϝῆδος proponebat, Nauck ἔσσεται ἐσθλῆς Ϝῆδος, alii ἐσθλῆς ἔσσετ' ὑῆδος (ἐϜῆδος). Vox praeterea occurrit Σ 80 et ω 95, ubi non liquet sitne addendum Ϝ necne ‖ 581 στυφελίξει Bentley] στυφελίξαι. — φέρτερος Anecd. Par. III 109] φέρτατος ‖ 582 γε Ϝέπεσσι Nauck] γ' ἐπέεσσι ‖ 585 *χείρ' ἐτίθει] χειρὶ τίθει Aristoph. Ar., χερσὶ τίθει codd.

I μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδωμαι
θεινομένην· τότε δ' οὔ τι δυνήσομαι ἀχνύμενός περ 588 sq. cf. 241 sq.
χραισμέμεν'· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
'ρῖψε, ποδὸς τεταγών, ἀπὸ βηλοῦ θεσπεσίοιο.
πᾶν δ' ἦμαρ 'φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι 592 cf. Hes. Theog. 722 sqq.
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·
ἔνθα με Σίντιες ἄνδρες ἄφαρ 'κομίσαντο πεσόντα."
ὣς 'φάτ', ἐμείδησεν δὲ θεὰ λευκώλενος Ἥρη, 595 = Φ 434 cf. Ξ 222
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
αὐτὰρ ὃ τοῖσ' ἄλλοισι θεοῖσ' ἐνδέξια πᾶσι
'ϝοινοχόει, γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων.
ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλος μακάρεσσι θεοῖσι, 599 = θ 326
ὡς 'ϝίδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 601 sq. = τ 424 sq.
'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϝίσης, 601 = ι 161, 556 κ 183 etc.
οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων, 602 = 468
μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ϝοπὶ καλῇ. 604 cf. ω 60 h. Ap. 189
αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἳ μὲν κακκείοντες ἔβαν ϝοῖκόνδε ϝέκαστος, 606 = γ 396 η 229 ν 17 cf. Ψ 58 α 424
ἧχι ϝεκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος 'ποίησε ϝιδυίῃσι πραπίδεσσι. 608 = Υ 12
Ζεὺς δ' ἐπὶ ϝὸν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
ἔνθα πάρος 'κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι. 610 = τ 49
ἔνθα καθηῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

---

589 *χραισμέμεν'] χραισμεῖν ‖ 595 *'φάτ', ἐμείδησεν] φάτο, μείδησεν ‖ 598 ϝοινοχόει] ῳνοχόει codd., sed οἰνοχόει Argol. Massil. Antimach. Aristoph. Zen. Ar., videatur Didymi scholion notabile ‖ 599 γέλος Bentley] γέλως ‖ 606 ϝέκαστος] νέεσθαι Nauck propter sequens ϝεκάστῳ ‖ 607 ἧχι Ar.] ἧχι ‖ 609 δ' ἐπὶ ϝὸν Cobet] δὲ πρὸς ὅν, Zen. δὲ πρὸς ὃ λέχος. Bekker δ' ἐπ' ἐϝόν, Christ δὲ ἑόν (cf. 533); Bentley δὲ πρὸς (rectius δὲ ποτὶ Nauck) ‖ 611 καθηῦδ'] Zen. ἔνθ' ἐκάθευδ'

# ΙΛΙΑΔΟΣ Β.

*Ὄνειρος* (vs. 1—86). — *Διάπειρα* (vs. 87—483). — *Βοιωτία ἢ Κατάλογος τῶν νεῶν* (vs. 484 sqq.).

---

II *ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ* 1 = Ω 677
*ηὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε ϝήδυμος ὕπνος,* 1 sq. cf. Κ 1-4
*ἀλλ' ὅ γ' ἐμερμήριζε κατὰ φρένα ὡς Ἀχιλῆα*
*τιμήσῃ, ὀλέσῃ δὲ πολῦς ἐπὶ νηυσὶν Ἀχαιῶν.* 4 cf. Α 559
*ἥδε δέ ϝοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή,* 5 = Κ 17 Ξ 161
*πέμψαι ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι οὖλον Ὄνειρον·* cf. ι 318, 424 λ 230
*καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·*
*„βάσκ' ἴθι, οὖλος Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·*
*ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο*
*πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν' ὡς ἐπιτέλλω.* 10ᵇ = Ι 369
*θωρῆξαί ϝε κέλευε κάρη κομάοντας Ἀχαιοὺς* 11 sq. cf. 28 sq.
*πανσυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν*
*Τρώων, οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες* 13-15 = 30 sqq.
*ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας*
*Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται."*
*ὣς 'φάτ', ἔβη δ' ἄρ' Ὄνειρος, ἐπεὶ τὸν μῦθον ἄκουσε.*
*καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,* 17 = 168
*'βῆ δ' ἄρ' ἐπ' Ἀτρεΐδην Ἀγαμέμνονα· τὸν δ' ἐκίχανε*

---

1 *ἄλλοι*] *ὧλλοι* Zen., cf. nº 9 ‖ 2 *ϝήδυμος* nº 41] *νήδυμος* Ar. codd. ‖ 4 *τιμήσῃ, ὀλέσῃ*] nº 122. — *πολῦς* Zen.] *πολέας* ‖ 8 *οὖλος* Naber] *οὖλε* ‖ 11 *κομάοντας* nº 191] *-όωντας* ‖ 12 *ἕλοι* Zen.] *ἕλοις* Ar. ‖ 15 *Τρώεσσι δὲ κήδε' ἐφῆπται*] *δίδομεν δέ ϝοι εὖχος ἀρέσθαι* (Φ 297) Aristot. de Soph. el. 4, Poet. 26 ‖ 16 *'φάτ', ἔβη*] *φάτο, βῆ*

II εὕδοντ' ἐν κλισίῃ, περὶ δ' ἀμβρόσιος 'κέχυθ' ὕπνος.
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς Νηληΐῳ υἷι ϝεϝοικώς,
Νέστορι, τόν ῥα μάλιστα γερόντων 'τῖ' Ἀγαμέμνων·
τῷ μιν ϝεισάμενος προσεφώνεε θεῖος Ὄνειρος·
„εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο; 23-33ᵃ = 60 sqq.
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε.
νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι. 26 = Ω 133
[ὅς σέ' ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.] 26ᵇ sq. = Ω 174 sq.
θωρῆξαί σ' ἐκέλευσε κάρη κομάοντας Ἀχαιοὺς 28 sq. cf. 11 sq.
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων, οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες 30-32 = 13 sqq.
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη
αἱρεέτω, ὅτε κέν σε μελίφρων ὕπνος ἀνήῃ.''
ὣς ἄρα φωνήσας ἀπεβήσετο, τὸν δ' ἔλιπ' αὖθι 35 cf. Α 428
τὰ φρονέοντ' ἀνὰ θυμὸν ἅ ῥ' οὐ τελέεσθαι ἔμελλον.
'φῆ γὰρ ὅ γ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ,
νήπιος, οὐδὲ τὰ 'ϝείδε' ἅ ῥα Ζεὺς 'μήδετο ϝέργα·
θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε στοναχάς τε
Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.
ἤγρετο δ' ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ' ὀμφή.
ἕζετο δ' ὀρθωθείς, μαλακὸν δ' ἐνέδυνε χιτῶνα,
καλὸν νηγάτεον, περὶ δὲ μέγα 'βάλλετο φᾶρος·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα, 44 = Κ 22, 132 Ξ 186 etc.
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφος ἀργυρόηλον. 45 = Γ 334 Π 135 Τ 372
εἵλετο δὲ σκῆπτρον πατρώιον, ἄφθιτον αἰεί· 46ᵇ sq. = 186 sq.
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
Ἠὼς μέν ῥα θεὰ προσεβήσετο μακρὸν Ὄλυμπον

---

27 Ar. —

---

22 ϝεισάμενος Bekker] εἰσάμενος. — θεῖος] l. a. οὖλος || 27 *σέ'] σευ || 28 κομάοντας nº 191] -όωντας || 33 σὺ σῇσιν] *τεῇσιν? || 34 αἱρεέτω ὅτε κεν] αἱρείτω εὖτ' ἂν || 35 δ' ἔλιπ'] δὲ λίπ' Ar. — *αὖθι nº 322] αὐτοῦ || 36 ἔμελλον Ar.] ἔμελλεν Zen. codd. || 38 'ϝείδε'] ᾔδη, ᾔδει. Fortasse *οὐδέ τ' ἐϝείδε' verum est || 39] Nauck ingeniose θησέμεναι γὰρ ἔμελλεν ἔτ' || 41 *ἤγρετο] ἔγρετο || 42 *ἐνέδυνε] ἔνδυνε

II Ζηνὶ φάος Ϝερέουσα καὶ ἄλλοισ' ἀθανάτοισι·
αὐτὰρ ὃ κηρύκεσσι λιγυφθόγγοισ' ἐκέλευσε 50 cf. 442 I 10 Ψ 39 β 6
κηρύσσειν ἀγορῆνδε κάρη κομάοντας Ἀχαιούς· 51 = β 7 cf. B 443
οἳ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα. 52 = 444 β 8
βουλὴ δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεστορέῃ παρὰ νηὶ Πυλοιγενέος βασιλῆος.
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν· 55 = K 302
„κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος 56 = ξ 495
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίῳ
Ϝεῖδός τε μέγεθός τε φυήν τ' ἄγχιστ' ἐϜεϜοίκει. 58 cf. ζ 152
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔϜειπε· 59 cf. Ψ 68 Ω 682 δ 803 etc.
εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο; 60-70ᵃ = 23 sqq.
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε.
νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι.
[ὅς σε' ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.]
θωρῆξαί σ' ἐκέλευσε κάρη κομάοντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν. — ὥς ὅ γε Ϝειπὼν
ᾤχετ' ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκε.
ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν. 72 = 83
πρῶτα δ' ἐγὼ Ϝέπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω·
ὕμες δ' ἄλλοθεν ἄλλος ἐρητύειν Ϝεπέεσσι."

64 Ar. —

49 φάος n° 71] φόως. — Ϝερέουσα] suspectum h. l. et Ψ 226 est Ϝερέω, cui verbo vix aliud obiectum addere licet atque ἀγγελίην Ϝέπος vel simile quid; hic vero unum φέρειν locum habere videtur; cf. h. Merc. 184 || 50 *-οισ' ἐκέλευσε] -οισι κέλευσε || 51 κομάοντας n° 191] -όωντας || 53 βουλή Aristoph. Ar.] βουλὴν Zen. || 55] Zen. αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, | τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων || 58 *ἄγχιστ' ἐϜεϜοίκει] ἄγχιστα ἐῴκει || 60—70] Zen. sic contraxit: ἠνώγει σε πατὴρ ὑψίζυγος, αἰθέρι ναίων, | Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον. ὣς ὁ μὲν εἰπὼν | κτέ. || 64 *σε'] σευ || 70 σὺ σῇσιν] *τεῇσιν? — ὅ γε Bekker] ὁ μὲν || 71 ἀποπτάμενος] -όμενος? n° 216 || 74 καὶ φεύγειν] *φευγέμεναι? || 75 *ὕμες] ὑμεῖς

II ἦ τοι ὅ γ' ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετο, τοῖσι δ' ἀνέστη 76 = Α 68
Νέστωρ, ὅς ῥα Πύλοιο Ϝάναξ ἦν ἠμαθόεντος·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 79 = Ι 17 Κ 533 etc.
εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἐνίσπε,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον· 81 = Ω 222
νῦν δ' ἔϜιδ' ὃς μέγ' ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν." 83 = 72
ὣς ἄρα φωνήσας βουλῆς ἒξ ἦρχε νέεσθαι.
οἳ δέ τ' ἀνέστησαν 'πείθοντό τε ποιμένι λαῶν,
σκηπτόοχοι βασιλῆες· ἐπεσσεύοντο δὲ λαοί.

---

ἠύτε Ϝέθνε' ἴασι μελισσάων ἀδινάων,
πέτρης ἒκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων·
βοτρυδὸν δὲ πέτονται ἔπ' ἄνθεσι Ϝεαρινοῖσι·
αἳ μέν τ' ἔνθα Ϝάλις πεποτήαται, αἳ δέ τε ἔνθα·
ὣς τῶν Ϝέθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων 91 = 464
ἠιόνος προπάροιθε βαθείης ἐστιχάοντο
Ϝιλαδὸν εἰς ἀγορήν· μετὰ δὲ σφίσι Ϝόσσ' ἐδεδήει
ὀτρύνουσ' ἴμεναι, Διὸς ἄγγελος· οἳ δ' ἀγέροντο.
'τετρήχει δ' ἀγορή, ὑπὸ δ' ἐστεναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδος δ' ἦν· ἐννέα δέ σφας
κήρυκες βοάοντες ἐρήτυον, εἴ ποτ' ἀυτῆς
σχοίατ', ἀκούσειαν δὲ διοτρεφέων βασιλήων.
σπουδῇ δ' ἕζετο λαός, ἐρήτυθεν δὲ καθ' ἕδρας
παυσάμενοι κλαγγῆς· ἀνὰ δὲ κρείων Ἀγαμέμνων
ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος 'κάμε τεύχων.

---

76—83 Ar. —

---

76—83] si deleantur, versus 84 ad Agamemnonem referendus erit ‖ 77 ἦν] ἔεν LMeyer ‖ 82 *ἔϜιδ'] ἴδεν. — Ἀχαιῶν] l. a. ἐνὶ στρατῷ, cf. Α 91 ‖ 85 δέ τ' ἀνέστησαν Cobet] δ' ἐπανέστησαν, *assurgebant*, quod verbum ab hoc loco alienum neque alibi apud Homerum obvium est; schol. BL δὲ πανέστησαν (sensu π ά ν τ ε ς ἀνέστησαν!) ‖ 86 σκηπτόοχοι Nauck] -οῦχοι ‖ 87 Ϝέθνε' ἴασι Bentley] ἔθνεα εἶσι, cf. Π 160 ‖ 89 *Ϝεαρινοῖσι nº 21] εἰαρινοῖσι ‖ 90 τε ἔνθα] hiatus non ferendus ‖ 92 ἐστιχάοντο nº 191] -όωντο ‖ 93 *Ϝόσσ' ἐδεδήει] ὄσσα δεδήει ‖ 94 ἴμεναι nº 125] ἰέναι. — ἀγέροντο] *ἤγροντο? cf. nº 255 ‖ 96 ἦν] ἔεν LMeyer. — σφας C, nº 92] σφέας AD ‖ 97 βοάοντες nº 191] βοόωντες ‖ 99 ἕζετο λαός] *ἥατο λαοί?

II Ἥφαιστος μὲν ἔδωκε Διὶ Κρονίωνι Ϝάνακτι,
αὐτὰρ ἄρα Ζεὺς ’δῶκε διακτόρῳ ἀργεϊφόντῃ·
Ἑρμείας δὲ Ϝάναξ ’δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὃ αὖτε Πέλοψ ’δῶκ’ Ἀτρέι, ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνῄσκων ἔλιπεν πολύϜαρνι Θυέστῃ,
αὐτὰρ ὃ αὖτε Θυέστ’ Ἀγαμέμνονι ’δῶκε φορῆναι,
πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ Ϝανάσσειν.
τῷ ὅ γ’ ἐρεισάμενος Ϝέπε’ Ἀργεΐοισι μετηύδα· 109 cf. Θ 496
„ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 110 = Z 67 O 733 T 78
Ζεύς με μέγα Κρονίδης ἀάτῃ ἐνέδησε βαρείῃ, 111-118 = I 18 sqq.
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε
Ϝίλιον ἐκπέρσαντ’ ἐυτειχέα ἀπονέεσθαι, 113 = 288 E 716
νῦν δὲ κακὴν ἀπάτην ’βουλεύσατο, καί με κελεύει
δυσκλέε’ Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι, 116 = Ξ 69 cf. N 226
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ’ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
αἰσχρὸν γὰρ τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι, $119^b$ = ω 433
μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμιζέμεν’ ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι· τέλος δ’ οὔ πώ τι πέφανται.
εἴ περ γάρ τ’ ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε $123^a$ = Θ 205
ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶες μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασι,
ἧμες δ’ ἐς δεκάδας διακοσμηθήμεν’ Ἀχαιοί,
Τρώων δ’ ἄνδρα Ϝέκαστοι ἑλοίμεθα Ϝοινοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο Ϝοινοχόοιο.
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν. ἀλλ’ ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες ἔασι,

111—118 Zen. — ‖ 124 Ar. — ‖ 130—133 Ar. —

102 ἔδωκε Bekker] δῶκε ‖ 107 δῶκε Iulian. 51 B, Priscian. Inst. XVII 208] λεῖπε ‖ 111 μέγα] μέγας Ar., teste Didymo in scholio ad hunc versum, quod permagni est pretii. Cf. I 18. — ἀάτῃ Nauck] ἄτῃ ‖ 113 ἐυτειχέα Nauck] ἐυτείχεον ‖ 115 δυσκλέε’ vHerwerden] δυσκλέα ‖ 119 αἰσχρὸν γὰρ τόδε γ’] λώβη γὰρ τάδε γ’ Zen. ‖ 121 πολεμιζέμεν Bekker] -ζειν ‖ 123 *τ’] κ’ ‖ 125 Τρῶες Ar.] Τρῶας ‖ 126 *διακοσμηθήμεν’] διακοσμηθεῖμεν A, -θείημεν D, -θῆμεν C ‖ 127 ἕκαστοι Ar.] ἕκαστον ‖ 131 πολλέων nº 56] *πολλάων πολίων? — ἔασι] ἔνεισιν Ar. in ed. altera

Π οἵ με μέγα πλάζουσι καὶ οὐκ ἐάουσ' ἐθέλοντα
Ϝίλιον ἐκπέρσαι, ἐὺ ναιόμενον πτολίεθρον. 133ᵇ = Δ 164
ἐννέα δὴ βεβάασι Διὸς μεγάλοι' ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται·
αἳ δέ ποθ' ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
ἥατ' ἐνὶ μεγάρῳ ποτιδέγμεναι· ἧμι δὲ Ϝέργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεσθα.
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες· 139-141 = Ι 26 sqq.
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν· 139 = Ι 704 etc.
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
ὣς 'φάτο, τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινε 142 cf. Γ 395 Δ 208 etc.
πᾶσι μετὰ πληθὺν, ὅσοι οὐ βουλῆς ἐπάκουσαν.
'κινήθη δ' ἀγορὴ φὴ κύματα μακρὰ θαλάσσης,
πόντου Ϝικαρίοιο, τὰ μέν τ' Εὖρός τε Νότος τε
ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.
ὡς δ' ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήιον ἐλθὼν,
λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσι,
ὣς τῶν πᾶσ' ἀγορὴ 'κινήθη. τοὶ δ' ἀλαλητῷ
νῆας ἔπ' ἐσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
ἵστατ' ἀειρομένη· τοὶ δ' ἀλλήλοισ' ἐκέλευον
ἅπτεσθαι νηῶν ἠδ' ἑλκέμεν' εἰς ἅλα δῖαν,
οὐρούς τ' ἐξεκάθαιρον· ἀυτὴ δ' οὐρανὸν ἷκε
Ϝοίκαδε Ϝιεμένων· ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν.
ἔνθα κεν Ἀργεΐοισιν ὑπέρμορα νόστος ἐτύχθη,
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔϜειπε·
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη, 157 = Ε 714 Φ 420 cf. Θ 352
οὕτω δὴ Ϝοῖκόνδε, φίλην ἐς πατρίδα γαῖαν, 158 = 174 ε 204
Ἀργέιοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάσσης;
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν 160 cf. 176 Δ 173

---

143 Ar. — || 157—168 Zen. om. || 160—162 et 164 Ar. —

---

132 ἐάουσ' nº 191] εἰῶσ' || 133 Ἴλιον Ar.] Ἰλίου || 134 μεγάλοι' nº 59] -λου || 136 *ποθ' nº 322] που || 137 ἥατ' nº 220] εἵατ'. — *μεγάρῳ nº 60] μεγάροις. Christ μεγάροισι δεδεγμέναι. — *ἧμι] ἄμμι || 139 *ὥς κεν] ὡς ἂν || 142 στήθεσσιν ὄρινε] *-σσ' ὤρινε? || 144 φὴ Zen.] ὡς Ar. et libri; vid. Didymus ad Ξ 499 || 144—148] duplicis redactionis notabile exemplum; Bekker 147 sq. delet, Christ vero 144—146 postea additos censet; difficilis est optio || 148 ἐπαιγίζων] ἐπαΐσσων Aristoph., item ο 293 || 147 κινήσῃ] -σει C, vid. nº 122 || 156] Zen. εἰ μὴ Ἀθηναίη λαοσσόος ἦλθ' ἀπ' Ὀλύμπου

II *Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν* 161 sq. = 177 sq.
*ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης.*
*ἀλλ᾽ ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·* 163 cf. 179
*σοῖσ᾽ ἀγανοῖσι ϝέπεσσιν ἐρήτυε φῶτα ϝέκαστον,* 164 sq. = 180 sq.
*μηδ᾽ ἔαε νῆας ἅλαδ᾽ ἑλκέμεν᾽ ἀμφιϝελίσσας.”*
*ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη·* 166 = Ε 719 Η 43
*᾽βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀίξασα.* 167 = Δ 74 Χ 187
*ηὗρεν ἔπειτ᾽ Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον,* etc. cf. Δ 44 Η 19 169 = 407
*ἑσταότ᾽· οὐδ᾽ ὅ γε νηὸς ἐυσσέλμοιο μελαίνης* 169[b] = Κ 137
*ἥπτετ᾽, ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανε.*
*ἄγχι δέ ϝ᾽ ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·* 172 = ο 9
*„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,* 173 sq. = ε 203 sq.
*οὕτω δὴ ϝοῖκόνδε φίλην ἐς πατρίδα γαῖαν* 174 = 158
*φεύξεσθ᾽ ἐν νήεσσι πολυκλήισι πεσόντες;*
*κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιτε* 176 cf. 160
*Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν* 177 sq. = 161 sq.
*ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης.*
*ἀλλ᾽ ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδέ τ᾽ ἐρώει·* 179 cf. 163
*σοῖσ᾽ ἀγανοῖσι ϝέπεσσιν ἐρήτυε φῶτα ϝέκαστον,* 180 sq. = 164 sq.
*μηδ᾽ ἔαε νῆας ἅλαδ᾽ ἑλκέμεν᾽ ἀμφιϝελίσσας.”*
*ὣς ᾽φάθ᾽, ὃ δὲ ξυνέηκε θεᾶς ϝόπα φωνησάσης,* 182 = Κ 512
*᾽βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν ᾽βάλε· τὴν δ᾽ ἐκόμισσε*
*κῆρυξ Εὐρυβάτης Ἰθακήσιος, ὅς ϝοι ὀπήδει.*
*αὐτὸς δ᾽ Ἀτρεΐδα᾽ Ἀγαμέμνονος ἀντίος ἐλθὼν*
*᾽δέξατό ϝοι σκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·* 186[b] sq. = 46 sq.
*σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.*
*ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,*
*τὸν δ᾽ ἀγανοῖσι ϝέπεσσ᾽ ἠρητύσασκε παραστάς·*
*„δαιμόνι᾽, οὔ σε ϝέϝοικε κακὸν ὣς δεδϝίσσεσθαι,*
*ἀλλ᾽ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.*
*οὐ γάρ πω σάφα ϝοῖσθ᾽ οἷος νόος Ἀτρεΐωνος·*

---

168 *καρπαλίμως δ᾽ ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν* 168 = 17

---

161 *Ἀργείην*] *Ἀργείην θ᾽* Zen. || 164 *-νοῖσι ϝεπεσσιν* Nauck] *-νοῖς ἐπέεσσιν* || 165 **μηδ᾽ ἔαε* n° 191] *μηδὲ ἔα.* Cf. vs. 346 || 168] om. A C, in margine habet D || 171 *ἥπτετ᾽* Lange] *ἅπτετ᾽* || 172 **ἄγχι δέ ϝ᾽* n° 318] *ἀγχοῦ δ᾽* || 180 sq.] cf. ad 164 sq. || 184 *ϝοι ὀπ.*] **ϝ᾽ ὠπ.*? || 185 *Ἀτρεΐδα᾽* n° 55] *Ἀτρεΐδεω* || 187 *ἔβη* Ar. et libri] *βὰς* Zen. || 189] cf. ad 164. — **ϝ ἠρ.*] *ἔπεσσιν ἐρ.* || 192 *Ἀτρείωνος* Aristoph. Ar.] *Ἀτρεΐδαο* libri

II νῦν μὲν πειράεται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.
ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔϝειπε.
μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος·
τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ϝε μητιέτα Ζεύς." 197b = h. Merc. 469
ὃν δ' αὖ δήμοἰ ἄνδρα ϝίδοι βοάοντά τ' ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασχ' ὁμοκλήσασκέ τε μύθῳ·
„δαιμόνἰ, ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε,
οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ.
οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου πάις ἀγκυλόμητις."
ὣς ὅ γε κοιρανέων δίεπε στρατόν· οἳ δ' ἀγορήνδε
αὖτις ἐπεσσεύοντο νεῶν ἄπο καὶ κλισιάων 208b = 91
ϝηχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης
αἰγιαλῷ μεγάλα βρέμεται, σμαραγεῖ δέ τε πόντος.
ἄλλοι μέν ῥ' ἕζοντ', ἠρήτυθεν δὲ καθ' ἕδρας·
Θερσίτης δ' ἔτι μοῦνος ἀμετροϝεπὴς ἐκολῴα,
ὃς ϝέπεα φρεσὶ ϝῇσιν ἄκοσμά τε πολλά τ' ἐϝείδει,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι βασιλεῦσι, 214a = E 759 γ 138
ἀλλ' ὅ τί ϝοι ϝείσαιτο γελοίιον Ἀργείοισι
ἔμμεναι. αἴσχιστος δὲ ἀνὴρ ὑπὸ ϝίλιον ἦλθε·
φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ ϝοι ὤμω
κυρτώ, ἐπὶ στῆθος συνοκωχότε· αὐτὰρ ὕπερθε
φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη. 219b = K 134
ἔχθιστος δ' Ἀχιλῆι μάλιστ' ἦν ἠδ' Ὀδυσῆι·
τὼ γὰρ ἐνεικείεσκε· τότ' αὖτ' Ἀγαμέμνονι δίῳ

---

206 σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βασιλεύῃ. 206 cf. I 99

193—197 Ar. — || 203—205 Ar. post 192 malebat collocatos || 220—223 Zen. —

---

193 πειράεται nº 191] -ᾶται || 196 διοτρεφέος βασιλῆος Ar.] -έων -ήων Aristot. Rhet. II 2, Zen. alii || 197] suspectum ἐστι repetitum et φιλεῖ contractum; *τιμὴ δ' ἐκ Ζηνός, φιλέει? || 198 δήμοἰ nº 59] δήμου. — βοάοντα nº 191] βοόωντα || 199 *ἐλάσασχ' ὠμοκλ.] -σκεν ὁμοκλ. || 205 ἔδωκε] δῶκε Ar. — ἀγκυλόμητις Nauck] -τέω || 206] abest a bonis libris, sed legebatur a Dione Chrys. I; βασιλεύῃ corruptum est ex βουλεύῃσι, cf. I 99 || 210 μεγάλα vHerwerden] -άλῳ || 211 *ἕζοντ', ἠρήτ.] -ντο, ἐρήτ. || 213 ὃς ϝέπεα Bentley] ὅς ῥ' ἔπεα. — *τ' ἐϝείδει] τε ᾔδη || 218 συνοκωχότε Valckenaer et Cobet ex Hesychio] συνοχωκότε || 220 ἦν] ἔεν LMeyer || 221 *ἐνεικείεσκε] νεικείεσκε

Π ὀξέα κεκληγὼς 'λέγ' ὀνείδεα. τῷ δ' ἄρ' Ἀχαιοὶ
ἐκπάγλως 'κοτέοντ', ἐνεμέσσηθέν τ' ἐνὶ θυμῷ.
αὐτὰρ ὃ μακρὰ βοῶν Ἀγαμέμνονα 'νείκεε μύθῳ·
„Ἀτρεΐδη, τέο δ' αὖτ' ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες 226ª cf. Ι 71
εἰσὶν ἐνὶ κλισίῃσ' ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν, ὅτε κε πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυσοῖ' ἐπιδεύεαι, ὅν κέ τις οἴσῃ
Τρώων ἱπποδάμων ἐκ Ϝιλίου υἷος ἄποινα,
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγηαι ἐν φιλότητι,
ἥν τ' αὐτὸς ἀπὸ νόσφι κατίσχηαι; οὔ τι ϜέϜοικε
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν' υἷας Ἀχαιῶν.
ὦ πέπονες, κάκ' ἐλέγχε', Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί,
Ϝοίκαδέ περ σὺν νηυσὶ νεώμεθα, τὸν δ' ἐάωμεν
αὐτόθ' ἐνὶ Τροίῃ γέρα πεσσέμεν', ὄφρα Ϝίδηται
ἤ τι καὶ ἡμές Ϝοι προσαμύνομεν ἠὲ καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα, Ϝέο μέγ' ἀμείνονα φῶτα,
ἠτίμασσεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀποϜράς. 240 = Α 356
ἀλλὰ μάλ' οὐκ Ἀχιλῆι χόλος φρεσίν, ἀλλὰ μεθήμων·
ἦ γάρ κ', Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο."   242 = Α 232
ὣς 'φάτο νεικείων Ἀγαμέμνονα, ποιμένα λαῶν,
Θερσίτης· τῷ δ' ὦκα παρίστατο δῖος 'Οδυσσεύς,
καί μιν ὑπόδρα Ϝιδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·   245ᵇ = Ρ 141
„Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,   246ᵇ = Τ 82 cf. υ 274
ἴσχεο, μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλεῦσι.
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅσσοι ἅμ' Ἀτρεΐδῃσ' ὑπὸ Ϝίλιον ἦλθον.
τῷ οὔ κεν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις,
καί σφιν ὀνείδεά τε προφέροις, νόστον τε φυλάσσοις.

---

227 sq. Zen. om. || 231—234 Zen. —

---

222 κεκληγώς] *κεκληγγώς? || 223 *'κοτέοντ', ἐνεμέσσηθεν] κοτέοντο, νεμέσσηθεν || 225 δ' Ar. codd.] δὴ Zen. || 226 πολλαὶ δὲ γυναῖκες] πλεῖαι δὲ γυναικῶν Zen. || 228 *ὅτε κε] εὖτ' ἄν || 229 χρυσοῖ' nº 59] χρυσοῦ. — οἴσῃ nº 122] -σει || 232 μίσγηαι nº 122] μίσγεαι || 233 κατίσχηαι nº 122] κατίσχεαι. — οὔ τι ϜέϜοικε Christ] οὐ μὲν ἔοικε. Bentley οὔ σε ϜέϜοικε || 236 *τὸν δ' ἐάωμεν] τόνδε δ' ἐῶμεν || 237 αὐτόθ' nº 322] αὐτοῦ || 238 *ἤ τι καὶ ἡμές Ϝοι] ἤ ῥά τί οἱ χἠμεῖς, cf. nº 9 || 239 Ϝέο] ἑοῦ Zen. || 240] cf. ad Α 356 || 242 *κ'] ἄν || 250 *οὔ κεν] οὐκ ἄν

II [οὐδέ τί πω σάφα Ϝίδμεν ὅπως ἔσται τάδε Ϝέργα,
ἢ εὐ ἠὲ κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
τῷ νῦν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧσαι ὀνειδίζων, ὅτι Ϝοι μάλα πολλὰ διδοῦσι
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.]
ἀλλ' ἔκ τοι Ϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 257 = β 187 ρ 229 σ 82 cf. Δ 204, 212
εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,
μηκέτ' ἔπειτ' Ὀδυσῆι κάρη ὤμοισιν ἐπείη,
μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα Ϝείματα δύσω,
χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδόα ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω
πεπληγὼς ἀγορῆθεν ἀϜεικέσσι πληγῇσι."
ὣς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
'πλῆξεν· ὃ δ' ἰδνώθη, θαλερὸν δέ Ϝοι ἔκπεσε δάκρυ.
σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη
σκήπτρου ὕπο χρυσέου· ὃ δ' ἄρ' ἕζετο 'τάρβησέν τε,
ἀλγήσας δ', ἀχρεῖον ἰδών, ἀπομόρξατο δάκρυ.
οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ Ϝηδὺ 'γέλασσαν,
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν ἐς πλησίον ἄλλον· 271 = Δ 81 Χ 372 θ 328 etc.
„ὢ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ϜέϜοργε,
βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων·
νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξε,
ὃς τὸν λωβητῆρα Ϝεπεσβόλον ἔσχ' ἀγοράων.
οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
νεικείειν βασιλῆας ὀνειδείοισι Ϝέπεσσι."
ὣς 'φάσαν ἡ πληθύς· ἀνὰ δὲ πτολίπορθος Ὀδυσσεὺς
ἔστη σκῆπτρον ἔχων, παρὰ δὲ γλαυκῶπις Ἀθήνη
Ϝειδομένη κήρυκι σιωπᾶν λαὸν ἄνωγε,
ὡς ἅμα Ϝοι πρῶτοί τε καὶ ὕστατοι υἷες Ἀχαιῶν
μῦθον ἀκούσειαν καὶ ἐπιφρασσαίατο βουλήν.

252—256 Ar. —

258 εἴ κ' ἔτι Ar. (?)] εἰ δ' ἔτι Zen. (?); vid. Ludwich Arist. I p. 211 sq. || 262 αἰδόα Nauck] αἰδῶ Ar. || 266 ἔκπεσε] ἔκφυγε Ar. || 269 ἰδὼν] neglecto Ϝ. Philetas ridicule ἰδῶν, sensu ὀφθαλμῶν. Videatur σ 163 || 277 ὀνειδείοισι Ϝέπεσσι Bekker] -οις ἐπέεσσι || 278 δὲ] δ' ὁ Ar. || 280 *ἄνωγε] ἀνώγει, cf. n° 225 || 281 ἅμα Nauck] ἅμα θ'

II ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„Ἀτρεΐδη, νῦν δή σε, ϝάναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσι,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἥν περ ὑπέσταν 286b cf. κ 483
ἐνθάδ' ἔτι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο,
Ϝίλιον ἐκπέρσαντ' ἐυτειχέα ἀπονέεσθαι· 288 = 113
ἠύτε γὰρ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται ϝοῖκόνδε νέεσθαι.
ἦ μὲν καὶ πόνος ἐστὶν ἀνίη τ' ἔνθ' ἀνέχεσθαι.
καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ϝῆς ἀλόχοιο
ἀσχαλάει σὺν νηὶ πολυζύγῳ, ὅν περ ἄελλαι
χειμέριαι ϝέλλωσιν ὀρινομένη τε θάλασσα·
ἧμιν δ' εἴνατός ἐστι περιτροπάων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῷ οὐ νεμεσίζομ' Ἀχαιοὺς
ἀσχαλάειν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δϝηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα ϝίδωμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται ἠὲ καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ϝίδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι· 302b = ξ 207
χθιζά τε καὶ πρωΐζ', ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι·
ἧμες δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
'ϝέρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας, 306 cf. Α 315
καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν 'ρέεν ἀγλαὸν ὕδωρ,

---

284 *δή*] *γάρ* Ar. ‖ 288 *ἐυτειχέα* Nauck] *-εον* ‖ 289 *ἠύτε γὰρ* Nauck] *ὥς τε γὰρ ἤ*, in quibus *ἤ* sensu caret. Bentley *ὥς τε γὰρ εἰ*, sed tum *ὡς εἴ τε* dicendum erat ‖ 291 *ἦ μὲν* nº 18] *ἦ μήν*, l. a. *νῦν γὰρ* in schol. ad 284. — **ἀνίη τ' ἔνθ' ἀνέχεσθαι*] *ἀνιηθέντα νέεσθαι*. Mehler et Spengel *ἀνιηθέντ' ἀνέχεσθαι*, coll. δ 595 π 277; at illis locis non aoristi temporis sed praesentis participium, ut assolet, verbo *ἀνέχεσθαι* iungitur. In nostra lectione *ἔνθα*, quo aegre carebamus, opponitur verbis *ϝοῖκόνδε νέεσθαι*, vox *ἀνίη* adhibetur ut η 192 υ 52, et *ἀνέχεσθαι* absolute positum est ut in decantatis illis *τέτλαθι καὶ ἀνάσχεο* ‖ 293 *ἀσχαλάει* nº 191] *-ᾷ*. — *πολυζύγῳ*] Naber collato *δίζυγες* Ε 195 postulat *πολύζυγι*, item *εὔζυγος -γες* ν 116 ρ 288. Nihil mutandum censemus; *δίζυγες* enim a *ζευγνύναι* derivatur, *πολύζυγος* vero et *εὔζυγος* (itemque *ἑκατόνζυγος* Υ 247) a *ζυγόν* ‖ 294 **ϝέλλωσιν* nº 265] *εἰλέωσιν* ‖ 295 **ἧμιν*] *ἡμῖν*. — **περιτροπάων*] *-εων*. Cf. nº 251 ‖ 297 *ἀσχαλάειν* nº 191] *-ᾶαν*. Zen. *ἀσχαλάαν μιμνόντεσσι* (?, *μίμνοντ' ἐπὶ νήεσσ'* Bekker) ‖ 299 *ἐπί*] *ἔτι* Zen. — **ϝίδωμεν*] *δαῶμεν*, cf. nº 122 ‖ 302 *μάρτυροι*] *μάρτυρες* Zen. ‖ 305 **ἧμες*] *ἡμεῖς* ‖ 307] De platano cf. Hehn Culturpfl.[4] 236 sq.

Π ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινὸς,
σμερδαλέος, τόν ῥ' αὐτὸς Ὀλύμπιος ἧκε φάοσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσε.
ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοὶ, νήπια τέκνα,
ὄζῳ ἔπ' ἀκροτάτῳ, πετάλοισ' ὕπο πεπτηῶτες,
ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ 'τέκε τέκνα. 313 = 327
ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δὲ ϝελιξάμενος πτέρυγος 'λάβεν ἀϝϝεϝαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτὴν, 317ᵇ = 326
τὸν μὲν ἀίζηλον 'θῆκεν θεὸς, ὅς περ ἔφηνε,
ἦμες δ' ἑσταότες 'θαυμάζομεν οἷον ἐτύχθη.
ὧς οὖν δϝεινὰ πέλωρα θεῶν εἰσῆλθ' ἑκατόμβας.
Κάλχας δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευε·
τίπτ' ἄνεῳ ἐγένεσθε, κάρη κομάοντες Ἀχαιοί;
ἧμιν μὲν τόδ' ἔφηνε τέρας μέγα μητιέτα Ζεὺς,
ὄψιμον ὀψιτέλεστον, ὅο κλέος οὔ ποτ' ὀλεῖται. 325ᵇ = h. Ap. 156
ὡς οὗτος κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτὴν, 326ᵇ = 317
ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ 'τέκε τέκνα, 327 = 313
ὧς ἦμες τόσσα ϝέτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν. —
κεῖνος τῶς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 330 = Ξ 48 σ 271
ἀλλ' ἄγε μίμνετε πάντες, ἐυκνήμιδες Ἀχαιοί,
αὐτόθι, εἰς ὅ κε ϝάστυ μέγα Πριάμοιο ϝέλωμεν."
ὧς ἔφατ', Ἀργέιοι δὲ ἐϝίϝαχον — ἀμφὶ δὲ νῆες 333ᵃ = 394
σμερδαλέον 'κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν — 334 = Π 27

---

319 λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάις ἀγκυλόμητις 319 Ar. —

---

309 *φάοσδε* n°. 71] *φόωσδε*, l. a. *φόοσδε* ‖ 313 *ἦν*] *ἔεν* LMeyer ‖ 314 *τετριγῶτας*] *τιτίζοντας* Zen. ‖ 315 *ἀμφεποτᾶτο*] **ἀμφεποτάετ'*? ‖ 316 *δὲ ϝελιξάμενος* Bentley Dawes Cobet] *δ' ἐλελιξάμενος*. — **ἀϝϝεϝαχυῖαν* cf. n° 229] *ἀμφιαχυῖαν*, *ἀμφιαχοῦσαν* Ambr.; Ahrens *ἀμϝεϝαχυῖαν* ‖ 318 *ἀίζηλον* Ar. Ambr.[1]] *ἀρίζηλον* ACD Ambr.[2], *ἀίδηλον* Etym. M. (probante Christ, cf. *ἀείδελα* Hesiod. fr. 136 Rzach), *ἀρίδηλον* Zen. Incertae originis vocabulum significare debet *ἀφανῆ*, et recte Cicero de Divin. II 30 § 64 vertit: *qui luci ediderat, genitor Saturnius idem* ***abdidit*** *et duro firmavit tegmina saxo*. Legit igitur versum 319, quem Zen. (de suo?) addidisse fertur, Ar. proscripsit ‖ 319 *ἀγκυλόμητις* Nauck] *-μήτεω*, n° 55 ‖ 323 *ἄνεῳ* Ar. (?) A] *ἄνεω* CD ‖ 324 **ἧμιν*] *ἡμῖν* ‖ 325 *ὅο* n° 59] *ὅου*. — *ὀλεῖται*] n° 147. Redit forma suspecta *Η* 91 *ω* 196 ‖ 327 *ἦν*] *ἔεν* LMeyer ‖ 328 **ἦμες τόσσα ϝέτεα*] *ἡμεῖς τοσσαῦτ' ἔτεα* ‖ 330 *τῶς*] *τὼς* Ar., *θ' ὣς* codd. ‖ 332 *αὐτόθι* n° 322] *αὐτοῦ* ‖ 333 **δὲ ἐϝίϝαχον*] *δὲ μέγ' ἴαχον*. Heyne *δ' ἐπεϝίϝαχον*

II *μῦθον ἐπαινέσσαντες Ὀδυσσῆος θείοιο.*
336 *τοῖσι δὲ καὶ μετέϝειπε γερήνιος ἱππότα Νέστωρ·*
*„ὢ πόποι, ἦ δὴ παισὶ ϝεϝοικότες ἀγοράεσθε*
*νηπιάχοισ', οἷσ' οὔ τι μέλει πολεμήια ϝέργα.*
*πῆ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἧμιν*
341 *σπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ᾗσ' ἐπέπιθμεν;* 341 = Δ 159
340 *ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν,*
*αὕτως γὰρ ϝεπέεσσ' ἐριδαίνομεν, οὐδέ τι μῆχος* 342 sq. cf. μ 392 sq.
*εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ' ἐόντες.*
*Ἀτρεΐδη, σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν*
*ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,*
*τοὺς δ' ἔαε φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν*
*νόσφιν βουλεύωσ' — ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν —*
*πρὶν Ἄργοσδ' ἴμεναι, πρὶν καὶ Διὸς αἰγιόχοιο*
*γνώμεναι εἴ τε ψεῦδος ὑπόσχεσις εἴ τε καὶ οὐκί.*
*φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα*
*ἤματι τῷ ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον*
*Ἀργέιοι, Τρώεσσι φόνον καὶ κῆρα φέροντες,* 352 = δ 273 θ 513
*ἀστράπτων ἐπὶ δεξί', ἐναίσιμα σήματα φαίνων.*
*τῷ μή τις πρὶν ἐπειγέσθω ϝοῖκόνδε νέεσθαι,*
*πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,*
*τίσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε.* 356 cf. 590
*εἰ δέ τις ἐκπάγλως ἐθέλει ϝοῖκόνδε νέεσθαι,*
*ἁπτέσθω ϝῆς νηὸς ἐυσσέλμοιο μελαίνης,*
*ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ.*
*ἀλλά, ϝάναξ, αὐτός τ' εὖ μήδεο πείθεό τ' ἄλλῳ·*
*οὔ τοι ἀπόβλητον ϝέπος ἔσσεται, ὅττι κε ϝείπω·*
*κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,*
*ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις.*

---

335 *ἐπαινέσσαντες*] *ἐπαινήσαντες* meliores; cf. nº 295 ‖ 336 *γερήνιος*] minus recte *Γερήνιος* scribi solet; non est nomen proprium, sed appellativi *γέρων* forma producta. Posteriores apud *Gerenios* educatum fingebant Nestorem, cf. Hesiod. fr. 34 et 35 Rzach ‖ 337 *ἀγοράεσθε* nº 191] *-άασθε* ‖ 339 **ἧμιν*] *ἡμῖν* ‖ 341, 340] inverso ordine leguntur in libris; correxit Nauck ‖ 340 *γενοίατο*] *νεμοίατο* Naber, coll. 780 Ψ 177 ‖ 342 *γὰρ ἐπέεσσ'* Apoll. lex. et schol. B ad Κ 167] *γάρ ϝ' ἐπ.* ‖ 345] *ἀρχευέμεν* h. l. et Ε 200 ‖ 346 **τοὺς δ' ἔαε* nº 191] *τούσδε δ' ἔα.* Cf. vs. 165 ‖ 351 *ἐν*] *ἐπ'* C ‖ 355 *τινα*] *τινι* Doederlein. — *πὰρ*] *περ* Ar., quae lectio sensu caret nisi simul corrigas *π α ρ α κοιμηθῆναι* ‖ 356 *ὁρμήματα*] *οἰμήματα* Apoll. lex. Cf. Θ 349 ‖ 363 *φύλοις*] nº 60

II *εἰ δέ κεν ὣς Ϝέρξῃς καί τοι πείθωνται Ἀχαιοί,*
*γνώσε' ἔπειθ' ὅς θ' ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν*
*ἠδ' ὅς κ' ἐσθλὸς ἔῃσι· κατὰ σφὰς γὰρ μαχέονται·*
*γνώσεαι ἢ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάζεις*
*ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο.”*
*τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·*
*„ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.*
*αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,* 371 = *Δ* 288 *H* 132 etc.
*τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·*
*τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο Ϝάνακτος,* 373 sq. = *Δ* 290 sq.
*χερσὶν ὕφ' ἡμετέρῃσι Ϝαλοῦσά τε περθομένη τε.* 374 = *N* 816
*ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,*
*ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.*
*καὶ γὰρ ἐγὼν Ἀχιλεύς τ' ἐμαχεσσάμεθ' εἵνεκα κούρης*
*ἀντιβίοισι Ϝέπεσσιν, ἐγὼ δ' ἦρχον χαλεπαίνων·*
*εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα*
*Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται, οὐδ' ἦ βαιόν.*
*νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.* 381 = *T* 275
*εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω,*
*εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσι,*
*εὖ δέ τις ἅρματος ἀμφὶ Ϝιδὼν πολέμοιο μεδέσθω,*
*ὥς κε πανημέριοι στυγερῷ κρινώμεθ' Ἄρηι.* 385 cf. *Σ* 209
*οὐ γὰρ παυσωλή γε μετ' ἔσσεται οὐδ' ἦ βαιὸν,*
*εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν.*
*Ϝιδρώσει μέν τευ τελαμὼν ἀμφὶ στήθεσφι*
*ἀσπίδος ἀμφιβρότης, περὶ δ' ἔγχεϊ χεῖρα καμεῖται·*
*Ϝιδρώσει δέ τε' ἵππος ἐΰξοον ἅρμα τιταίνων.* 390ᵇ cf. *M* 58
*ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω*
*μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ Ϝοι ἔπειτα*

---

365 *γνώσε'* nº 117] *γνώσῃ* ‖ 366 *σφὰς* nº 92] *σφέας* ‖ 367 *γνώσεαι* Barnes] *γνώσεαι δ'*. — Non eiusdem redactionis esse videntur vs. 365 sq. et 367 sq. — *ἀλαπάζεις* Bekker] *ἀλαπάξεις* ‖ 370 *ἀγορῇ*] *ἀρετῇ* schol. BLV ad *B* 350, manifesto errore ‖ 375 *ἔδωκε*] *ἔθηκε* Eustath. ‖ 377 *τ' ἐμαχεσσάμεθ'*] *τε μαχησάμεθ'* Ar. ‖ 378 *ἀντιβίοισι ἔπεσσιν* Nauck] *-οις ἐπέεσσιν* ‖ 380 et 386 *οὐδ' ἦ βαιόν* Bergk] *οὐδ' ἠβαιόν*, l. a. in schol. *οὐ δὴ βαιόν*. Cf. nº 2 ‖ 384 *ἀμφὶ* Bentley] *ἀμφὶς* codd. contra metrum et sensum loci ‖ 388 *τευ*] nº 99. Vitium contraxisse videtur locus: non baltei sed viri est sudare; cf. *E* 796. — *στήθεσφι*] l. a. *στήθεσσι*. Vid. ad *M* 401 ‖ 389 *καμεῖται*] nº 147 ‖ 390 **τε'*] *τευ* ‖ 391 *δέ κ'*] l. a. *δ' ἄν*. — *ἐθέλοντα*] *πτώσσοντα* Aristot. Eth. Nic. III 11

II *ἄρκιον ἐσσεῖται φυγέμεν κύνας ἠδ' οἰωνούς.''*
*ὣς ἔφατ', Ἀργέιοι δὲ ἐϜίϜαχον, ὡς ὅτε κῦμα* 394ᵃ = 333
*ἀκτῇ ἔφ' ὑψηλῇ, ὅτε κινήσῃ Νότος ἐλθών,*
*προβλῆτι σκοπέλῳ· τὸν δ' οὔ ποτε κύματα λείπει*
*παντοίων ἀνέμων, ὅτε κ' ἔνθ' ἢ ἔνθα γένωνται.*
*ἀνστάντες δ' ὤροντο κεδασθέντες κατὰ νῆας*
*'κάπνισσάν τε κατὰ κλισίας καὶ δεῖπνον ἕλοντο.*
*ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων,*
*εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος.*
*αὐτὰρ ὃ βοῦν ἱέρευσε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων* 402 sq. cf. *H* 314 sq.
*πίονα πεντεϜέτηρον ὑπερμενέι Κρονίωνι,*
*'κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν,*
*Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα Ϝάνακτα,*
*αὐτὰρ ἔπειτ' Αἴαντε δύω καὶ Τυδέος υἱόν,*
*ἕκτον δ' αὖτ' Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.* 407ᵇ = 169
*αὐτόματος δέ Ϝοι ἦλθε βοὴν ἀγαθὸς Μενέλαος·*
*'Ϝείδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.*
*βοῦν δὲ περίστησάν τε καὶ οὐλοχύτας ἀνέλοντο.*
*τοῖσιν δ' εὐχόμενος μετέφη κρείων Ἀγαμέμνων·*
*„Ζεῦ κύδιστε μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,*
*μὴ πρὶν ἔτ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,*
*πρίν με κατὰ πρηνὲς βαλέμεν Πριάμοιο μέλαθρον*
*αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηίοιο θύρετρα,*
*Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι* 416ᵇ = *Π* 841
*χαλκῷ ῥωγαλέον· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι*
*πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.''*
*ὣς ἔφατ', οὐδ' ἄρα πώ Ϝοι ἐπεκραίαινε Κρονίων,* 419 cf. *Γ* 302
*ἀλλ' ὅ γ' ἔδεκτο μὲν ἱρὰ, πόνον δ' ἀλίαστον ὄφελλε.*
*αὐτὰρ ἐπεί ῥ' ηὔξαντο καὶ οὐλοχύτας προβάλοντο,* 421-424 = Α 458 sqq.

---

393 *ἐσσεῖται*] nº 302. — *φυγέμεν* nº 126] *φυγέειν* ‖ 394 *δὲ ἐϜίϜαχον*] *δὲ μέγ' ἴαχον*, Heyne *δ' ἐπεϜίϜαχον* ‖ 395 *κινήσῃ*] l. a. *-σει*, nº 122 ‖ 397 **ὅτε κ'*] *ὅτ' ἄν*. — *γένωνται*] l. a. *-ηται* ‖ 398 **ὤροντο*] *ὀρέοντο, ὀρέοντο, ὀρόωντο* libri; vid. nº 284 ‖ 401] eleganter Meineke *γε φυγεῖν* (an *φυγέμεν*?) *κατὰ μῶλον Ἄρηος* ‖ 403 *πεντεϜέτηρον*] *πενταέτηρον* ‖ 409 *'Ϝείδεε*] *ᾔδεε*. De hoc versu vid. Athenaeus 177 C ‖ 410 *περίστησάν τε* Bekker] *-σαντο*, item *μ* 356; cf. *Δ* 532 ‖ 412] sic Ar., spreta quorundam lectione *Ζεῦ πάτερ Ἴδηθεν μεδέων* (*Γ* 320) ‖ 413 *ἔτ'* Ameis-Hentze] *ἐπ'*; vHerwerden *μὴ πρίν γ'*. — *δῦναι*] nº 125 ‖ 414 *βαλέμεν* nº 126] *βαλέειν* ‖ 415 *πρῆσαι*] *πλῆσαι* Ar., cf. *I* 242 ‖ 416 *στήθεσσι*] **στήθεσφι*? cf. vs. 388 et ad *M* 401 ‖ 420 *ἀλίαστον* Ar.] *ἀμέγαρτον*

II *ἀϜϜέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,*
*μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν*
*δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.*
*καὶ τὰ μὲν ἂρ σχίζῃσιν ἀφύλλοισιν κατέκαιον,*
*σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.*
*αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο,* 427-432 = *Α* 464 sqq.
*'μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,*
*ὤπτησάν τε περιφραδέως 'Ϝερύσαντό τε πάντα.*
*αὐτὰρ ἐπεὶ 'παύσαντο πόνου 'τετύκοντό τε δαῖτα,*
*'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης.*
*αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο,*
*τοῖσ' ἄρα μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ·*
*„Ἀτρεΐδη κύδιστε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,'* 434 = *Ι* 96, 163, 677 etc.
*μηκέτι νῦν δϜήθ' αὖθι λεγώμεθα, μηδ' ἔτι δηρὸν*
*ἀμβαλλώμεθα Ϝέργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.*
*ἀλλ' ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων*
*λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,*
*ἦμες δ' ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν*
*ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα."*
*ὣς ἔφατ', οὐδ' ἀπίθησε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων.* 441 = *Ψ* 895
*αὐτίκα κηρύκεσσι λιγυφθόγγοισ' ἐκέλευσε* 442 cf. 50
*κηρύσσειν πόλεμόνδε κάρη κομάοντας Ἀχαιούς.* 443 cf. 51
*οἳ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.* 444 = 52
*οἳ δ' ἀμφ' Ἀτρεΐωνα διοτρεφέες βασιλῆες*
*'θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη*
*αἰγίδ' ἔχουσ' ἐρίτιμον ἀγήραον ἀθανάτην τε·*
*τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,*
*πάντες ἐυπλεκέες, ἑκατόμβοιος δὲ Ϝέκαστος.*
*σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν*
*ὀτρύνουσ' ἴμεναι· ἐν δὲ σθένος ὦρσε Ϝεκάστῳ* 451 cf. *Α* 11

---

422 *ἀϜϜέρυσαν* n° 40] *αὐέρυσαν* || 423 *κνίσῃ*] *κνίσῃ* (pro *κνίσεα*) Porphyrius in schol., qui scribarum vitio illam lectionem Aristarcho tribuere videtur (cf. Ludwich Arist. II 165) || 427] vid. ad *Α* 464 || 432 **εἶντο*] *ἕντο* || 433 *γερήνιος*] cf. vs. 336 || 435 *δήθ' αὖθι*] sic Ar., recte explicans ***ne diutius hic congregemur***; Zen. *δὴ ταῦτα λεγώμεθα.* — *μηδ' ἔτι*] *μηδέ τι* A. — In fine versus *δηρὸν* pro *δϜηρὸν*. Fortasse **μηδ' ἔτι Ϝέργον | δϜὴν ἀμβαλλώμεσθα* || 439 **ἦμες*] *ἡμεῖς* || 442 *-*οισ' ἐκέλευσε*] -*οισι κέλευσε* || 443 *κομάοντας* n° 191] -*όωντας* || 447 *ἀγήραον* n° 62] *ἀγηρων* Aristoph. Ar. || 448 *ἠερέθονται*] *ἠερέθοντο* Zen. || 451 *ἴμεναι* n° 125] *ἰέναι*.

II *καρδίῃ, ἄλληκτον πολεμιζέμεν' ἠδὲ μάχεσθαι.* 452-454 = Λ 12 sqq.
*τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων 'γένετ' ἠὲ νέεσθαι* 452 = Ξ 152
*ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.*
*ἠύτε πῦρ ἀίδηλον ἐπιφλέγει ἄσπετον ὕλην*
*οὔρεος ἐν κορυφῇ, Ϝέκαθεν δέ τε φαίνεται αὐγή,*
*ὣς τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίοιο*
*αἴγλη παμφανάουσα δἰ αἰθέρος οὐρανὸν ἷκε.*
*τῶν δ', ὥς τ' ὀρνίθων πετεηνῶν Ϝέθνεα πολλά,*
*χηνῶν ἢ γεράνων ἢ κύκνων δολιχοδείρων,* 460 = Ο 692
*Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα*
*ἔνθα καὶ ἔνθα πέτωνται ἀγαλλόμενα πτερύγεσσι,*
*κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών,*
*ὣς τῶν Ϝέθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων* 464 = 91
*ἐς πεδίον προχέοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν*
*σμερδαλέον 'κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.*
*ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι*
*μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.* 468 cf. ι 51
*ἠύτε μυιάων ἀδινάων Ϝέθνεα πολλά,*
*αἵ τε κατὰ σταθμὸν ποιμνήιον ἠλάσκουσι*
*ὥρῃ Ϝεαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει,* 471 = Π 643
*τόσσοι ἐπὶ Τρώεσσι κάρη κομάοντες Ἀχαιοὶ*
*ἐν πεδίῳ ἵσταντο, διαρραῖσαι μεμαῶτες.*
*τοὺς δ', ὥς τ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρες*
*ῥεῖα διακρίνωσιν, ἐπεί κε νομῷ μιγέωσι,*
*ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα*
*ὑσμίνηνδ' ἴμεναι, μετὰ δὲ κρείων Ἀγαμέμνων,*
*ὄμματα καὶ κεφαλὴν Ϝίκελος Διὶ τερπικεραύνῳ,*
*Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.*

---

452 *ἄλληκτον*] *ἄληκτον* CD. — *πολεμιζέμεν* Bekker] *-ζειν* ‖ 456 *κορυφῇ* Vind.] *-φῆς*. Nauck *κορυφῇσι, ἑκὰς* ‖ 458 *παμφανάουσα* n° 191] *-νόωσα* ‖ 460 **δολιχοδείρων* n° 21] *δουλιχοδείρων* ‖ 461 *Ἀσίῳ* C, Strabo XIII 627] Verg. Georg. I 383 sq. *Asia prata*; *Ἀσίω* Ar. AD ‖ 462 **πέτωνται*] *ποτῶνται*. Subiunctivus ut vs. 475; *πέτονται* Pseudoplut. vit. Hom. 45. Cf. vs. 89. — *ἀγαλλόμενα* Ar. A] *-μεναι* CD ‖ 463 *λειμών*] l. a. *γαῖα*, quam Aristarchi esse lectionem recte negavit Lehrs; cf. Ludwich Arist. I p. 219 ‖ 468 *γίγνεται* n° 261] *γίνεται*. Spurium censet versum vHerwerden ‖ 469—473] ad aliam redactionem pertinere atque 459—468 vere observavit Bekker ‖ 471 **Ϝεαρινῇ* n° 21] *εἰαρινῇ*. — Post *ὥρῃ* Bentley delevit *ἐν*, coll. ε 485 ‖ 472 *κομόωντες* n° 191] *κομάοντες* ‖ 475 *μιγέωσι* n° 122 ‖ 477 *ἴμεναι* n° 125] *ἰέναι* ‖ 479 *ζώνην*] *φθογγήν* Naber coll. 791. Atqui *pingitur* h. l. Agamemnon

II ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
ταῦρος, ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι, 481b cf. θ 172
τοῖον ἄρ' Ἀτρεΐδην 'θῆκε Ζεὺς ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσι.

---

ἔσπετε νῦν μοι μοῦσαι 'Ολύμπια δώματ' ἔχουσαι, 484 = Λ 218 Ξ 508 Π 112
ὔμες γὰρ θεαί ἐστε πάρεστέ τε Ϝίστε τε πάντα,
ἆμες δὲ κλέος οἶον ἀκούομεν οὐδέ τι Ϝίδμεν, 486 = h. Merc. 277
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν. 487b = 760b
πληθὺν δ' οὐ κεν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, 488b = δ 240 λ 328, 517
οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν,
φωνὴ δ' ἄρρηκτος, χάλκειον δ' ἦτορ ἐνείη.
[εἰ μὴ 'Ολυμπιάδες μοῦσαι, Διὸς αἰγιόχοιο
θυγατέρες, μνησαίαθ' ὅσοι ὑπὸ Ϝίλιον ἦλθον.]
ἀρχοὺς αὖ νηῶν Ϝερέω νῆάς τε προπάσας.
Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήιτος ἦρχον
Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν
Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ' Ἐτεωνὸν,
Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσὸν,
οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρύθρας,
οἵ τ' Ἐλεῶν' εἶχον ἠδ' Ὕλην καὶ Πετεῶνα,
'Ωκαλέην Μεδεῶνά τ', ἐὺ κτίμενον πτολίεθρον,
Κώπας Εὔτρησίν τε πολυτρήρωνά τε Θίσβην,
οἵ τε Κορώνειαν καὶ ποιήενθ' Ἁλίαρτον,
οἵ τε Πλάταιαν ἔχον ἠδ' οἳ Γλίσαντ' ἐνέμοντο,
οἵ θ' Ὑποθήβας εἶχον, ἐὺ κτίμενον πτολίεθρον,
Ὄγχηστόν θ' ἱερὸν, Ποσιδήιον ἀγλαὸν ἄλσος,
οἵ τε πολυστάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
Νῖσάν τε ζαθέην Ἀνθηδόνα τ' ἐσχατάουσαν·
τῶν μὲν πεντήκοντα νέες 'κίον, ἐν δὲ Ϝεκάστῃ

---

484 Ὀλύμπια δώματ' ἔχουσαι] Ὀλυμπιάδες βαθύκολποι Zen. || 485 *ὔμες] ὑμεῖς. — πάρεστε] παρῆστε quidam (Zen.?) || 488 *οὐ κεν] οὐκ ἂν || 490 *χάλκειον δ'] χάλκεον δέ μοι, cf. nº 61 || 491 sq.] Heyne merito damnavit. Bekker 491—493 eiecit, Raspe 488—493 || 494—877] om. D || 502 Θίσβην] Μέσσην Zen. || 507 Ἄρνην] Ἄσκρην Zen. || 508 Νῖσαν] Strabo IX 405 alias scripturas commemorat Ἶσον, Κρεῦσαν, Φηράς, Νῦσαν. — ἐσχατάουσαν nº 191] -όωσαν

*κοῦροι Βοιωτῶν ἑκατὸν καὶ Ϝείκοσ' ἔβαινον.*
*οἳ δ' Ἀσπληδόν' ἔναιον ἰδ' Ὀρχομενὸν Μινύειον,*
*τῶν ἦρχ' Ἀσκάλαφος καὶ Ἰάλμενος, υἷες Ἄρηος,* 512 cf. *I* 82
*οὓς 'τέκε Ϝαστυόχη δόμῳ Ἄκτορος Ἀζεΐδαο,*
*παρθένος αἰδοίη, ὑπερώιον εἰσαναβᾶσα,*
*Ἄρηι κρατερῷ· ὃ δέ Ϝοι παρελέξατο λάθρῃ·*
*τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχάοντο.* 516 = 680, 733
*αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,*
*υἱέε Ϝιφίτοο μεγαθύμου Ναυβολίδαο,*
*οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν*
*Κρῖσάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,*
*οἵ τ' Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο,*
*οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον,*
*οἵ τε Λίλαιαν ἔχον πηγῇσ' ἔπι Κηφισοῖο·*
*τοῖσ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.* 524 = 747 cf. 534, 545 etc.
*οἳ μὲν Φωκήων στίχας ἵστασαν ἀμφιέποντες,*
*Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ 'θωρήσσοντο.*
*Λοκρῶν δ' ἡγεμόνευεν Ὀιλῆος ταχὺς Αἴας,*
*[μείων, οὔ τι τόσος γε, ὅσος Τελαμώνιος Αἴας,*
*ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ,*
*ἐγχείῃ δ' ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς·]*
*οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε*
*Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς*
*Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα·*
*τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο* 534 = 545 etc. cf. 524
*Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης.*
*οἳ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες,*
*Χαλκίδα τ' Εἰρέτριάν τε πολυστάφυλόν θ' Ἱστίαιαν*

528 Zen. — || 529 sq. Ar. —

510 **Ϝείκοσ' ἔβαινον*] *εἴκοσι βαῖνον* || 511 *Ὀρχομενὸν*] *Ἐρχομενός* urbs Boeotice dicitur, idque scribendum censet vHerwerden; at Elei vernacule *Ϝαλεῖοι* audiunt et tamen *Ἠλεῖοι* vocantur apud Homerum, et *Ἦλις* eorum regio, neglecto Ϝ || 516 *τῶν*] *τοῖς* Ar., sed vide nº 60. — *ἐστιχάοντο* nº 191] *-όωντο* || 517 *Φωκήων*] sic et *Φωκείων* Ar. || 518 **υἱέε Ϝιφίτοο*] *υἱέες Ἰφίτου.* De *-οο* (Ahrens) vid. nº 59 || 520 *καὶ Πανοπῆα*] *καὶ Πανοπτέων* metro invito Zen. || 524 *τοῖσ'* Vind.] *τοῖς δ'*, cf. nº 60 || 525 sq.] tum sunt additi cum Iliadi inserta est haec navium copiarumque recensio, qua olim non acies Graecorum sed classis Aulide profectura depingebatur; cf. Bergk Gr. Lit. I 558 || 527 *Ὀιλῆος* Ar.] *ὁ Ἰλῆος* Zen. Apud Hesiodum *Ἰλεύς* saepius legitur et cum *ἵλεως* componitur Hes. fr. 142 Rzach

II *Κήρινθόν τ' ἔφαλον Δίον τ' αἰπὺ πτολίεθρον,*
*οἵ τε Κάρυστον ἔχον ἠδ' οἳ Στύρα 'ναιετάεσκον,*
*τῶν αὖθ' ἡγεμόνευ' Ἐλεφήνωρ, ὄζος Ἄρηος,*
*Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.* 541 = Δ 464
*τῷ δ' ἅμ' Ἄβαντες ἕποντο θοοί, ὄπιθεν κομάοντες,*
*αἰχμηταί, μεμαῶτες ὀρεκτῇσιν μελίῃσι*
*θώρηκας ῥῆξαι δηίων ἀμφὶ στήθεσσι·*
*τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.* 545 = 534
*οἳ δ' ἄρ' Ἀθήνας εἶχον, ἐὺ κτίμενον πτολίεθρον,*
*δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη*
*'θρέψε Διὸς θυγάτηρ, 'τέκε δὲ ζείδωρος ἄρουρα·*
*κὰδ δ' ἐν Ἀθήνῃσ' εἷσεν, ἑϝῷ ἐνὶ πίονι νηῷ·*
*ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖσ' ἱλάονται*
*κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν·*
*τῶν αὖθ' ἡγεμόνευεν υἱὸς Πετεῷο Μενεσθεύς.*
*τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος 'γένετ' ἀνὴρ*
*κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·*
*Νέστωρ οἶος ἔριζεν· ὃ γὰρ προγενέστερος ἦεν.*
*τῷ δ' ἅμα πεντήκοντα μέλαιναι νῆες ἕποντο.*
*Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δύο καὶ δέκα νῆας,*

553—555 Zen. —

539 *'ναιετάεσκον* nº 191] *-άασκον* || 542 *κομάοντες* nº 191] *-όωντες* || 544 **ῥῆξαι*] *ῥήξειν* codd., *ῥήσσειν* Strabo X 449. Verbo *μέμονα*, quod infinitivum praes. et aoristi passim adsciscit, nonnullis locis inf. futuri male adiungitur, quem errorem peperit cum *sperandi* verbis confusio. Redit vitium *Η* 36 *Μ* 198 (?), 200, 218 *Ξ* 89 *Ο* 105 *Φ* 482 *ο* 522 *ω* 395, item *Φ* 176 (*μενεαίνω*). Praeterea Hes. Scut. 114 (*λιλαίομαι*) || 546 sqq.] de his versibus a Solone interpolatis obscurior legitur notitia apud Diogenem Laertium in vita Sol. 2 et 9. Dieuchidas Megarensis, quem cap. 9 nominat, quid dixerit non pro certo apparet ex verbis eius corruptis; sed veri simile ducimus et a Dieuchida et a Diogene versus 547—551, 553—555, 558 Soloni (non vero Pisistrato) tributos esse; hanc autem fabellam ex ioco alicuius comici Atheniensis originem traxisse censemus; vid. ad 557. Versum 558 Soloni tribuunt praeterea Plut. Solon. 10, Porphyrius in schol. ad *Β* 494 et 557; omittit codex A, obelo notavit Aristarchus, quia cum aliis locis Homericis (vid. Aristonic. ad *Γ* 230) eum pugnare intelligebat; pro genuino habebat Aristoteles Rhet. I 15: *Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος.* Additus autem est ab eo cui debentur vs. 525 sq., 577—580 etc. — De vs. 553—555, quos Zenodotus obelo notavit, admodum memorabile extat testimonium apud Herodotum VII 161, et in inscriptione Hermae quem Cimon erexit in memoriam victoriae ad Strymonem anno 470 reportatae; vid. Aeschin. III § 183—185, Plut. Cim. 7, Lehrs Aristarch.[2] p. 445, Ludwich Aristarch. II p. 390—404 || 550 *ἱλάονται*] suspectum pro *ἱλάσκονται* || 552 *ἡγεμόνευεν* Nauck] *ἡγεμόνευ'*. — *Πετεῷο* Cobet] *Πετεῶο* || 557 sq.] Megarenses „*ἀντιπαρῳδοῦντας*" hos versus sic recitasse narrat Strabo IX 394: *Αἴας δ' ἐκ*

II *'στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.*
*οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν,*
*Ἑρμιόνην Ἀσίνην τε βαθὺν κατὰ κόλπον ἐχούσας,*
*Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον,*
*οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,*
*τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης*
*καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·*
*τοῖσι δ' ἅμ' Εὐρύαλος τρίτατος 'κίε, Ϝισόθεος φώς,*
*Μηκιστῆος υἱὸς Ταλαϊονίδαο Ϝάνακτος.* 566 = Ψ 678
*συμπάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης·*
*τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.* 568 = 652
*οἳ δὲ Μυκήνας εἶχον, ἐὺ κτίμενον πτολίεθρον,*
*ἀφνειόν τε Κόρινθον ἐὺ κτιμένας τε Κλεωνάς,*
*Ὀρνειάς τ' ἐνέμοντο Ἀραιθυρέην τ' ἐρατεινὴν*
*καὶ Σικυῶν', ὅθ' ἄρ' Ἄδρηστος πρῶτ' ἐμβασίλευε,*
*οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν*
*Πελλήνην τ' εἶχον ἠδ' Αἴγιον ἀμφενέμοντο*
*Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν,*
*τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων*
*Ἀτρεΐδης. ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι* 577ᵇ = 817
*λαοὶ ἕποντ'· ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν* 578ᵇ = Λ 16
*κυδιάων, πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσι,*
*οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.*
*οἳ δ' εἶχον κοίλην Λακεδαίμονα καιετάεσσαν* 581 cf. δ 1

558 Ar. — ‖ 579 sq. Zen. —

*Σαλαμῖνος ἄγεν νέας ἔκ τε Πολίχνης | ἔκ τ' Αἰγειρούσσης Νισαίης τε Τριπόδων τε*: — recitarunt igitur in attica aliqua comoedia, quae Acharnensibus Aristophanis fortasse subsimilis fuit, cum Atheniensibus de Charini bene noto psephismate disceptantes. Conficitur res verbo quo utitur Strabo *ἀντιπαρῳδῆσαι* ‖ 559—568] in Certam. Hom. et Hes. 281 sqq. afferuntur; post 563 ibi additur *Τυδεΐδης οὗ πατρὸς ἔχων μένος Οἰνεΐδαο*, et post 568 *ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο | Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο* (ultimus versus = Oracul. Hendess 178, 6) ‖ 562 *οἵ τ' ἔχον*] l. a. *νῆσόν τ'* apud Strabonem VIII 376 et in Certam. l. l. ‖ 565 *Εὐρύαλος*] *Εὐρύπυλος* Certam. l. l. ‖ 566 *Μηκιστῆος* Bekker] *-τέος* vel *-τέως* ‖ 567 *συμπάντων*] *ἐκ πάντων* Certam. l. l. manifesto errore ‖ 571 *Ἀραιθυρέην*] *Παραιθυρέην* Zen. ‖ 572 *ἐμβασίλευε*] recurrit verbum ο 413 ‖ 573 *Γονόεσσαν*] *Δονόεσσαν* olim („ante Pisistratum") scriptum fuisse contendit Pausanias VII 26 § 13 ‖ 577—580] additi sunt cum Iliadi insertus est catalogus; vide ad 525 ‖ 578 *ἐδύσετο* Ar. A] *-σατο* C ‖ 579 *κυδιάων* nº 191] *-όων*. — *πᾶσιν δὲ* Zen. Ar. in altera ed.] *ὅτι πᾶσι* ‖ 581 *καιετάεσσαν* Zen. hic et δ 1] *κητώεσσαν*. Vid. Strabo V 233 et VIII 367; Hesych. *καίατα· ὀρύγματα ἢ τὰ ὑπὸ σεισμῶν καταρραγέντα χωρία*

Π *Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην,*
*Βρυσειάς τ' ἐνέμοντο καὶ Αὐγειὰς ἐρατεινὰς,*
*οἵ τ' ἄρ' Ἀμύκλας εἶχον Ἕλος τ' ἔφαλον πτολίεθρον,* 584ᵇ = h. Ap. 410
*οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο,*
*τῶν Ϝοι ἀδελφεὸς ἦρχε, βοὴν ἀγαθὸς Μενέλαος,*
*ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ 'θωρήσσοντο.*
*ἐν δ' αὐτὸς 'κίε Ϝῇφι προθυμίῃφι πεποιθὼς,*
*ὀτρύνων πόλεμόνδε· μάλιστα δὲ 'Ϝίετο θυμῷ*
*τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε.* 590 cf. 356
*οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν*
*καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐύκτιτον Αἰπὺ,* 592 = h. Ap. 423
*καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον*
*καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον, ἔνθα τε μοῦσαι*
*ἀντόμεναι Θάμυριν τὸν Θρήικα 'παῦσαν ἀοιδῆς,*
*Οἰχαλίηθεν ἰόντα παρ' Εὐρύτου Οἰχαλιῆος·*
*'στεῦτο γὰρ εὐχόμενος νικησέμεν', αἴ κέ περ αὐταὶ*
*μοῦσαι ἀείδοιεν, κοῦραι Διὸς αἰγιόχοιο·*
*αἳ δὲ χολωσάμεναι πηρὸν 'θέσαν, αὐτὰρ ἀοιδὴν*
*θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν.*
*τῶν αὖθ' ἡγεμόνευε γερήνιος ἱππότα Νέστωρ·*
*τῷ δ' ἐνενήκοντα γλαφυραὶ νέες ἐστιχάοντο.*
*οἳ δ' ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνης ὄρος αἰπὺ,*
*Αἰπύτιον παρὰ τύμβον, ἵν' ἀνέρες ἀγχιμαχηταί,*
*οἳ Φενεόν τ' ἐνέμοντο καὶ 'Ορχομενὸν πολύμηλον*
*Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν 'Ενίσπην,*
*καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινὴν,*
*Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο,*
*τῶν ἦρχ' Ἀγκαίοιο πάις, κρείων Ἀγαπήνωρ,*
*ἑξήκοντα νεῶν· πολέες δ' ἐν νηὶ Ϝεκάστῃ*
*Ἀρκάδες ἄνδρες ἔβαινον, ἐπιστάμενοι πολεμίζειν.*
*αὐτὸς γάρ σφιν ἔδωκε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων*

612—614 Zen. —

582 *Μέσσην*] l. a. *Θίσβην* (ex 502 nata) || 588 (Ϝ)*ῆφι προθυμίῃφι* Nauck] *ῇσι -ῃσι* || 597 **αἴ κέ περ*] *εἴ περ ἂν* || 601 *γερήνιος*] cf. vs. 336 || 602 *ἐστιχάοντο* nº 191] *-όωντο* || 606 *ἠνεμόεσσαν*] cf. nº 21 || 609] ex schol. *E* 785 apparet fuisse qui hoc loco insererent versus aliquot, in quibus Stentoris fieret mentio || 612 *ἔδωκε* Bekker] *δῶκε*

II νῆας ἐυσσέλμους περάειν ἐπὶ Ϝοίνοπα πόντον,
Ἀτρεΐδης, ἐπεὶ οὔ σφι θαλάσσια Ϝέργ' ἐμεμήλει.
οἳ δ' ἄρα Βουπράσιόν τε καὶ Ἦλιδα δῖαν ἔναιον,
ὅσσον ἔφ' Ὑρμίνη καὶ Μύρσινος ἐσχατάουσα
πέτρη τ' Ὠλενίη καὶ Ἀλείσιον ἐντὸς ἐϜέργει, 617a cf. Λ 757
τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν, δέκα δ' ἀνδρὶ Ϝεκάστῳ
νῆες ἕποντο θοαί, πολέες δ' ἐνέβαινον Ἐπειοί.
τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην, 620 cf. 870
υἷες ὃ μὲν Κτεάτοιο, ὃ δ' Εὐρύτου, Ἀκτορίωνε·
τῶν δ' Ἀμαρυγκεΐδης ἦρχε κρατερὸς Διώρης·
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινος θεοϜειδής,
υἱὸς Ἀγασθένεος Αὐγηιάδαο Ϝάνακτος.
οἳ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων
νήσων, αἳ ναίουσι πέρην ἁλός, Ἤλιδος ἄντα,
τῶν αὖθ' ἡγεμόνευε Μέγης, ἀτάλαντος Ἄρηι,
Φυλεΐδης, ὃν ἔτικτε Διὶ φίλος ἱππότα Φυλεύς,
ὅς ποτε Δουλίχιόνδ' ἀπενάσσατο πατρὶ χολωθείς· 629b = ο 254
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 630 = 534
αὐτὰρ Ὀδυσσεὺς ἦγε Κεφαλλῆνας μεγαθύμους,
οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον, 632b = ι 22a
καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
οἵ τε Ζάκυνθον ἔχον ἠδ' οἳ Σάμον ἀμφενέμοντο,
οἵ τ' ἤπειρον ἔχον ἠδ' ἀντιπέραι' ἐνέμοντο·
τῶν μὲν Ὀδυσσεὺς ἦρχε, Διὶ μῆτιν ἀτάλαντος,
τῷ δ' ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.
Αἰτωλῶν δ' ἡγεῖτο Θόας, Ἀνδραίμονος υἱός,
οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην
Χαλκίδα τ' ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν·
οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,

631 Ar. — ‖ 641 sq. Zen. —

613 περάειν nº 191] περάαν ‖ 614 *Ϝέργ' ἐμεμήλει] ἔργα μεμήλει ‖ 616 Ὑρμίνη] Ὑρμίνῃ Zen. — ἐσχατάουσα nº 191] -όωσα ‖ 619 *ἐνέβαινον] ἔμβαινον ‖ 621 Κτεάτοιο, ὃ δ' Nauck] Κτεάτου, ὃ δ' ἄρ' A, Κτεάτου, ὃ δ' C et schol. Ν 185. — Ἀκτορίωνε Ar. A] Ἀκτορίωνος C ‖ 626 αἳ] οἳ Zen. ‖ 628 ἔτικτε Bekker] τίκτε ‖ 631] obelus in A est appictus, de quo tamen tacent scholia. Si deleatur hic versus, in 632 scribendum erit οἳ δ' ‖ 634 Σάμον] Σάμην Zen., metro ut dicit Aristonicus invito; Σάμην ἐνέμοντο eum legisse suspicatus est Lehrs. Duentzer ἠδ' ἀμφὶ Σάμην ἐνέμοντο. Cf. ι 24 π 249 ‖ 641 Οἰνῆος] sine Ϝ

II οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, 'θάνε δὲ ξανθὸς Μελέαγρος,
τῷ δ' ἐπὶ πάντ' ἐτέταλτο Ϝανασσέμεν' Αἰτωλοῖσι.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 644 = 534
Κρητῶν δ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευε,
οἳ Κνωσόν τ' εἶχον Γόρτυνά τε τειχιόεσσαν,
Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον
Φαιστόν τε Ῥύτιόν τε, πόλις ἐῢ ναιεταούσας,
ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.
τῶν μὲν ἄρ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευε
Μηριόνης τ' ἀτάλαντος Ἐνυαλίῳ ἀνδροφόντῃ· 651 cf. *Η* 166 *Θ* 264 *Ρ* 259
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο. 652 = 568
Τληπόλεμος δ' Ἡρακλεΐδης ἠΰς τε μέγας τε 653 cf. *Ε* 628
ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων,
οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.
τῶν μὲν Τληπόλεμος δουρὶ κλυτὸς ἡγεμόνευε,
ὃν 'τέκε Ϝαστυόχεια βίῃ Ἡρακλεεείῃ,
τὴν ἄγετ' ἐξ Ἐφύρης, ποταμοῖ' ἄπο Σελλήεντος, 659ᵇ = *Ο* 531
πέρσας Ϝάστεα πολλὰ διοτρεφέων αἰζηῶν.
Τληπόλεμος δ' ἐπεὶ οὖν 'τράφ' ἐνὶ μεγάρῳ **ἐυπήκτῳ**,
αὐτίκα πατρὸς ἑϜοῖο φίλον **μήτρωα** κατέκτα,
ἤδη γηράσκοντα **Λικύμνιον**, ὄζον Ἄρηος.
αἶψα δὲ **νῆας** ἔπηξε, πολὺν δ' ὅ γε λαὸν ἀγείρας
'βῆ **φεύγων** ἐπὶ πόντον· ἀπείλησαν γάρ οἱ ἄλλοι
**υἱέες υἱωνοί τε** βίης Ἡρακλεεείης·
αὐτὰρ ὅ γ' ἐς Ῥόδον ἶξεν **ἀλώμενος, ἄλγεα πάσχων**·
**τριχθὰ δ' ἐϜοίκηθεν καταφυλαδόν, ἠδ' ἐφίληθεν**
**ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισι Ϝανάσσει.**
**καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.**
Νιρεὺς αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἐϜίσας,
Νιρεύς, Ἀγλαΐης υἱὸς Χαρόπου τε Ϝάνακτος,

---

669 Ar. —

---

648 *ναιεταούσας* nº 191] *-οώσας* ‖ 651 **ἀνδροφόντῃ*] *ἀνδρειφόντῃ* A C D. De hoc vocabulo videatur nº 28. Ingeniosa sed veri dissimilis est Nauckii coniectura *βροτοφόντῃ* ‖ 658 *Ἡρακλεεείῃ* nº 73] *-κληείῃ* ‖ 659 *τὴν ἄγετ'*] *τηλόθεν* Strabo. — *ποταμοῖ'* nº 59] *ποταμοῦ* ‖ 661 *τράφ' ἐνὶ* A C] l. a. *τράφη ἐν*. Cf. nº 252 ‖ 665 *γάρ οἱ* schol. *Ψ* 184] *γάρ (Ϝ)οἱ* ‖ 666 *-κλεεείης* nº 73] *-κληείης* ‖ 667 *αὐτὰρ*] *αἶψα δ'* Zen. ‖ 668 **δ' ἐϜοίκηθεν*] *δὲ ᾤκηθεν* ‖ 672 *Χαρόπου τε* Bentley] *Χαρόποιο τ'*

II *Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ϝίλιον ἦλθε*
*τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα·* 674=*P* 280 *λ* 470, 551 *ω* 18
*ἀλλ' ἀλαπαδνὸς ἔην, παῦρος δέ ϝοι εἵπετο λαός.*
*οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε*
*καὶ Κόον, Εὐρυπύλοιο πόλιν νήσους τε Καλύδνας,*
*τῶν αὖ Φείδιππός τε καὶ Ἄντιφος ἡγησάσθην,*
*Θεσσαλοῦ υἷε δύω Ἡρακλεΐδαο ϝάνακτος·*
*τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχάοντο.* 680 = 516
*νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον,*
*οἵ τ' Ἄλον οἵ τ' Ἀλόπην οἵ τε Τρηχῖν' ἐνέμοντο,*
*οἵ τ' εἶχον Φθίην ἠδ' Ἑλλάδα καλλιγύναικα,*
*Μυρμιδόνες δ' ἐκαλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,*
*τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.*
*ἀλλ' οἵ γ' οὐ πολέμου δυσϝηχέος ἐμνάοντο,*
*οὐ γὰρ ἔην ὅς τίς σφιν ἐπὶ στίχας ἡγήσαιτο·*
*'κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεύς,*
*κούρης χωόμενος Βρισηίδος ἠυκόμοιο,*
*τὴν ἐκ Λυρνησσοῖ' ἐξείλετο πολλὰ μογήσας,*
*Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης,*
*κὰδ δὲ Μύνητ' ἔβαλεν καὶ Ἐπίστροφον ἐγχεσιμώρους,*
*υἱέας Εὐηνοῖο Σεληπιάδαο ϝάνακτος·*
*τῆς ὅ γ' ἔκειτ' ἀχέων, τάχα δ' ἀνστήσεσθαι ἔμελλε.*
*οἳ δ' εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα,*
*Δήμητρος τέμενος, Ἴτωνά τε, μητέρα μήλων,*
*ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,*
*τῶν αὖ Πρωτεσίλαος Ἀρήιος ἡγεμόνευε*
*ζωὸς ἐών· τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα.*

673 et 675 Zen. —, 674 om. ‖ 686—694 Zen. —

673] ter repetitum *Νιρεύς* molestum; recte igitur Zen. de hoc versu et seqq. iudicasse videtur ‖ 677 *Κόον* Nauck] *Κῶν*. Rzach *Κόων* (ut *Ξ* 255 *O* 28), quam synizesin putat defendi posse versu Hes. Theog. 983 ‖ 680 *τῶν*] *τοῖς* Ar., cf. vs. 516 ‖ 681] Zen. *οἳ δ' Ἄργος τ' εἶχον τὸ Πελασγικὸν οὖθαρ ἀρούρης* ‖ 682 *Ἀλόπην*] *Ἀλιοῦνθ'* alii apud Strab. IX 432. — *Τρηχῖν' ἐνέμοντο*] *Τρηχῖνα νέμοντο* Ar. ‖ 684 *ἐκαλεῦντο*] n° 191 ‖ 685 *ἦν*] *ἔεν* LMeyer ‖ 686—694] eodem consilio quo 525 sq. etc. sunt additi ‖ 686 *πολέμου δυσϝηχέος* Bekker] *πολέμοιο δυσηχέος*. — *ἐμνάοντο* n° 190] *ἐμνώοντο* ‖ 690 *Λυρνησσοῖ'* n° 59] *-σσοῦ*. Zen. *ἐν Λυρνησσῷ* ‖ 694 *ἀνστήσεσθαι*] *ἀστήσεσθαι* Zen. ‖ 697 *ἀγχίαλον*] *ἀγχιάλην* Zen. ‖ 699—709] postea sunt additi; vide ad 525 sq. ‖ 699 *ἤδη*] eadem versus sede corripitur *Θ* 236 (et in versus initio *T* 122 *π* 471)

II τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο
καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ
νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, 'πόθεόν γε μὲν ἀρχόν· 703 = 726
ἀλλά σφας 'κόσμησε Ποδάρκης, ὄζος Ἄρηος,
Ϝιφίκλοι' υἱὸς πολυμήλου Φυλακίδαο,
αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου
ὁπλότερος γενεῇ· ὃ δ' ἅμα πρότερος καὶ ἀρείων. 707 = τ 184
[ἥρως Πρωτεσίλαος Ἀρήιος· οὐδέ τε λαοὶ
'δεύονθ' ἡγεμόνος, 'πόθεόν γε μὲν ἐσθλὸν ἐόντα.]
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 710 = 534
οἳ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηίδα λίμνην,
Βοίβην καὶ Γλαφύρας καὶ ἐῢ κτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος πάις ἕνδεκα νηῶν,
Εὔμηλος, τὸν ὑπ' Ἀδμήτῳ 'τέκε δῖα γυναικῶν
Ἄλκηστις, Πελίαο θυγατρῶν Ϝεῖδος ἀρίστη.
οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,
τῶν δὲ Φιλοκτήτης ἦρχεν, τόξων ἐῢ Ϝειδώς,
ἑπτὰ νεῶν· ἐρέται δὲ Ϝεκάστῃ πεντήκοντα
ἐμβέβασαν, τόξων ἐῢ Ϝειδότες ἶφι μάχεσθαι.
ἀλλ' ὃ μὲν ἐν νήσῳ 'κεῖτο κρατέρ' ἄλγεα πάσχων, 721 cf. ε 13
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν 'λίπον υἷες Ἀχαιῶν
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου·
ἔνθ' ὅ γ' ἔκειτ' ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον
Ἀργέιοι παρὰ νηυσὶ Φιλοκτήταο Ϝάνακτος.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, 'πόθεόν γε μὲν ἀρχόν· 726 = 703
ἀλλὰ Μέδων 'κόσμησεν, 'Οιλῆος νόθος υἱός,

---

724 sq. Zen. —; etiam vs. 726 ab eo damnatum (aut ignoratum) esse probabiliter statuit Friedlaender

---

701 *Δάρδανος ἀνὴρ*] *φαίδιμος Ἕκτωρ* Demetr. Scepsius, consentiens cum Cypriis et cum Sophocle (fr. 443 Dind.) ‖ 704 *σφας] *σφεας* ‖ 705 *Ϝιφίκλοι'* nº 59] *-κλου.* Nauck *Ἰφίκλοιο πάις* ‖ 707 *ἅμα* Ar.] *ἄρα* ‖ 708 sq.] post 703 ferri non posse vidit Wolf ‖ 711 *παραὶ Β. λίμνην*] l. a. *ἰδὲ κρήνην Ὑπέρειαν* (cf. 734). Vulgatam imitatur Eur. Alcest. 590 ‖ 712 *καὶ Γλαφύρας*] *τε γλαφυρὰν* Steph. Byz. s. v. *Βοίβη* ‖ 717 *Μελίβοιαν*] *Πιτύειαν* Steph. Byz. s. v. *Ὀλιζών* ‖ 718] Zen. *τῶν αὖ (θ') ἡγεμόνευε Φιλοκτήτης ἀγὸς ἀνδρῶν* ‖ 719 *δὲ* Bekker] *δ' ἐν.* Nauck eleganter *δὲ ἑκαστόθι* ‖ 720 *ἶφι*] sine Ϝ; Nauck *ἠδὲ*, parum probabiliter ‖ 721—728] postea sunt additi; vid. ad 525 sq. ‖ 727 *ἀλλὰ*] *τοὺς δὲ* Zen.

II τόν ῥ' ἔτεκε Ῥήνη ὑπ' Ὀιλῆι πτολιπόρθῳ.
οἳ δ' εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν,
οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος,
τῶν αὖθ' ἡγείσθην Ἀσκληπιόο δύο παῖδε,
ἰητῆρ' ἀγαθὼ, Ποδαλείριος ἠδὲ Μαχάων·
τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχάοντο. 733 = 516
οἳ δ' ἔχον Ὀρμένιον οἵ τε κρήνην Ὑπέρειαν,
οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
τῶν ἦρχ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός·
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 737 = 534
οἳ δ' Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
Ὄρθην Ἠλώνην τε πόλιν τ' Ὀλοοσσόνα λευκὴν,
τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης,
υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος 'τέκετο Ζεύς·
τόν ῥ' ὑπὸ Πειριθόῳ 'τέκετο κλυτὸς Ἱπποδάμεια
ἤματι τῷ ὅτε Φῆρας ἐτίσατο λαχνήεντας,
τοὺς δ' ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσ' ἐπέλασσε·
οὐκ οἶος, ἅμα τῷ γε Λεοντεὺς, ὄζος Ἄρηος,
υἱὸς ὑπερθύμοιο Κορώνου Καινεΐδαο·
τοῖσ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 747 = 524
Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ Ϝείκοσι νῆας·
τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί,
οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί' ἔθεντο,
οἵ τ' ἀμφ' ἱμερτὸν Τιταρήσιον ἔργ' ἐνέμοντο,
ὅς ῥ' ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ,
οὐδ' ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,
ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ' ἔλαιον·
ὅρκου γὰρ δϜεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ. 755b = κ 514
Μαγνήτων δ' ἦρχε Πρόθοος, Τενθρηδόνος υἱὸς,
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον
'ναίεσκον· τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε,
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο. 759 = 534

---

729 *κλωμακόεσσαν* C] *κλιμακόεσσαν* A, Pausan. IV 9 § 2, Etym. M. 470, 9 || 731 *Ἀσκληπιόο* nº 59] *-πιοῦ* || 733 *τῶν*] *τοῖς* Ar. — *ἐστιχάοντο* nº 191] *-όωντο* || 741 *ἀθάνατος*] *-τον* Zen. || 742 *'τέκετο*] **ἔτεκε*? || 743 *Φῆρας*] cf. *Α* 268 || 744 **-κεσσ' ἐπέλασσε*] *-κεσσι πέλασσε* || 747 **τοῖσ'*] *τοῖς δ'*, cf. vs. 524 || 749 *'Ενιῆνες*] *ἄρ' Ἴωλοι* Steph. Byz. s. v. *Ἴωλοι* || 750 *οἰκί'*] neglecto Ϝ; *δυσχείμερα Ϝοικί'* Bentley, at vide versum sequentem || 751 *ἔργ' ἐνέμοντο*] *ἔργα νέμοντο* Ar. In *ἔργα* neglectum est Ϝ

II οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν. 760ᵇ = 487
τίς τ' ἂρ τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε, μοῦσα,
αὐτῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρεΐδησιν ἕποντο.
ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο,
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
ὄτριχας ὀϜέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐϜίσας·
τὰς ἐν Πιερίῃ 'θρέψ' ἀργυρότοξος Ἀπόλλων,
ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
ὄφρ' Ἀχιλεὺς 'μήνιεν· ὃ γὰρ πολὺ φέρτατος ἦεν,
ἵπποι θ' οἳ 'φορέεσκον ἀμύμονα Πηλεΐωνα.
ἀλλ' ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι 771 sq. = Η 229 sq.
'κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι, ποιμένι λαῶν,
Ἀτρεΐδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης
δίσκοισιν 'τέρποντο καὶ αἰγανέῃσιν ἱέντες 774 = δ 626 ρ 168
τόξοισίν θ'· ἵπποι δὲ παρ' ἅρμασι Ϝοῖσι Ϝέκαστος
λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε σέλινον
ἕστασαν· ἅρματα δ' εὖ πεπυκασμένα 'κεῖτο Ϝανάκτων
ἐν κλισίῃσ'. οἳ δ' ἀρχὸν Ἄρηι φίλον ποθέοντες
'φοίταον ἔνθα καὶ ἔνθα κατὰ στρατὸν οὐδ' ἐμάχοντο.
οἳ δ' ἄρ' ἴσαν ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο·
γαῖα δ' ὑπεστενάχιζε Διὶ ὣς τερπικεραύνῳ
χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάσσῃ
ἐν Ἀρίμοισ', ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς·
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγ' ἐστεναχίζετο γαῖα
ἐρχομένων· μάλα δ' ὦκα διέπρησσον πεδίοιο. 785 = Γ 14 cf. Ψ 364

---

Τρωσὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ϝῖρις
πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ·
οἳ δ' ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσι
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες. 789ᵃ = Η 415 789ᵇ = Ι 36
ἄγχι δέ Ϝ' ἱσταμένη προσέφη πόδας ὠκέα Ϝῖρις, 790 = Γ 129 Δ 199 Ω 87

762 αὐτῶν] l. a. ἀνδρῶν. — -δῃσιν ἕποντο] *-δῃσ' εἵποντο? || 765 ὀϜέτεας Bekker] = ὀ-Ϝέτεας i. e. ἰσέτεις. Codd. οἰέτεας. De prima syllaba producta cf. nº 21 || 766 Πιερίῃ] Φηρείῃ Valckenaer || 779 'φοίταον nº 191] φοίτων || 782 ἱμάσσῃ] cf. nº 122 || 783 *ἐν nº 315] εἰν. — Subiunxerunt nonnulli χώρῳ ἔνι δρυόεντι, Ὕδης ἐν πίονι δήμῳ (cf. Υ 385) teste Strabone XIII 626 || 784 *μέγ' ἐστεναχίζετο] μέγα στεναχίζετο || 790 *ἄγχι δέ Ϝ'] ἀγχοῦ δ', vid. nº 318

Π *Ϝείσατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτῃ,*
*ὃς Τρώων σκοπὸς ἷζε, ποδωκείῃφι πεποιθώς,*
*τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο γέροντος,*
*δέγμενος εἴ ποτε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί·*
*τῷ μιν Ϝεισαμένη προσέφη πόδας ὠκέα Ϝῖρις·*
*„ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσι,*
*ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρε.*
*ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,*
*ἀλλ' οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα·*
*λίην γὰρ φύλλοισι ϜεϜοικότες ἢ ψαμάθοισι*
*ἔρχονται πεδίοιο μαχεσσόμενοι προτὶ Ϝάστυ.*
*Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·*
*πολλοὶ γὰρ κατὰ Ϝάστυ μέγα Πριάμοἰ ἐπίκουροι,*
*ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·*
*τοῖσι Ϝέκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,*
*τῶν δ' ἐξηγείσθω, κοσμησάμενος πολιήτας."*
*ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι θεᾶς Ϝέπος ἠγνοίησε,*
*αἶψα δ' ἔλυσ' ἀγορήν· ἐπὶ τεύχεα δ' ἐσσεύοντο,*
*πᾶσαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,* 809 sq. = Θ 58 sq.
*πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.* 810 = ω 70
*ἔστι δέ τις πόλιος προπάροιθ' αἰπεῖα κολώνη,*
*ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα,*
*τὴν ἤ τοι ἄνδρες Βατίειαν κικλήσκουσι,*
*ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης·*
*ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ' ἐπίκουροι.*
*Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ*
*Πριαμίδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι* 817ᵇ = 577
*λαοὶ ἐθωρήσσοντο, μεμαότες ἐγχείῃσι.*
*Δαρδανίων αὖτ' ἦρχεν ἐὺς πάις Ἀγχίσαο,*
*Αἰνείας, τὸν ὑπ' Ἀγχίσῃ 'τέκε δῖ' Ἀφροδίτη,*
*Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα,*

---

791—795 Ar. —

---

792 *ποδωκείῃφι* dubitanter Christ] *-ῃσι*. Cf. *Δ* 303 ‖ 794 *δέγμενος*] l. a. *δέχμενος*. — *εἴ ποτε* Naber] *ὁππότε*. Cf. *Κ* 189 ‖ 795 *Ϝεισαμένη* Bekker] *εἰσαμένη*. — *προσέφη*] l. a. *μετέφη* ‖ 798 *ἦ μὲν δή*] *ἤδη μὲν* Ar. ‖ 801 *μαχεσσόμενοι* Nauck] *μαχησόμενοι*. — *προτὶ* Zen. Aristoph. Ar.] *περὶ* codd. ‖ 802 *γε* Turnebus] *δέ*, cf. *μ* 217 ‖ 803 *Πριάμοἰ* n° 59] *Πριάμου* ‖ 811 *πόλιος προπάροιθ'* Apoll. lex.] *προπάροιθε πόλιος* ‖ 818 **ἐθωρήσσοντο*] *θωρήσσοντο*

Π οὐκ οἶος, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε, 822ᵇ sq. = *M* 99 sq.
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης ἐῢ Ϝειδότε πάσης.
οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης,
ἀφνειοί, πίνοντες ὕδωρ μέλαν Αἰσήποιο,
Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱὸς
Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε.
οἳ δ' Ἀδρήστειάν τ' εἶχον καὶ δῆμον Ἀπαισοῦ
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,
τῶν ἦρχ' Ἄδρηστός τε καὶ Ἄμφιος λινοθώρηξ,
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων 831-834 = *Λ* 329 sqq.
'Ϝείδεε μαντοσύνας, οὐδὲ Ϝοὺς παῖδας ἔασκε
στειχέμεν' ἐς πόλεμον φθισήνορα. τὼ δέ Ϝοι οὔ τι
'πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
οἳ δ' ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο
καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην,
τῶν αὖθ' Ὑρτακίδης ἦρχ' Ἄσιος, ὄρχαμος ἀνδρῶν, 837 cf. *M* 110
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν 'φέρον ἵπποι 838 sq. = *M* 96 sq.
αἴθωνες μεγάλοι, ποταμοῖ' ἄπο Σελλήεντος.
Ἱππόθοος δ' ἄγε φῦλα Πελασγῶν ἐγχεσιμώρων,
τῶν οἳ Λάρισαν ἐριβώλακα 'ναιετάεσκον·
τῶν ἦρχ' Ἱππόθοός τε Πύλαιός τ', ὄζος Ἄρηος,
υἷε δύω Λήθοιο Πελασγοῦ Τευταμίδαο.
αὐτὰρ Θρήικας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως,
ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐϜέργει.
Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων,
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.
αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος, 849ᵇ = *Π* 288
Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.
Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
οἵ ῥα Κύτωρον ἔχον καὶ Σήσαμον ἀμφενέμοντο

---

829 *Πιτύειαν ἔχον*] *Πιτύαν εἶχον* Strab. XIII 587 || 832 *'Ϝείδεε*] *ᾔδεε* || 833 *στειχέμεν* Nauck] *στείχειν* || 839 *ποταμοῖ'* nº 59] *ποταμοῦ* || 841 *'ναιετάεσκον* nº 191] *-άασκον* || 846 *ἦν*] *ἔεν* LMeyer || 848] nonnulli addiderunt *Πηλεγόνος θ' υἱός, περιδέξιος Ἀστεροπαῖος* (schol. Φ 140, Eustath.) || 849 *Ἀμυδῶνος*] *Ἀβυδῶνος* Steph. Byz. s. v. || 852 *'Ενετῶν*] *'Ενετῆς* Zen.

II *ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον,*
*Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.*
*αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον*
*τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.*
*Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής·*
*ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,*
*ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο* 860 = 874
*ἐν ποταμῷ, ὅθι περ Τρῶας 'κεράιζε καὶ ἄλλους.*
*Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοϝειδὴς*
*τῆλ' ἐξ Ἀσκανίης· 'μέμασαν δ' ὑσμῖνι μάχεσθαι.*
*Μήοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην,*
*υἷε Ταλαιμένεος, τὼ Γυγαίη 'τέκε λίμνη,*
*οἳ καὶ Μήονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.*
*Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,*
*οἳ Μίλητον ἔχον Φθιρῶν τ' ὄρος ἀκριτόφυλλον*
*Μαιάνδρου τε ῥοὰς Μυκάλης τ' αἰπεινὰ κάρηνα·* 869b = h. Ap. 41
*[τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην* 870 cf. 620
*Νάστης Ἀμφίμαχός τε, Νομίονος ἀγλαὰ τέκνα,]*
*ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠύτε κούρη,*
*νήπιος, οὐδέ τί ϝοι τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον,*
*ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο* 874 = 860
*ἐν ποταμῷ, χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.*
*Σαρπηδὼν δ' ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων* 876 cf. Ξ 426
*τηλόθεν ἐκ Λυκίης, Ξάνθοι' ἄπο δινήεντος.* 877 cf. Ε 479

860 sq. Ar. — || 874 sq. Ar. —

854 *δώματ' ἔναιον*] *ἔργ' ἐνέμοντο* Strab. XIII 590 || 855 *τ' Αἰγιαλόν*] l. a. *Κωβίαλον* apud Strab. XII 545, *Κρωβίαλον* schol. Apoll. Rhod. II 942. — Post hunc versum Callisthenes addebat *Καύκωνας (δ') αὖτ' ἦγε Πολυκλέος υἱὸς ἀμύμων* (*Ἄμειβος* schol. Υ 329), | *οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον*, cf. Strab. XII 542 || 856 *Ἀλιζώνων*] l. a. *Ἀλαζώνων* (cf. Herod. IV 17) et *Ἀμαζώνων* ap. Strab. XII 550. Hoc legebat Ephorus, sequentem versum sic conformans: *ἐλθόντ' ἐξ Ἀλόπης, ὅθ' Ἀμαζονίδων γένος ἐστί* (Strab. l. l.) || 857 *Ἀλύβης*] l. a. *Ἀλόπης, Ἀλόβης, Χαλύβης* Strab. XII 549 sq., *Ἀλύβων, Χαλύβων* Eustath. || 859 *ἐρύσατο*] a *ῥύομαι* verbo; (ϝ)*ερύσσατο* AC || 864 *Μέσθλης*] l. a. *Μέστρης* Eustath. || 865 *λίμνη* Ar.] *λίμνη* Chaeris et Diodorus (Aristophanis discipulus), *Γυραίη τέκε λίμνη* liber Massiliensis || 866] teste Eustathio in Euripidis libro addebatur *Τμώλῳ ὕπο νιφόεντι Ὕδης ἐν πίονι δήμῳ* (Υ 385), cf. Strab. XIII 626 || 867 *Νάστης*] *Μάσθλης* Strab. XIV 661 || 870 sq.] merito damnavit LMueller; Ar. addubitasse non videtur || 873 *νήπιος*] *νηπίη* Clem. Alex. Paed. 244 || 877 *Ξάνθοι'* n° 59] *Ξάνθου*

## ΙΛΙΑΔΟΣ Γ.

*Ὅρκοι* (vs. 1—120). — *Τειχοσκοπία* (vs. 121—244). — *Ἀλεξάνδρου καὶ Μενελάου μονομαχία* (vs. 245 sqq.).

---

III αὐτὰρ ἐπεὶ ’κόσμηθεν ἅμ’ ἡγεμόνεσσι Ϝέκαστοι,
Τρῶες μὲν κλαγγῇ τ’ ἐνοπῇ τ’ ἴσαν ὄρνιθες ὥς,
ἠύτε περ κλαγγὴ γεράνων πέλετ’ οὐρανόθι πρό,
αἵ τ’ ἐπεὶ οὖν χειμῶν’ ἔφυγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ’ Ὠκεανοῖο ῥοάων
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ’ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται. 7 cf. Δ 529 ζ 92
οἳ δ’ ἄρ’ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν’ ἀλλήλοισι.
ὥς τ’ ὄρεος κορυφῇσι Νότος κατέχευεν ὀμίχλην,
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,
τόσσον τίς τ’ ἔπι λεύσσει ὅσον τ’ ἔπι λᾶαν ἵησι· 12b cf. ν 114
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὤρνυτ’ ἀϜελλὴς
ἐρχομένων· μάλα δ’ ὦκα διέπρησσον πεδίοιο. 14 = Β 785

οἳ δ’ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ’ ἀλλήλοισιν ἰόντες, 15 = Ε 14, 630 etc.
Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοϜειδής,
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.

---

3 *πέλετ’ nº 275] *πέλει*. — *οὐρανόθι*] l. a. *οὐρανόθεν* || 4 **χειμῶν’ ἔφυγον*] *χειμῶνα φύγον* || 10 *ὥς τ’ ὄρεος* Vind.] *εὖτ’ ὄρεος* ceteri Ar., *ἠύτε ὄρευς* libri Chius et Massiliensis. Formam *ὄρευς* Ar. merito damnavit, cf. nº 71; sed nihilo melius est *εὖτε* pro *ἠύτε*, vid. nº 324. Cf. *Τ* 386 || 11 *ἀμείνω* codd.] l. a. *ἀμείνων* (sic Ar.?, cf. *Δ* 400). Vid. nº 85 || 13 *κονίσαλος*] *-λου* Aristoph. — *ἀϜελλής*] **ἀϜολλής*?

III [καὶ ξίφος· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ — 18 cf. Δ 43 χ 125
πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι.] — 20 = Η 40, 51
τὸν δ' ὡς οὖν ἐνόησεν Ἄρηι φίλος Μενέλαος
ἐρχόμενον προπάροιθεν ὁμίλου, μακρὰ βιβάντα,
ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας,
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα — 24ᵇ = Ο 271
πεινάων· μάλα γάρ Ϝε κατεσθίει, αἴ κέ περ αὐτὸν
σεύωνται ταχέες τε κύνες θαλεροί τ' αἰζηοί·
ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοϜειδέα
ὀφθαλμοῖσι Ϝιδών, 'φάτο γὰρ τίσεσθαι ἀλείτην. — 28 cf. υ 121
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε. — 29 = Ε 494 etc. cf. Δ 419
τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοϜειδὴς — 30 = Λ 581
ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ·
ἂψ δ' ἑτάρων ἐς Ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων. — 32 = Δ 585 Ν 596 etc.
ὡς δ' ὅτε τίς τε δράκοντα Ϝιδὼν παλίνορσος ἀπέστη
οὔρεος ἐν βήσσῃσ', ὑπό τε τρόμος ἔλλαβε γυῖα,
ἂψ δ' ἀνεχώρησεν, ὦχρός τέ μιν εἷλε παρειάς,
ὣς αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων
δϜείσας Ἀτρέος υἱὸν Ἀλέξανδρος θεοϜειδής.
τὸν δ' Ἕκτωρ 'νείκεσσε Ϝιδὼν αἰσχροῖσι Ϝέπεσσι· — 38 = Ζ 325
„Δύσπαρι, Ϝεῖδος ἄριστε, γυναιμανές, ἠπεροπευτά, — 39 = Ν 769
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ ποθι καγχαλάουσι κάρη κομάοντες Ἀχαιοί,
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
Ϝεῖδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή.

18—20 Zen. —, 19 et 20 Ar. —

18—20] recte damnavit Zen.; Aristarchus vero versum 18 servabat, deleto articulo ὃ, quem etiam Aristoph. Callistr. Ixio omiserunt. Ferri nequit ὃ nisi versus 19 sq. serventur ‖ 18 δοῦρε] *δοῦρα? cf. Δ 43 ‖ 22 βιβάντα Bekker] βιβῶντα. Vid. Η 213 Ν 371 et ad Μ 277 ‖ 23 σώματι] i. e. *corpus animalis a venatoribus modo interfecti*, cf. Λ 480 Σ 161 ‖ 25 *Ϝε] τε. — *αἴ κέ περ] εἴ περ ἂν ‖ 27 θεοϜειδέα] cf. nº 73 ‖ 28 ἀλείτην Ar. codd.] ἀλείτας Zen. ‖ 32 ἐς] εἰς ‖ 38 αἰσχροῖσι Ϝέπεσσι Bekker] αἰσχροῖς ἐπέεσσι ‖ 40] grammaticus quidam subiungebat versum Ι 455 sec. Eustath. ‖ 42 ὑπόψιον] ἐπόψιον Aristoph. ‖ 43 *ποθι nº 322] που. — καγχαλάουσι, κομάοντες nº 191] -όωσι, -όωντες

III ἦ τοῖός περ ἐὼν ἐν ποντοπόροισι νέεσσι
πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ' ἐυϝειδέ' ἀνῆγες
ἐξ ἀπίης γαίης, νυὸν ἀνδρῶν αἰχμητάων, 49 cf. Α 270
πατρί τε σῷ μέγα πῆμα πόληΐ τε παντί τε δήμῳ,
δυσμενέσιν μὲν χάρμα, κατηφείην δὲ σοὶ αὐτῷ;
οὔ κέν δὴ μείνειας Ἄρηι φίλον Μενέλαον;
γνοίης χ', οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν.
οὔ κέν τοι χραίσμῃ κίθαρις τά τε δῶρ' Ἀφροδίτης,
ἥ τε κόμη τό τε ϝεῖδος, ὅτ' ἐν κονίῃσι μιγήης.
ἀλλὰ μάλα Τρῶες δεδϝείμονες· ἦ τέ κεν ἤδη
λάινον ἕσσο χιτῶνα κακῶν ἕνεχ' ὅσσα ϝέϝοργας."
τὸν δ' αὖτε προσέϝειπεν Ἀλέξανδρος θεοϝειδής· 58 sq. = Ζ 332 sq.
„Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν·
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής,
ὅς τ' εἶσιν διὰ δουρὸς ὑπ' ἀνέρος, ὅς ῥά τε τέχνῃ
νήιον ἐκτάμνῃσιν, ὀφέλλει δ' ἀνδρὸς ἐρωήν·
ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί.
μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσέης Ἀφροδίτης·
οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.
[ὅσσα κεν αὐτοὶ δῶσι, ϝεκὼν δ' οὔ κέν τις ἕλοιτο.]
νῦν αὖτ' εἴ μ' ἐθέλεις πολεμιζέμεν ἠδὲ μάχεσθαι,
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς, 68 = Η 49
αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ Ἄρηι φίλον Μενέλαον 69 sq. cf. 90 sq.
συμβάλετ' ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, 71 = 92 σ 46
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε ϝοίκαδ' ἀγέσθω· 72 = 93
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες 73 = 256 cf. 94
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέσθων 74 cf. 257

46 τοῖός περ Bentley] τοιόσδε, vid. vs. 159 et nº 97. Heyne τοιοῦτος ‖ 49 ἀπίης] vid. ad Α 270 ‖ 50 τε σῷ] *τεῷ? vid. ad Α 185 ‖ 51 κατηφείην] κατηφείη Zen., versum cum sequentibus coniungens ‖ 52 et 54 *οὔ κεν] οὐκ ἄν ‖ 54 κίθαρις Ar. codd.] corrigebant quidam κίδαρις (i. e. *pileus*, cf. Pollux VII 58) ‖ 55 μιγήης nº 122] μιγείης ‖ 56 *δεδϝείμονες nº 139] δειδήμονες. Zen. ἐλεήμονες, Nauck coniecit γε μεθήμονες ‖ 57 ἕσσο] neglecto ϝ ‖ 64 χρυσέης] i. e. χρῡσέης, nº 18; χρυσῆς codd. ‖ 66 *οὔ κεν] οὐκ ἄν. Sed spurius videtur versus, in quo δῶσι pro δώωσι non est Homericum, cf. nº 122, neque aptum sensum praebet ϝεκών ‖ 67 πολεμιζέμεν Bekker] -ίζειν ‖ 71 νικήσῃ] nº 122. — κρείσσων] κρείσσω (sic) Zen., cf. Α 80 ‖ 74 ναίοιτε] ναίοιμεν Zen., quod ex ναίετε μὲν ortum censet Naber

III Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιΐδα καλλιγύναικα." 75 = 258
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτ' ἐχάρη μέγα μῦθον ἀκούσας, 76-78 = *H* 54 sqq.
καί ῥ' ἐς μέσσον ἰὼν Τρώων ἀνέϝεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών· τοὶ δ' ἱδρύθησαν ἅπαντες.
τῷ δ' ἐπετοξάζοντο κάρη κομάοντες Ἀχαιοί,
ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον.
αὐτὰρ ὃ μακρὸν ἄυσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ἴσχεσθ', Ἀργέιοι· μὴ βάλλετε, κοῦροι Ἀχαιῶν· 82 cf. ω 54
στεῦται γάρ τι ϝέπος ϝερέειν κόρυθ' αἰόλος Ἕκτωρ."
ὣς ἔφαθ', οἳ δ' ἔσχοντο μάχης ἄνεῴ τ' ἐγένοντο
ἐσσυμένως· Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔϝειπε· 85[b] sq. = *H* 66 sq.
„κέκλυτέ μοι, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί, 86 = 304
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε. 87 = *H* 374, 388
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πολυβοτείρῃ,
αὐτὸν δ' ἐν μέσσῳ καὶ Ἄρηι φίλον Μενέλαον 90 sq. cf. 69 sq.
οἴους ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, 92 sq. = 71 sq.
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε ϝοίκαδ' ἀγέσθω·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν." 94 cf. 73
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 95 = *H* 92, 398 etc.
τοῖσι δὲ καὶ μετέϝειπε βοὴν ἀγαθὸς Μενέλαος·
„κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργεΐους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπασθε
εἵνεκ' ἐμῆς ἔριδος καὶ Ἀλεξάνδροι' ἕνεκ' ἀρχῆς.
ἥμων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη· ἄλλοι δὲ διακρίνθητε τάχιστα.
οἴσετε ϝάρν', ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
Γῇ τε καὶ Ἠελίῳ· ἦμες δὲ Διΐ οἴσομεν ἄλλον.

---

78 ἱδρύθησαν Vind.] ἱδρύνθησαν C D, omittit versum A. Cf. *H* 56 ‖ 79 κομάοντες nº 191] -όωντες ‖ 86 *μοι] μευ. Alii νῦν vel δή coniecerunt. — Post hunc versum in C additur *H* 349 ‖ 89 πολυβοτείρῃ D] πουλυβοτείρῃ, cf. nº 21 ‖ 92] cf. ad vs. 71 ‖ 99 Ἀργεΐους καὶ Τρῶας] Ἀργεῖοι καὶ Τρῶες Zen. — πέπασθε Ar., nº 160] πέποσθε ‖ 100 Ἀλεξάνδροι' nº 59] -δρου. — ἀρχῆς] ἄτης Zen. contra usum Homericum, ἀάτης enim dicendum erat. Redit vitium *Z* 356 ‖ 101 *ἥμων] ἡμέων ‖ 102 *διακρίνθητε schol. Vrat.] διακρινθεῖτε. Cf. ω 532 ‖ 103 ϝάρν' Heyne] δ' ἄρν' ‖ 104 *ἦμες δὲ Διΐ] Διὶ δ' ἡμεῖς. Praeterea versus initio fortasse praestat *Γαίῃ τ' Ἠελίῳ θ'; sed vide *T* 259 et nº 58

III ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ᾽ ὅρκια τάμνῃ
αὐτὸς, ἐπεί Ϝοι παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι,
μή τις ὑπερβασίῃ Διὸς ὅρκια δηλήσηται.
αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται."
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε,
Ϝελπόμενοι παύσεσθαι ὀιξυροῦ πολέμοιο.
καί ῥ᾽ ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, ἐκ δ᾽ ἔβαν αὐτοὶ,
τεύχεά τ᾽ ἐξεδύοντο, τὰ μὲν κατέθεντ᾽ ἐπὶ γαίῃ
πλησίον ἀλλήλων, ὀλίγη δ᾽ ἦν ἀμφὶς ἄρουρα.
Ἕκτωρ δὲ προτὶ Ϝάστυ δύω κήρυκας ἔπεμπε
καρπαλίμως Ϝάρνας τε φέρειν Πρίαμόν τε καλέσσαι.
αὐτὰρ ὃ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἔπι γλαφυρὰς ἴμεναι, ἰδὲ Ϝάρν᾽ ἐκέλευε
οἰσέμεναι· ὃ δ᾽ ἄρ᾽ οὐκ ἀπίθησ᾽ Ἀγαμέμνονι δίῳ.

---

Ϝῖρις δ᾽ αὖθ᾽ Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθε,
Ϝειδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι,
τὴν Ἀντηνορίδης εἶχε κρείων Ϝελικάων,
Λαοδίκην, Πριάμοιο θυγατρῶν Ϝεῖδος ἀρίστην. 124 cf. Z 252 N 365 sq.
τὴν δ᾽ ηὗρ᾽ ἐν μεγάρῳ· ἣ δὲ μέγαν ἱστὸν ὕφαινε,
δίπλακα πορφυρέην, πολέας δ᾽ ἐνέπασσεν ἀέθλους
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων, 127 = 131, 251 Θ 71
οὓς Ϝέθεν εἵνεκ᾽ ἔπασχον ὑπ᾽ Ἄρηος παλαμάων.
ἄγχι δέ Ϝ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ϝῖρις· 129 = B 790
„δεῦρ᾽ ἴθι, νύμφα φίλη, ἵνα θέσκελα Ϝέργα Ϝίδηαι
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων, 131 = 127
οἳ πρὶν ἐπ᾽ ἀλλήλοισ᾽ ἔφερον πολύδακρυν Ἄρηα

---

109 οἷς δ᾽ ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω λεύσσει, ὅπως ὄχ᾽ ἄριστα μετ᾽ ἀμφοτέροισι γένηται

108—110 Ar. —

---

107 δηλήσηται] n° 122 || 109 οἷς pro οἷσι (ὃς δὲ Nauck, εἰ δὲ Christ) recentioris originis videtur esse indicium, nam merito Ar. hunc et sequentem versum proscripsit; versum 108 vero satis tuetur simillimus locus Z 352. — δ᾽ ὁ] δὲ? || 112 παύσεσθαι Bekker] παύσασθαι pervulgato errore || 115 ἦν] ἔεν LMeyer || 119 ἴμεναι n° 125] ἰέναι. — ἰδὲ Bentley] ἠδ᾽. Sed καὶ fortasse praeferendum || 126 πορφυρέην Zen. Aristoph. Ar.] μαρμαρέην codd. || 129 *ἄγχι δέ Ϝ᾽] ἀγχοῦ δ᾽, vid. n° 318 || 132 *-οισ᾽ ἔφερον] -οισι φέρον

III ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο·
οἳ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,
ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε.
αὐτὰρ Ἀλέξανδρος καὶ Ἄρηι φίλος Μενέλαος 136 = 253
μακρῇσ' ἐγχείῃσι μαχέσσονται περὶ σεῖο, 137 sq. cf. 254 sq.
τῷ δέ γε νικήσαντι φίλη κεκλήσε' ἄκοιτις."
ὣς Ϝειποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ
ἀνδρός τε προτέρου καὶ Ϝάστεος ἠδὲ τοκήων.
αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσι
ὡρμάετ' ἐκ θαλάμοιο, τέρεν κατὰ δάκρυ χέουσα,
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο, 143 = α 331 σ 207 cf. ζ 84
Αἴθρη, Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις.
αἶψα δ' ἔπειθ' ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν.
οἳ δ' ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηος, 147 = Υ 238
Οὐκαλέγων τε καὶ Ἀντήνωρ, πεπνυμένω ἄμφω,
ἥατο δημογέροντες ἐπὶ Σκαιῇσι πύλῃσι,
γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορηταὶ
ἐσθλοί, τεττίγεσσι ϜεϜοικότες, οἵ τε καθ' ὕλην
δένδρε' ἐφεζόμενοι Ϝόπα λειριόεσσαν ἱεῖσι·
τοῖοι ἄρα Τρώων ἡγήτορες ἦντ' ἐπὶ πύργῳ.
οἳ δ' ὡς οὖν ἐϜίδονθ' Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,
Ϝῆκα πρὸς ἀλλήλους Ϝέπεα πτερόεντ' ἀγόρευον·
„οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇσ' εἰς ὦπα ϜέϜοικε.
ἀλλὰ καὶ ὥς, τοίη περ ἐοῦσ', ἐν νηυσὶ νεέσθω,
μηδ' ἧμιν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο."
ὣς ἄρ' ἔφαν, Πρίαμος δ' Ἑλένην ἐκαλέσσατο φωνῇ·
„δεῦρο πάροιθ' ἐλθοῦσα, φίλον τέκος, ἵζε' ἐμεῖο,

144 Ar. —

137 *μαχέσσονται* Nauck] *μαχήσονται* || 138 *γε* Vindob. (Nauck vHerwerden)] *κε*. — **κεκλήσε'* nº 117] *-σῃ* || 140 *προτέρου* Eustath.] *προτέροιο* || 142 *ὡρμάετ'* nº 191] *ὡρμᾶτ'* || 144 *βοῶπις*] nonnisi h. l. et *H* 10 de mortali muliere dici observavit Ar. || 149 *ἥατο* nº 220] *εἵατο* || 152 **δένδρε'*] *δένδρει* Zen., *δενδρέῳ* Ar. codd., cf. nº 83 || 153 *ἦντ'*] pro *ἥατο* (ut vs. 149) vitiosum, cf. nº 119; versum spurium censet vHerwerden || 155 *Ϝῆκα*] *ὦκα* Zen. || 160 **ἧμιν*] *ἡμῖν*. — *λίποιτο*] passive accipiendum; Nauck *γένοιτο* || 162 **ἵζε'* nº 117] *ἵζευ*

III ὄφρα Ϝίδῃς πρότερόν τε πόσιν πηούς τε φίλους τε.
οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσι,
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν.
ὥς μοι καὶ τόνδ' ἄνδρα πελώριον ἐξονομήνῃς,
ὅς τις ὅδ' ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠύς τε μέγας τε. 167ᵇ = 226
ἦ τοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασι,
καλὸν δ' οὔτω ἐγὼν οὔ πω 'Ϝίδον ὀφθαλμοῖσι,
οὐδ' οὕτω γεραρόν· βασιλῆι γὰρ ἀνδρὶ ϜέϜοικε."
τὸν δ' Ἑλένη μύθοισ' ἠμείβετο, δῖα γυναικῶν· 171 cf. 228
„αἰδοῖός τέ μοί ἐσσι, φίλε Ϝεκυρέ, δϜεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέι σῷ ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι Ϝερέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς· 177 = η 243 ο 402 cf. τ 171
οὗτός γ' Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής·
δαὴρ αὖτ' ἐμὸς ἦσκε κυνώπιδος, εἴ ποτ' ἔην γε."
ὣς 'φάτο, τὸν δ' ὁ γέρων ἠγάσσατο 'φώνησέν τε·
„ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενὲς, ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ 'δεδμήατο κοῦροι Ἀχαιῶν.
ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν,
ἔνθ' ἔϜιδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους,
λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο,
οἵ ῥα τότ' ἐστρατόοντο παρ' ὄχθας Σαγγαρίοιο· 187ᵃ = Δ 378
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέγμην
ἤματι τῷ, ὅτε τ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι·
ἀλλ' οὐδ' οἳ τόσοι ἦσαν ὅσοι ϜελίΚωπες Ἀχαιοί."

---

163 ἴδῃς Zen. C] ἴδῃ Ar. A D (pro ἴδηαι), male || 171 *μύθοισ' ἠμείβετο] μύθοισιν ἀμείβετο || 172 φίλε Ϝεκυρέ] Naber φίλος (Ϝ)εκυρός || 173 μοι ἁδεῖν] verba vitiosa, nam verbo ἁδεῖν (vel potius Ϝαδεῖν) nullus hic est locus. Nauck με (Ϝ)ἑλεῖν, Naber με λαβεῖν. Etiam μ'(οι) ἐλθεῖν aut μ' ὄφελεν θάνατος χανέμεν (coll. Ψ 79) conicere possis, sed verum nondum repertum esse videtur || 174 υἱέι σῷ] *υἷι τεῷ? || 180 *ἦσκε] ἔσκε. — εἴ ποτ' ἔην γε] cf. Λ 762 Ω 426 ο 268 τ 315 ω 289 Meleagr. Epigr. 22. Curtius ἦ pro εἴ legendum censebat || 181 δ' ὁ] δὲ? || 183 'δεδμήατο κοῦροι] -ται υἷες Barnes, probantibus Curtio Christio. Coniectura inutilis; nam post ῥα tempus praeteritum non habet quod offendat: *quantas copias igitur (ut nunc demum persentisco) habebas* || 185 *ἔνθ' ἔϜιδον] ἔνθα ἴδον || 187 ἐστρατόοντο Buttmann] -όωντο; item Δ 378 || 188 ἐλέγμην Strabo XII 552 XIV 681] ἐλέχθην

III δεύτερον αὖτ' Ὀδυσῆα ϝιδὼν ἐρέειν' ὁ γεραιός·
„ϝεῖπ' ἄγε μοι καὶ τόνδε, φίλον τέκος, ὅς τις ὅδ' ἐστί·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονος Ἀτρεΐδαο,
εὐρύτερος δ' ὤμοισιν ἰδὲ στέρνοισι ϝιδέσθαι.
τεύχεα μέν ϝοι κεῖται ἐπὶ χθονὶ πολυβοτείρῃ,
αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλέεται στίχας ἀνδρῶν· 196ᵇ cf. Δ 231
ἀρνειῷ μιν ἐγώ γε ϝεϝίσκω πηγεσιμάλλῳ,
ὅς τ' οἴων μέγα πῶυ διέρχεται ἀργεννάων."
τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸς ἐκγεγαυῖα·
„οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς,
ὃς 'τράφεν ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης,
ϝειδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά."
τὴν δ' αὖτ' Ἀντήνωρ πεπνυμένος ἀντίον ηὔδα·
„ὦ γύναι, ἦ μάλα τοῦτο ϝέπος νημερτὲς ἔϝειπες· 204 cf. π 69 ψ 183
ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖος Ὀδυσσεὺς
σεῖ' ἕνεκ' ἀγγελίην σὺν Ἄρηι φίλῳ Μενελάῳ·
τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισ' ἐφίλησα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ' ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους,
ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς.
ἀλλ' ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
ἦ τοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος
οὐδ' ἀφαμαρτοϝεπής· ἦ καὶ γένε' ὕστερος ἦεν.
ἀλλ' ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεύς,
'στάσκεν, ὑπαὶ δ' ἐϝίδεσκε, κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ' οὔτ' ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,

191 *ἐρέειν' ὁ*] *ἐρέεινε?* ‖ 193 *κεφαλῇ*] *κεφαλὴν* Ar. ‖ 195 *πολυβοτείρῃ* D] *πουλ.*, cf. nº 21 ‖ 196 *κτίλος ὣς*] contra morem Homericum non producitur *-λος* ante *ὥς*, cf. nº 101. — *ἐπιπωλέεται* nº 191] *-λεῖται* ‖ 198 *οἴων*] *οἰῶν* Ar. ‖ 201 *'τράφεν* Buttmann] *τράφη*, cf. nº 252 ‖ 206 **σεῖ'*] *σεῦ*, Zen. *σῆς*. — *ἀγγελίην* Bentley] *ἀγγελίης*. De constructione *ἀγγελίην ἰέναι* cf. Λ 140 N 252 O 640 Hes. Theog. 781 ‖ 207 **-ροισ' ἐφίλησα*] *-ροισι φίλησα* ‖ 211 *ἑζομένω*] *-νων* Zen. D ‖ 212 *ὕφαινον*] *ἔφαινον* corrigebat Casaubonus, idque probavit Bentley, receperunt Bekker et Nauck, cf. Σ 295 ϑ 499; at vide H 324 et saepius. — **πᾶσ' ὕφαινον?* ‖ 215 *ἀφαμαρτοϝεπής*] suspectum, Nauck *ἄρ' ἀμετροϝεπής*; cf. ad Θ 209 N 824 X 281. — *ἦ* Nicanor] *ἢ* A, *εἰ* C D. — **γένε'*] *γένει*, cf. nº 71. Notabile est *γένεϊ* pro *γενεῇ*, *γένε' ὕστερος* ***natu minor***; cf. Λ 786 *γενεῇ ὑπέρτερος* ***de stirpe nobiliore***. Spurium versum indicat Nauck

III ἀλλ' ἀστεμφὲς ἔχεσκεν, ἀϝίδρῐ φωτὶ ϝεϝοικώς·
φαίης κε ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὔτως.
ἀλλ' ὅτε δὴ ϝόπα τε μεγάλην ἐκ στήθεος εἴη
καὶ ϝέπεα νιφάδεσσι ϝεϝοικότα χειμερίῃσι,
οὐ κεν ἔπειτ' Ὀδυσῆΐ γ' ἐρίσσειε βροτὸς ἄλλος."
τὸ τρίτον αὖτ' Αἴαντα ϝιδὼν ἐρέειν' ὁ γεραιός·
„τίς τ' ἄρ' ὅδ' ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε, 226b = 167
ἔξοχος Ἀργείων κεφαλήν ἠδ' εὐρέας ὤμους;"
τὸν δ' Ἑλένη τανύπεπλος ἀμείβετο, δῖα γυναικῶν· 228 cf. 171
„οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ', ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν 'ξείνισσεν Ἄρηι φίλος Μενέλαος
ϝοίκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ϝελίκωπας Ἀχαιούς,
οὕς κεν ἐὺ γνοίην καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι ϝιδέμεν κοσμήτορε λαῶν,
Κάστορά θ' ἱπποδάμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, 237 = λ 300
αὐτοκασιγνήτω, τώ μοι μία 'γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεῦρο μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισι,
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
αἴσχεα δεδϝιότες καὶ ὀνείδεα, πόλλ' ἅ μοί ἐστι."
ὣς 'φάτο, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.

---

κήρυκες δ' ἀνὰ ϝάστυ θεῶν 'φέρον ὅρκια πιστά,
ϝάρνε δύω καὶ ϝοῖνον ἐύφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ· 'φέρε δὲ κρητῆρα φαεινὸν

---

224 οὐ τότε γ' ὧδ' Ὀδυσῆος ἀγασσάμεθ' εἶδος ἰδόντες

---

219 ἀϝίδρῐ nº 74] ἀίδρει, l. a. ἀίδρι ‖ 220 κε ζάκοτον] κεν ἄκοτον ASpengel; coniectura ingeniosa sed non necessaria ‖ 221 εἴη] ἵει C, quod recipi posset nisi obstaret versus 216 ‖ 224 damnaverunt Bentley et Heyne ‖ 225 ἐρέειν' ὁ] ἐρέεινε? ‖ 227 ἠδ'] τε καὶ Aristoph. Ar. (caesura vitiosa post quartum trochaeum) ‖ 236 ϝιδέμεν nº 126] ἰδέειν ‖ 237 Πολυδεύκεα] nº 73; -κην C ‖ 240 δεῦρο] δεύρω codd. Herodian. ‖ 242] versus exitus durior; non post πόλλ' sed post ὀνείδεα interpungendum esse intellexit Nicanor; *πολλά μ'(οι) ἐόντα? ‖ 244 φίλῃ] ἐῇ Zen.

III κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·
ὤτρυνεν δὲ γέροντα παριστάμενος Ϝεπέεσσι·
„ὄρσεο, Λαομεδοντιάδη, καλέουσί σ' ἄριστοι
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων 251 = 127
ἐς πεδίον καταβήμεν', ἵν' ὅρκια πιστὰ τάμητε·
αὐτὰρ Ἀλέξανδρος καὶ Ἄρηι φίλος Μενέλαος 253 = 136
μακρῇσ' ἐγχείῃσι μαχέσσοντ' ἀμφὶ γυναικί, 254 sq. cf. 137 sq.
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ' ἕποιτο·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες 256 = 73
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται 257 cf. 74
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα." 258 = 75
ὣς 'φάτο, 'ρίγησεν δ' ὁ γέρων, ἐκέλευσε δ' ἑταίρους
ἵππους ζευγνύμεναι· τοὶ δ' ὀτραλέως ἐπίθοντο.
ἂν δ' ἄρ' ἔβη Πρίαμος, κατὰ δ' ἡνία 'τεῖνεν ὀπίσσω· 261 cf. 311
πὰρ δέ Ϝοι Ἀντήνωρ περικαλλέα 'βήσετο δίφρον. 262 = 312
τὼ δὲ διὰ Σκαιῶν πεδίονδ' ἔχον ὠκέας ἵππους.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πολυβότειραν
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχάοντο. 266 = 341
ὤρνυτο δ' αὐτίκ' ἔπειτα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
ἂν δ' 'Οδυσεὺς πολύμητις· ἀτὰρ κήρυκες ἀγανοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ Ϝοῖνον
'μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
Ἀτρεΐδης δὲ Ϝερυσσάμενος χείρεσσι μάχαιραν, 271 sq. = Τ 252 sq.
ἥ Ϝοι πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄορτο,
Ϝαρνῶν ἐκ κεφαλῆς 'τάμνε τρίχας· αὐτὰρ ἔπειτα
κήρυκες Τρώων καὶ Ἀχαιῶν 'νεῖμαν ἀρίστοις.
τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' ηὔχετο χεῖρας ἀνασχών· 275[b] = Λ 450

---

250 *καλέουσί σ'* Ameis-Hentze] *καλέουσιν* || 252 **καταβήμεν'* n° 125] *καταβῆναι*. — *τάμητε*] *τάμηαι* D. Medium ferri nequit, sed propter vs. 105 dubitari possit an praestet *τάμησθα* || 254 *μαχέσσοντ'* Nauck] *μαχήσοντ'* || 259 *δ' ὁ*] *δὲ*? — *ἑταίρους*] *-ροις* Zen. Ar. meliores, vitiose tamen pro *-οισι*, cf. n° 60 || 262 *'βήσετο*] *βήσατο* C, item Ar., qui magis tamen probabat *βήσετο*; de cuius „nimia" (ut Didymus ad Ι 222 dicit) in hac re „cautela" cf. Lehrs Ar.[2] p. 360 || 265 *πολυβότειραν*] *πουλυβότειραν*; cf. vs. 89, 195 || 266 *ἐστιχάοντο* n° 191] *-όωντο* || 270 *ἔχευαν*] *ἔχευον* Ar. || 272 *ἄορτο* D] *ἄωρτο*, cf. n° 256 || 273 *Ϝαρνῶν*] *ἀρνέων* Zen., pro adiectivo habens (ut Λ 536 *ἱππείων*). Ex hoc errore vicinum *κεφαλέων*, pro quo **κεφαλῆς* scripsimus (cf. n° 56), videtur originem traxisse || 274 *ἀρίστοις*] pro *-τοισι* novicium. Varia tentari possunt, e. g. **'νεῖμαν ἅπασι*, vel quod Nauck proposuit *'νεῖμαν ἀγοῖσι*

III „Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 276 = 320 Η 202 Ω 308
Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις, 277 cf. λ 109 μ 323
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθε, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ, 279 cf. Τ 260
ὗμες μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά.
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἧμες δ' ἐν νήεσσι νεώμεθα ποντοπόροισι·
εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,
Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι,
τιμὴν δ' Ἀργεΐοισ' ἀποτινέμεν ἥν τε ϜέϜοικε, 286b cf. 459
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται. 287 = 460
εἰ δέ κ' ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
τινέμεν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,
αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχέσσομαι εἵνεκα ποινῆς
αὖθι μένων, ἧός κε τέλος πολέμοιο κιχήω."
ἦ, καὶ ἀπὸ στομάχους Ϝαρνῶν 'τάμε νηλέι χαλκῷ·
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας,
θυμοῦ δευομένους, ἀπὸ γὰρ μένος εἵλετο χαλκός.
Ϝοῖνον δ' ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσι
ἔκχεον ἠδ' ηὔχοντο θεοῖσ' αἰειγενέτῃσι.
ὧδε δέ τις 'Ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε· 297 = 319
„Ζεῦ κύδιστε μέγιστε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε Ϝοῖνος,
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοισι δαμεῖεν."
ὣς ἔφαν, οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων. 302 cf. Β 419
τοῖσι δὲ Δαρδανίδης Πρίαμος μετὰ μῦθον ἔϜειπε·

279 τίνυσθε Nauck] τίνυσθον Zen. Ar. codd. Dualis vitiosus est, nam non solum Plutonem et Proserpinam, quod putabat Ar., alloquitur Agamemnon, sed inprimis *Erinyas*, cf. Τ 260, ita ut vel dubites an vs. 278 αἳ pro οἳ sit scribendum, cf. Τ 259. Dualem pro plurali dictum censebat Zen., noto errore. — ὀμόσσῃ] n° 122 || 280 *ὗμες] ὑμεῖς. — μάρτυροι Ar. codd.] μάρτυρες Zen. || 283 *ἧμες] ἡμεῖς || 286 τε Bentley] τιν'. Sed propter relativum in versu sequenti iteratum fortasse praestat quod coniecit vHerwerden ὅσσα ϜέϜοικε || 288 *δέ κ'] δ' ἄν. Fortasse praestat δέ κέ μοι || 289 τινέμεν Nauck] τίνειν || 290 μαχέσσομαι Nauck] μαχήσομαι Ar. codd. || 291 ἧος n° 323] εἵως. — κιχήω n° 122] κιχείω || 292 ἀπὸ Ar. codd.] ἐπὶ nonnulli apud Didymum || 295 ἀφυσσόμενοι Ar. C] -σσάμενοι || 301 δαμεῖεν A] μιγεῖεν C D et schol. B L ad Ε 486

III „κέκλυτέ μοι, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί· 304 = 86
ἤ τοι ἐγὼν εἶμι προτὶ Ϝίλιον ἠνεμόεσσαν
ἄψ, ἐπεὶ οὔ πω τλήσομ' ἐν ὀφθαλμοῖσ' ὁράεσθαι
μαρνάμενον φίλον υἱὸν Ἄρηι φίλῳ Μενελάῳ·
Ζεὺς μέν που τό γε ϝοῖδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, 308 = ξ 119
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστί."
ἦ ῥα, καὶ ἐς δίφρον ϝάρνας 'θέτο ϝισόθεος φώς,
ἂν δ' ἄρ' ἔβαιν' αὐτός, κατὰ δ' ἡνία 'τεῖνεν ὀπίσσω· 311 cf. 261
πὰρ δέ ϝοι Ἀντήνωρ περικαλλέα 'βήσετο δίφρον. 312 = 262
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ϝίλιον ἀπενέοντο· 313 cf. *Ω* 330
Ἕκτωρ δὲ Πριάμοιο πάις καὶ δῖος Ὀδυσσεὺς
χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
κλήρους ἐν κυνέῃ χαλκήρεϊ 'πάλλον ἑλόντες, 316 = *Ψ* 861 cf. *κ* 206
ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος.
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον· 318 sq.[a] = *H* 177 sq.
ὧδε δέ τις 'ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε· 319 = 297
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 320 = 276
ὁππότερος τάδε ϝέργα μετ' ἀμφοτέροισιν ἔθηκε,
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϝιδος εἴσω,
ἧμιν δ' αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι."
ὣς ἄρ' ἔφαν, 'πάλλεν δὲ μέγας κόρυθ' αἰόλος Ἕκτωρ
ἄψ ὁράων· Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσε.
οἳ μὲν ἔπειθ' ἵζοντο κατὰ στίχας, ἧχι ϝεκάστῳ
ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο·
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλὰ 328[b] = ψ 366
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο. 329 = *H* 355 *Θ* 82
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε 330-332 = *Λ* 17 sqq. *Π* 131 sqq. *T* 369 sqq.
καλάς, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
ϝοῖο κασιγνήτοιο Λυκάονος, ἥρμοσε δ' αὐτῷ.

---

304 *μοι] μευ ‖ 305 ἠνεμόεσσαν] cf. nº 21 ‖ 306 *-οῖσ' ὁράεσθαι] -οῖσιν ὁρᾶσθαι, cf. nº 191 ‖ 313 *ἀπενέοντο] ἀπονέοντο ‖ 318 θεοῖσι δὲ A D] θεοῖς, ἰδὲ Nicanor C; cf. *H* 177. Nicanorem secuti sunt Heyne Bekker Ameis-Hentze, coll. *Θ* 347 (= *O* 369) *T* 254 *ν* 355 *υ* 97 ‖ 322 δῦναι] cf. nº 125 ‖ 323 *ἧμιν] ἡμῖν ‖ 325 ὁράων nº 191] ὁρόων ‖ 326 ἧχι Ar.] ἦχι. — ϝεκάστῳ] ἑκάστου Ar. ‖ 327 ἔκειτο] ἔκειντο C male; nam si plurali numero uti maluisset poeta, ἐκείατο ei dicendum erat, cf. nº 119 ‖ 332 στήθεσσιν] στήθεσφιν vera lectio videtur; cf. ad *M* 401

ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφος ἀργυρόηλον,
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκε,
ἵππουριν· δϝεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ ϝοι παλάμηφιν ἀρήρει.
ὣς δ' αὔτως Μενέλαος ἀρήιος ἔντε' ἔδυνε.
οἳ δ' ἐπεὶ οὖν ϝεκάτερθεν ὁμίλου 'θωρήχθησαν,
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχάοντο
δϝεινὸν δερκόμενοι· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους καὶ ἐυκνήμιδας Ἀχαιούς.
καί ῥ' ἐγγὺς 'στήτην διαμετρητῷ ἐνὶ χώρῳ
σείοντ' ἐγχεΐας, ἀλλήλοισιν κοτέοντε.
πρόσθε δ' Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος,
καὶ 'βάλεν Ἀτρεΐδαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην,
οὐδ' ἔρρηξεν χαλκόν, ἀνεγνάμφθη δέ ϝοι αἰχμὴ
ἀσπίδ' ἔνι κρατερῇ. ὃ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρεΐδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
„Ζεῦ ϝάνα, δὸς τίσασθαι ὅ με πρότερος κάκ' ἔρεξε,
δῖον Ἀλέξανδρον, καὶ ἐμῇσ' ὑπὸ χερσὶ δάμασσον,
ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ 'βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἄντικρυς δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.

334-337 = *Π* 135 sqq.
334 sq. = *Τ* 372 sq.
334 = *Β* 45
336 sq. = *Ο* 480 sq. *χ* 123 sq.
337 = *Λ* 42
338 = *ρ* 4 cf. *Ο* 482ª *Π* 139
340 = *Ψ* 813
341 sq. cf. *Ψ* 814 sq.
341 = 266
342ᵇ sq. = *Δ* 79 sq.
347ᵇ-350 = *Ρ* 43 sqq.
347 cf. 356 *Ρ* 517 *Υ* 274
348 = *Η* 259
355 = *Ε* 280 *Η* 244 *Λ* 349 etc.
356-360 = *Η* 250 sqq.
356ᵇ-358 = *Λ* 434 sqq.
356 cf. 347
358 = *Δ* 136

334 sq. Zen. — || 352 Ar. —

338] alteram lectionem commemorat schol. ἀκαχμένον ὀξέι χαλκῷ, quam tamen errori deberi suspicamur, veteres enim grammaticos non in alio libro ms. sed alio poetae loco (*Κ* 135 *Ο* 482) haec verba reperiri significasse. — Post vs. 338 addebat Zen. ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετ' ἀσπίδα *τερμιόεσσαν (cod. τερσανόεσσαν, cf. *Π* 803; male Villoison θυσσανόεσσαν, quod aegidis est epitheton) || 340 ὁμίλου] ὁμίλοο? nº 59 || 341 ἐστιχάοντο nº 191] -όωντο || 342 ἔχεν] *εἶχ'? — εἰσοράοντας nº 191] -όωντας || 348 χαλκὸν] Ar. χαλκός, i. e. ***hastae cuspis*** (cf. vs. 349); sed melius explicatur ***ne aeream quidem scuti laminam perrupit.*** Vid. *Η* 259 et 267 Hes. Scut. 415 || 349 ἀσπίδ' ἔνι deteriores] ἀσπίδι ἐν. Vid. *Η* 272 || 351 ἔρεξε Cobet] ἔοργε || 352 δάμασσον] δαμῆναι Ar. || 357 διὰ] cf. nº 22 || 359 ἄντικρυς Bentley] ἀντικρὺ

III *Ἀτρεΐδης δὲ ϝερυσσάμενος ξίφος ἀργυρόηλον* 361 = Ν 610
*'πλῆξεν ἀνασχόμενος κόρυθος φάλον· ἀμφὶ δ' ἄρ' αὐτῇ*
*τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.* 363a = ι 71
*Ἀτρεΐδης δ' ᾤμωξε ϝιδὼν εἰς οὐρανὸν εὐρύν·* 364b = Φ 272
*„Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος.* 365 = υ 201
*ἦ τ' ἐφάμην τίσεσθαι Ἀλέξανδρον κακότητος·*
*νῦν δέ μοι ἐν χείρεσσ' ἐϝάγη ξίφος, ἐκ δέ μοι ἔγχος*
*ἠίχθη παλάμηφιν ἐτώσιον, οὐδ' ἔβαλόν μιν."*
*ἦ, καὶ ἐπαΐξας κόρυθος 'λάβεν ἱπποδασείης,*
*εἷλκε δ' ἐπιστρέψας μετ' ἐυκνήμιδας Ἀχαιούς·*
*ἦγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δειρὴν,*
*ὅς ϝοι ὑπ' ἀνθερεῶνος ὀχεὺς 'τέτατο τρυφαλείης.*
*καί νύ κέ ϝ' ἐξεϝέρυσσε καὶ ἄσπετον ἤρετο κῦδος,* 373 cf. Σ 165
*εἰ μὴ ἄρ' ὀξὺ 'νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,* 374 = Ε 312
*ἥ ϝοι 'ρῆξεν ἱμάντα βοὸς ϝῖφι κταμένοιο·* 374a = Ε 680 Θ 91 etc.
*κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ.*
*τὴν μὲν ἔπειθ' ἥρως μετ' ἐυκνήμιδας Ἀχαιοὺς*
*'ρῖψ' ἐπιδινήσας, 'κόμισαν δ' ἐρίηρες ἑταῖροι,*
*αὐτὰρ ὃ ἂψ ἐπόρουσε κατακτάμεναι μενεαίνων* 379b = Ε 436 Γ 442
*ἔγχεϊ χαλκείῳ· τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη*
*ῥεῖα μάλ' ὥς γε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ,* 381 = Γ 444 cf. Φ 597
*κὰδ δ' εἷσ' ἐν θαλάμῳ ἐυώδεϊ κηώεντι.*
*αὐτὴ δ' αὖθ' Ἑλένην καλέουσ' ἴε.*

*τὴν δ' ἐκίχανε*
*πύργῳ ἔφ' ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ϝάλις ἦσαν.*
*χειρὶ δὲ νεκταρέου ϝεανοῦ ϝ' ἐτίναξε λαβοῦσα,*
*γρηὶ δέ μιν ϝεϝικυῖα παλαιγενέι προσέϝειπε*
*εἰροκόμῳ, ἥ ϝοι Λακεδαίμονι ναιεταούσῃ*

---

**362** *αὐτῇ* Ar.] *αὐτῷ* ‖ **364** *εὐρύν* Ar. codd.] *αἰπύν* Zen. ‖ **366** *τίσεσθαι* Cobet] *τίσασθαι*, cf. vs. 28 ‖ **367** *χείρεσσ' ἐϝάγη* recent.] *-σσιν ἄγη* ‖ **368** *οὐδ' ἔβαλόν μιν*] *οὐδ' ἐδάμασσα* Ammonius, fortasse ex altera Aristarchi editione (Ludwich Ar. I 239) ‖ **370** *εἷλκε* Eustath.] *ἕλκε* ‖ **371** **ἦγχε*] *ἄγχε* ‖ **373** **κέ ϝ' ἐξεϝέρυσσε*] *κεν εἴρυσσέν τε* Ar. codd., *κεν ἐξείρυσσε* Aristoph. — *ἤρετο* Cobet] *ἤρατο* ‖ **375** *ϝοι 'ρῆξεν*] **ϝ' ἔρρηξεν*? ‖ **376** *κεινὴ*] cf. nº 38 ‖ **379** *ὃ ἂψ*] hiatus h. l. et Φ 33 vix ferendus; fortasse cum Nauckio *γ'* inserendum est ‖ **381** **γε*] *τε*. — *δ' ἄρ'*] **δέ ϝ'*? ‖ **382** *εἷσ'*] non audiendus est Apollonius de Synt. p. 326 *ἷσα* pro *εἷσα* Homero tribuens; cf. nº 220 ‖ **385** **ϝ'* ‖ **387** *ναιεταούσῃ* Athen. V 191*a*, cf. nº 191] *-αώσῃ*, Ar. *-οώσῃ*

III ἤσκεεν εἴρια καλά, μάλιστα δέ μιν 'φιλέεσκε·
τῇ μιν Ϝεισαμένη προσεφώνεε δῖ' Ἀφροδίτη·
„δεῦρ' ἴθ'· Ἀλέξανδρός σε καλεῖ Ϝοῖκόνδε νέεσθαι·
κεῖνος ὅ γ' ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι,
κάλλεΐ τε στίλβων καὶ Ϝείμασιν· οὐδέ κε φαίης
ἀνδρὶ μαχεσσάμενον τόν γ' ἐλθέμεν, ἀλλὰ χορόνδε
ἔρχεσθ' ἠὲ χοροῖο νέον λήγοντα καθίζειν."
ὣς 'φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. 395 cf. *B* 142
καί ῥ' ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρὴν 396 sq. cf. h. Ven. 182 sq.
στήθεά θ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
'θάμβησέν τ' ἄρ' ἔπειτα Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῄ με προτέρω πολίων ἐὺ ναιομενάων
ἄξεις ἢ Φρυγίης ἢ Μῃονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ Ϝοίκαδ' ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόϜεικε κελεύθου,
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀίζυε καί Ϝε φύλασσε,
εἰς ὅ κέ σ' ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην.
κεῖσε δ' ἐγὼν οὐκ εἶμι, νεμεσσητὸν δέ κεν εἴη,
κείνῳ πορσυνέουσα λέχος· Τρῳαὶ δέ μ' ὀπίσσω
πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ."

396—418 Ar. —

388 ἤσκεεν n° 191] ἤσκειν Ar. (cf. Didym. ad ρ 359) codd. ‖ 389 Ϝεισαμένη Bekker] ἑεισαμένη ‖ 391 κεῖνος ὅ γ'] κείμενος Nauck eleganter; vid. tamen *T* 344. Vertatur κεῖνος *illic* ‖ 392 Ϝείμασιν] Nauck ἀλείφατι (vel ἀλείμμασιν), quae fortasse recipienda erat coniectura, cf. γ 408 ω 45, 73; κάλλεϊ καὶ χάρισι στίλβων legitur ζ 237 ‖ 393 μαχεσσάμενον] μαχησάμενον A. — ἐλθέμεν Bekker] ἐλθεῖν ‖ 395 στήθεσσιν ὄρινε] *στήθεσσ' ὤρινε? ‖ 396—418] Ar. obelo notabat, et 395 θυμὸν ὄρινε interpretabatur *amoris stimulo incitabat* (παρώρμησε). Versum 396 sq. (quos tamen legit poeta h. Ven. 182) cum 386 pugnare censebat ‖ 402 καὶ κεῖθι Ar. A C] κἀκεῖθι alii D, cf. n° 9 ‖ 406 ἀπόειπε κελεύθου Ar.] ἀπόειπε κελεύθους codd., quae lectio unde tandem in textum irrepserit, cum neque apud Ar. neque in alia probatiore editione reperiatur ulla, mirari se dicit Didymus ‖ 409 δούλην] vocabulum novicium (pro δμῳήν) hic et δ 12, Aristarcho suspectum ‖ 411 κείνῳ Grashof] κείνου; cf. γ 403. — πορσυνέουσα C] πορσανέουσα A D. Recurrit hoc verbum γ 403 η 347; Ar. πορσαίνειν videtur scripsisse

III τὴν δὲ χολωσαμένη προσεφώνεε δῖ' Ἀφροδίτη·
„μή μ' ἔρεθε, σχετλίη, μὴ χωσαμένη σε μεθήω,
τῶς δέ σ' ἀπεχθήρω ὡς νῦν ἔκπαγλ' ἐφίλησα,
μέσσῳ δ' ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρὰ,
Τρώων καὶ Δαναῶν, σὺ δέ κεν κακὸν οἶτον ὄληαι."
ὣς ἔφατ', ἔδϜεισεν δ' Ἑλένη Διὸς ἐκγεγαυῖα,
'βῆ δὲ κατασχομένη Ϝεανῷ ἀργῆτι φαεινῷ,
σιγῇ, πάσας δὲ Τρῳὰς ἔλαθ'· ἦρχε δὲ δαίμων.
αἳ δ' ὅτ' Ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο,
ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ Ϝέργ' ἐτράποντο,
ἣ δ' εἰς ὑψόροφον θάλαμον 'κίε δῖα γυναικῶν.
τῇ δ' ἄρα δίφρον ἑλοῦσα φιλομμειδὴς Ἀφροδίτη
ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα·
ἔνθα καθῖζ' Ἑλένη, κούρη Διὸς αἰγιόχοιο,
ὄσσε πάλιν κλίνασα, πόσιν δ' ἠνίπαπε μύθῳ·
„ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι
ἀνδρὶ δαμεὶς κρατερῷ, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' ηὔχε' Ἄρηι φίλου Μενελάου
σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεσσαι Ἄρηι φίλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ' ἐγώ γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
ἀντίβιον πόλεμον πολεμιζέμεν' ἠδὲ μάχεσθαι
ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς."
τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέϜειπε·
„μή με, γύναι, χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνισσε.

---

**424—426 Zen. om. || 432—436 Ar. —**

---

414 *μεθήω* nº 122] *μεθείω* || 415 *ἔκπαγλ' ἐφίλησα*] *ἔκπαγλα φίλησα* Ar. || 416 *μέσσῳ*] vix sanum. Christ in *ΜΕΣΟΙ* latere suspicatur *μή σοι*. Ecquid **εἰ δέ σοι*? Doederlein *μέσσῳ* servat sed 417 spurium censet. — *ἔχθεα* A] *ἄχθεα* C D, utrumque Ar. || 420 **ἔλαθ'*] *λάθεν* || 422 **Ϝέργ' ἐτράποντο*] *ἔργα τράποντο* || 423] Zen. sic mutabat: *αὐτὴ δ' ἀντίον ἷζεν Ἀλεξάνδροιο ἄνακτος*, et tres sequentes omittebat, ne dea servili ministerio fungeretur; cui assentitur grammaticus in Bekk. Anecd. 737; at anus lanificae eam induisse personam vere contra monuit Ar. || 430 *πρίν γ'*] *πρὶν* C D. — *ηὔχε'*] notatu digna est ultima syllaba in libris h. l. elisa; cf. nº 117 || 434 *παύεσθαι* Ar. C] *παύσασθαι* A D || 435 *πολεμιζέμεν* Bekker] -*ζειν* || 436 *δαμήῃς* Ar., nº 122] *δαμάσθῃς* A, *δαμείης* C D || 438 **ἔνισσε* nº 243] *ἔνιπτε* A C, *μῦθον ἔνισπε* D; cf. Ω 768 ω 161. Saepe in libris confunduntur *ἐνίσσειν* *increpare* et *ἐνισπεῖν* *dicere*

III νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτις ἐγώ· παρὰ γὰρ θεοί εἰσι καὶ ἧμιν.
ἀλλ' ἄγε δὴ φιλότητι τραπήομεν εὐνηθέντε· 441 sq. cf. Ξ 314 sq.
οὐ γάρ πώ ποτέ μ' ὧδέ γ' ἔρος φρένας ἀμφεκάλυψε,
οὐδ' ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι,
νήσῳ δ' ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ." 446 = Ξ 328
ἦ ῥα, καὶ ἦρχε λέχοσδε κιών· ἅμα δ' εἵπετ' ἄκοιτις.

τὼ μὲν ἄρ' ἐν τρητοῖσι κατηύνασθεν λεχέεσσι,
Ἀτρεΐδης δ' ἀν' ὅμιλον ἐφοίταε θηρὶ ϝεϝοικώς,
εἴ ποθ' ἐσαθρήσειεν Ἀλέξανδρον θεοϝειδέα.
ἀλλ' οὔ τις 'δύνατο Τρώων κλειτῶν τ' ἐπικούρων
δεῖξαι Ἀλέξανδρον τότ' Ἄρηι φίλῳ Μενελάῳ.
οὐ μὲν γάρ φιλότητί ϝέ κεν 'κύθον, εἴ ϝ' ἐϝίδοντο·
ϝῖσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.
τοῖσι δὲ καὶ μετέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι· 456 = Η 348, 368 Θ 497
νίκη μὲν δὴ φαίνετ' Ἄρηι φίλου Μενελάου·
ὔμες δ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ 458ᵇ = Η 350
ἔκδοτε, καὶ τιμὴν ἀποτίνετε, ἥν τε ϝέϝοικε, 459ᵇ cf. 286
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται." 460 = 287
ὣς ἔφατ' Ἀτρεΐδης, ἐπὶ δ' ᾔνεον ἄλλοι Ἀχαιοί.

---

440 *ἧμιν] ἡμῖν ‖ 441 τραπήομεν nº 122] τραπείομεν ‖ 442 ἔρος Bentley] ἔρως. Eustath. ὧδε φρένας ἔρος ‖ 447 ἦρχε Barnes] ἄρχε ‖ 449 ἐφοίταε nº 191] ἐφοίτα ‖ 450 *ποθ' nº 322] που. — θεοϝειδέα] cf. nº 73. — Verbum ἐσαθρέω nonnisi h. l. occurrit; *εἴ ποθ' Ἀλέξανδρον θεοϝειδέα ἀθρήσειεν? ‖ 453 *ϝέ κεν 'κύθον, εἴ ϝ' ἐϝίδοντο] γ' ἐκεύθανον εἴ τις ἴδοιτο, in quibus inauditum est κευθάνειν et contra linguae leges formatum (κυνθάνειν vere poscit Naber), suspectum est ἴδοιτο pro ϝίδοιτο, et vitiosus est optativus, significat enim *quicunque eum videbat*, sed requiritur indicativus: *si quis vidisset*; nemo scilicet videbat. Praeterea male deest κε in priore sententiae parte, neque imperfectum sed aoristus ibi locum habet. Aoristus ἔκυθον extat γ 16; de optativo pro indicativo male invecto vid. *M* 465. Heyne coniecerat ἔκευθον ἄν; ultima autem verba εἴ ϝ' ἐϝίδοντο emendavit vHerwerden ‖ 456 *μοι] μευ ‖ 458 *ὔμες] ὑμεῖς ‖ 459 ἀποτίνετε LaRoche] ἀποτίνετον Zen. noto errore; ἀποτινέμεν Ar. codd. — τε Bentley] τιν', cf. vs. 286

# *ΙΛΙΑΔΟΣ Δ.*

*Ὁρκίων σύγχυσις* (vs. 1—222). — *Ἀγαμέμνονος ἐπιπώλησις* (vs. 223 sqq.).

---

IV οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγοράοντο 1ᵃ = *H* 443
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
νέκταρ ἐϝοινοχόει· τοὶ δὲ χρυσέοισι δέπασσι
'δεδϝέχατ' ἀλλήλους, Τρώων πόλιν εἰσοράοντες.
αὐτίκ' ἐπειράετο Κρονίδης ἐρεθιζέμεν Ἥρην
κερτομίοισι ϝέπεσσι, παραβλήδην ἀγορεύων·
„δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων,
Ἥρη τ' Ἀργεΐη καὶ Ἀλαλκομενηὶς Ἀθήνη. 8 = *E* 908
ἀλλ' ἦ τοι ταὶ νόσφι καθήμεναι εἰσοράουσαι
τέρπεσθον· τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει,
καὶ νῦν ϝ' ἐξεσάωσεν ὀιόμενον θανέεσθαι.
ἀλλ' ἦ τοι νίκη μὲν Ἄρηι φίλου Μενελάου·
'ἧμες δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ϝέργα, 14 = *Ξ* 61
ἤ ῥ' αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν 15 cf. 82
ὄρσομεν, ἦ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν.
εἰ δ' αὖ τῶς τόδε πᾶσι φίλον καὶ ϝηδὺ γένοιτο,

---

1 *ἠγοράοντο* nº 191] *-ρόωντο* ‖ 3 *ἐϝοινοχόει*] *ἐῳνοχόει*; l. a. *ἐνῳνοχόει* (Zen.?) ab Ar. reiecta. — *χρυσέοισι δέπασσι* Nauck] *χρυσέοις δεπάεσσι*; cf. nº 60 et 61 ‖ 4 *'δεδϝέχατ'* nº 139] *δειδέχατ'*. — *εἰσοράοντες* nº 191] *-ρόωντες* ‖ 5 *ἐπειράετο* nº 191] *-ρᾶτο* ‖ 6 *κερτομίοισι ϝέπεσσι* Nauck] *-οις ἐπέεσσι*, cf. nº 60 ‖ 8 *Ἀλαλκομενηὶς*] cf. *E* 908. Cum *ἀλαλκεῖν* cohaerere epitheton, bene perspexit Ar.; sed a poeta, cui hi loci debentur, pro nomine proprio habitum esse, e contextu patet ‖ 9 *εἰσοράουσαι* nº 191] *-ρόωσαι* ‖ 12 *ϝ' ‖ 14 **ἧμες*] *ἡμεῖς* ‖ 15 *φύλοπιν*] **φυλόπιδ'*? cf. nº 66 ‖ 17 **αὖ τῶς*] *αὖ πως* Ar., *αὔτως* Aristoph. codd. — Pro *γένοιτο* Ar. *πέλοιτο* secundum V, quam notitiam ex errore natam esse recte statuit Ludwich Ar. I 243

IV ἦ τοι μὲν Ϝοικέοιτο πόλις Πριάμοιο Ϝάνακτος,
αὖτις δ' Ἀργεΐην Ἑλένην Μενέλαος ἄγοιτο."
ὣς ἔφαθ', αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη· 20-25 = Θ 457 sqq.
πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσ' ἐμεδέσθην.
ἦ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι 'Ϝεῖπε,
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾗρει· 23b = ϑ 304
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϜειπες; 25 = Α 552
πῶς ἐθέλεις ἅλιον θέμεναι πόνον ἠδ' ἀτέλεστον,
Ϝιδρόα θ' ὃν 'Ϝίδρωσα μόγῳ, 'καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ τοῖό τε παισί.
Ϝέρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι." 29 = Π 443 Χ 181
τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς· 30 = Α 517
„δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅ τ' ἀσπερχὲς μενεαίνεις
Ϝιλίου ἐξαλαπάξαι ἐϋ κτίμενον πτολίεθρον; 33 = Θ 288
εἰ δὲ σύ γ' εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
Ϝέρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται.
ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 39 = Α 297
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι,
μή τι διατρίβειν τότ' ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι.
καὶ γὰρ ἐγὼ σοὶ ἔδωκα Ϝεκὼν ἀϜέκοντί γε θυμῷ.
αἳ γὰρ ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρ' ἐτιέσκετο Ϝίλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο. 47 = 165 Ζ 449 Θ 552

18 *μὲν*] Vind. (rectius?) *κεν*. — *Ϝοικέοιτο*] nº 8. Passivo genere hoc verbum nonnisi h. l. et *Β* 668 (*ἐϜοίκηθεν*) usurpatur; ibi de ***hominibus***; **ναίοιτο?* ‖ 21 **Τρώεσσ' ἐμεδέσθην*] *Τρώεσσι μεδέσθην* ‖ 22 *ἦν*] LMeyer *ἔεν* ‖ 26 *θέμεναι* vHerwerden, cf. nº 125] *θεῖναι* ‖ 27 *Ϝιδρόα* nº 77] *ἱδρῶ*. H. l. dedimus *Ϝιδρόα* propter verbum *Ϝιδρώειν* statim subiunctum, licet *ἱδρώς* aliis locis bene multis digamma amiserit ‖ 33 *Ϝιλίου*] *Ϝίλιον* Bekker propter *Β* 133 ‖ 35 *βεβρώθοις*] forma satis mirifica; cf. nº 307 ‖ 42 **τότ'*] *τὸν* ‖ 43 *ἔδωκα* Barnes] *δῶκα* ‖ 46 **κῆρ' ἐτιέσκετο*] *κῆρι τιέσκετο* ‖ 47 **ἐυμμελίης*] *ἐυμμελίω*, cf. nº 55. Recurrit vitium locis parallelis

IV οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐϝίσης, 48 sq. = Ω 69 sq.
λοιβῆς τε κνίσης τε· τὸ γὰρ ’λάχομεν γέρας ἧμες.”
τὸν δ’ ἠμείβετ’ ἔπειτα βοῶπις πότνια Ἥρη· 50 = Α 551
„ἦ τοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰς διάπερθ’ ὅτε κέν τοι ἀπέχθωνται περὶ κῆρι·
τάων οὔ τοι ἐγὼ πρόσθ’ ἵσταμαι οὐδὲ μεγαίρω.
[εἴ περ γὰρ φθονέω τε καὶ οὐκ ἐάω διαπέρσαι,
οὐκ ἀνύω φθονέουσ’, ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι.]
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον·
καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί,
καί με πρεσβυτάτην ’τέκετο Κρόνος ἀγκυλόμητις.
[ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις 60 sq. = Σ 365 sq.
κέκλημαι, σὺ δὲ πᾶσι μετ’ ἀθανάτοισι ϝανάσσεις.]
ἀλλ’ ἦ τοι μὲν ταῦθ’ ὑποϝείξομεν ἀλλήλοισι,
σοὶ μὲν ἐγώ, σὺ δ’ ἐμοί· ἐπὶ δ’ ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι. σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθέμεν’ ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ’ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς 66 sq. = 71 sq.
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.”
ὣς ἔφατ’, οὐδ’ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε. 68 = Π 458
αὐτίκ’ Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα· 69 = Ε 713 Φ 419 cf. Θ 351 Τ 341
„αἶψα μάλ’ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
πειρᾶν δ’ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς 71 sq. = 66 sq.
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.” [ω 487 sq.
ὣς ϝειπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην, 73 sq. = Χ 186 sq. 73 = Τ 349
’βῆ δὲ κατ’ Οὐλύμποιο καρήνων ἀΐξασα. 74 = Β 167
οἷον δ’ ἀστέρ’ ἧκε Κρόνου πάις ἀγκυλόμητις, 75-79 cf. h. Ap. 441 sqq.

55 sq. Ar. —

49 *ἧμες] ἡμεῖς ‖ 53 *διάπερθ’ ὅτε κεν] διαπέρσαι ὅτ’ ἄν ‖ 55 *ἐάω nº 191] εἰῶ. Merito Ar. hunc versum et sequentem obelo notavit ὅτι τὴν χάριν ἀναλύουσιν ‖ 59 πρεσβυτάτην] propter contextum significare debet ***omnium maxime honoratam***; sed vide Δ 787. Cum autem Hesiodus Theog. 454 Iunonem ante Iovem Neptunumque natam narret (quem locum Ar. ex nostro versu male intellecto detortum esse parum probabiliter contendit), suspicamur hic quoque πρεσβυτάτην significare ***natu maximam***, et spurios igitur esse 60 sq., ex libro Σ huc invectos. — ’τέκετο] *ἔτεκε? — ἀγκυλόμητις Nauck] ἀγκυλομήτης ‖ 65 ἐλθέμεν Nauck] ἐλθεῖν. — φύλοπιν] *φυλόπιδ’? cf. nº 66 ‖ 67 et 72 ἄρξωσι] nº 122 ‖ 71 πειρᾶν] *πείραε? ‖ 75 ἀστέρ’ ἧκε Barnes] ἀστέρα ἧκε. — ἀγκυλόμητις Nauck] -τεω, cf. nº 55

IV ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν,
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται·
τῷ ϝεϝικυῖ' ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη,
κὰδ δ' ἔθορ' ἐς μέσσον· θάμβος δ' ἔχεν εἰσοράοντας $79^{b}$ sq. = Γ 342 sq.
Τρῶάς θ' ἱπποδάμους καὶ ἐυκνήμιδας Ἀχαιούς.
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν ἐς πλησίον ἄλλον· 81 = Β 271
„ἦ ῥ' αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ 82 sq. cf. ω 475 sq. 82 cf. 15
ἔσσεται, ἢ φιλότητα μετ' ἀμφοτέροισι τίθησι
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται." 84 = Τ 224
ὣς ἄρα τις 'ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε.
ἣ δ' ἀνδρὶ ϝικέλη Τρώων κατεδύσεθ' ὅμιλον,
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη, εἴ ποθ' ἐφεύροι. 88 cf. Ε 168
ηὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε 89 = Ε 169
ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων $89^{b}$ = Σ 55 Φ 546 90 sq.$^{a}$ = 201 sq.
λαῶν, οἵ ϝοι ἕποντο ἀπ' Αἰσήποιο ῥοάων.
ἄγχι δέ ϝ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 92 = Ε 123 Σ 169 etc. cf. Δ 203
„ἦ ῥά κέ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον;
τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆι.
τοῦ κεν δὴ πάμπρωτα πάρ' ἀγλαὰ δῶρα φέροιο,
αἴ κε ϝίδῃ Μενέλαον ἀρήιον Ἀτρέος υἱὸν
σῷ βέλεϊ δμηθέντα πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
ἀλλ' ἄγ' ὀίστευσον Μενελάου κυδαλίμοιο,
εὔχεο δ' Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ $101^{b}$-103 = 119 sqq.
ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην 102 = Ψ 864, 873
ϝοίκαδε νοστήσας ἱερῆς ἐς ϝάστυ Ζελείης."
ὣς 'φάτ' Ἀθηναίη, τῷ δὲ φρένας ἄφρον' ἔπειθε.
αὐτίκ' ἐσύλαε τόξον ἐύξοον ἰξάλου αἰγὸς
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας

---

89 Zen. om. —

---

79 ἔχεν] *εἶχ'? — εἰσοράοντας nº 191] -όωντας ‖ 88 εἴ ποθ' ἐφεύροι] εὗρε δὲ τόνδε Zen. — *ποθ' nº 322] που ‖ 91 ϝοι ἕποντο] *ϝ' εἵποντο? ‖ 92 *ἄγχι δέ ϝ' nº 318] ἀγχοῦ δ' ‖ 93 κέ] νύ. Natum est ῥά νύ μοι ex ῥ' ἄν μοι, quod pro ῥά κέ μοι irrepsit vitio pervulgato; item Η 48 Ξ 190 ‖ 94 ἐπιπροέμεν] ἔπι προέμεν Ar. ‖ 103 ἐς] εἰς ‖ 104 *ἄφρον' ἔπειθε] ἄφρονι πεῖθε ‖ 105 ἐσύλαε nº 191] ἐσύλα

IV πέτρης ἐκβαίνοντα, δεδεγμένος ἐν προδοκῇσι,
'βεβλήκει πρὸς στῆθος· ὃ δ' ὕπτιος ἔμπεσε πέτρῃ.
τοῦ κέρα' ἐκ κεφαλῆς ἑκκαιδεκάδωρ' ἐπεφύκει·
καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων,
πᾶν δ' ἐὺ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος, ποτὶ γαῖαν
κλίνας· πρόσθεν δὲ σάκε' ἔσχεθον ἐσθλοὶ ἑταῖροι,
μὴ πρὶν ἀναΐξειαν ἀρήιοι υἷες Ἀχαιῶν,
πρὶν βλῆσθαι Μενέλαον ἀρήιον Ἀτρέος υἱόν.
αὐτὰρ ὃ 'σύλαε πῶμα φαρέτρης, ἐκ δ' ἕλετ' ἰὸν
ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ' ὀδυνάων·
αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμεε πικρὸν ὀιστὸν,
ηὔχετο δ' Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ 119ᵇ-121 = 101 sqq.
Ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
Ϝοίκαδε νοστήσας ἱερῆς ἐς Ϝάστυ Ζελείης.
εἷλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε,
'λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀιστὸς
ὀξυβελής, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων.
  οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες 'λελάθοντο
ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
ἥ τοι πρόσθε στᾶσα βέλος ἐχεπευκὲς ἄμυνε.
ἡ δὲ τόσον μὲν ἔϜεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
παιδὸς ἐϜέργῃ μυῖαν, ὃ Ϝηδέι λέξεται ὕπνῳ·

123 νευρὴν μὲν μαζῷ 'πέλασεν, τόξῳ δὲ σίδηρον.
117 Ar. —

109 *-δωρ' ἐπεφύκει] -δωρα πεφύκει Ar. codd. ‖ 111 χρυσέην] nº 61 ‖ 112 sq. *ποτὶ γαῖαν | κλίνας· πρόσθεν δὲ σάκε' ἔσχεθον] ποτὶ γαίῃ | ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον. Vulgatam corruptam esse ostendit trisyllabum vocabulum σάκεα iambi loco numeratum; neque dicitur ἀγκλίνειν sive κλίνειν ποτί τινι, sed aut solus dativus additur (e. g. φ 137) aut ποτί (πρός) cum *accusativo*; cf. σ 102 Θ 435 χ 120 Ψ 171, 510 etc. Migraverant igitur versus 110 ultimae literae *AN* in sequentis initium. (Metrum simillimum est e. g. vs. 129) ‖ 116 'σύλαε nº 191] σύλα ‖ 117 μελαινέων] forma recentior, cf. nº 56; praeterea ἕρμα est vocabulum obscurum et Aristarcho merito suspectum. Metro invito μελαινάων exhibent C D Apoll. lex. (cf. vs. 191) ‖ 118 κατεκόσμεε] κατεκόσμει meliores; cf. nº 191 ‖ 121 ἐς] εἰς ‖ 122 *εἷλκε] ἕλκε ‖ 123] post 124 scribebat Zen. Incertae sedis versum merito damnarunt Naber Beloch Helbig; ferreis telis non utuntur heroes; vid. vs. 139 ‖ 125 μέγ' ἴαχεν] vix sanum. Aut *νευρὴ μέγ' ἐϜίϜαχεν aut *δὲ μέγ' ἐϜϜίϜαχ' scribendum videtur. Nauck δὲ ἰίαχεν ‖ 126 ἐπιπτέσθαι] nº 216 ‖ 129 τοι Ar. codd.] οἱ alii; vid. Ludwich Arist. I 244 ‖ 131 ἐέργῃ A] ἐέργει CD. — ὃ Bentley] ὅθ'

IV αὐτὴ δ' αὖτ' ἴθυνεν ὅθι ζωστῆρος ὀχῆες 132ᵇ sq. = Γ 414 sq.
χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ.
ἐν δ' ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός·
διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο 136 = Γ 358
μίτρης θ', ἣν ἐφόρει ϝέρυμα χροός, ἕρκος ἀκόντων,
ἥ ϝοι πλεῖστον ἔρυτο· διὰ πρὸ δὲ 'ϝίσατο καὶ τῆς. 138 cf. Ε 538
ἀκρότατον δ' ἄρα χαλκὸς ἐπέγραψε χρόα φωτός·
αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.
ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶς ἠὲ Κάειρα, παρήιον ἔμμεναι ἵππων·
κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο
ἱππῆες φορέειν· βασιλῆι δὲ κεῖται ἄγαλμα,
ἀμφότερον κόσμος θ' ἵππῳ ἐλατῆρί τε κῦδος·
τοῖοί τοι, Μενέλα', ἐμιάνθην αἵματι μηροὶ
εὐφυέες κνῆμαί τε ἰδὲ σφυρὰ κάλ' ὑπένερθε.
'ρίγησεν δ' ἄρ' ἔπειτα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 148 = Λ 254
ὡς ἔϝιδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·
'ρίγησεν δὲ καὶ αὐτὸς Ἄρηι φίλος Μενέλαος.
ὡς δ' ἔϝιδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας,
ἄψορρόν ϝοι θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων Ἀγαμέμνων,
χειρὸς ἑλὼν Μενέλαον — ἐπεστενάχοντο δ' ἑταῖροι —
„φίλε κασίγνητος, θάνατόν νύ τοι ὅρκι' ἔταμνον,
οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι·

140 Ar. — ‖ 149 Ar. —

135 διά] cf. nº 22 ‖ 137 ἔρυμα Ar. codd.] ἔλυμα Zen. Aristoph. ‖ 138 *'ϝίσατο nº 201] εἴσατο. Metro invito ἐείσατο Heyne, ἐήσατο Wackernagel ‖ 139 ἄρα χαλκὸς Zen.] ἄρ' ὀιστός. Zenodoti lectionem mutatam esse post insertum versum 123, probabiliter statuit Naber ‖ 140 ὠτειλῆς] non est mutandum in δατειλῆς, quod Nauck aliquando suspicatus est; cf. τ 456 et Ludwich Arist. II 248 ‖ 141 μιήνῃ] nº 122 ‖ 142 ἵππων] ἵππῳ Aristoph. Ar. in altera ed. ‖ 146 ἐμιάνθην] pro ἐμίανθεν forma apud Homerum inaudita, licet similibus formis διελέγην, ἐστεφανώθην, ἀπελύθην, quae in monumentis doricis repertae sunt, defendi possit (cf. Cauer Delect.[2] 123 124 128 164). In versus fine olim lectum fuisse ἐμίανθεν veri simile videtur, sic fere: *τοῖοί τοι, Μενέλαε, βρότῳ μηροί τ' ἐμίανθεν etc.; conf. Ψ 600 ‖ 148 δ' Ar.] l. a. τ' ‖ 149 ὠτειλῆς] vid. ad vs. 140 ‖ 152 -σσιν ἀγέρθη] *-σσ' ἠγέρθη? ‖ 153 τοῖς] nº 60; *τοῖσιν δὲ στ.? — Ferri nequit deteriorum librorum lectio τὸν . . . προσέφη, nisi 154 semoveatur ‖ 154 ἑλὼν Nauck] ἔχων ‖ 155 φίλε] cf. nº 22. — *κασίγνητος] κασίγνητε. Cf. Β 8

IV *ὥς σ' ἔβαλον Τρῶες, κατὰ δ' ὅρκια πίστ' ἐπάτησαν.*
*οὐ μέν πως ἅλιον πέλεθ' ὅρκιον αἷμά τε ϝαρνῶν*
*σπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ᾗς' ἐπέπιθμεν.* 159 = *B* 341
*εἴ περ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσε,*
*ὀψὲ καὶ ἐκτελέει σύν τε μεγάλῳ ἀπέτισαν,*
*σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσι.*
*εὖ γὰρ ἐγὼ τόδε ϝοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν,* 163-165 = *Z* 447 sqq.
*ἦμαρ ἔσεσθ' ὅτε κέν ποτ' ὀλώλῃ Ϝίλιος ἱρὴ* 163 = *ο* 211
*καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο,* 165 = 47
*Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,*
*αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι*
*τῆσδ' ἀπάτης κοτέων. τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.*
*ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,*
*αἴ κε θάνῃς καὶ πότμον ἀναπλήσῃς βιότοιο.*
*καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην·*
*αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης,*
*κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν* 173 cf. *B* 160
*Ἀργεΐην Ἑλένην· σέο δ' ὀστέα πύσει ἄρουρα*
*κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ϝέργῳ.*
*καί κέ τις ὥς ϝείπῃ Τρώων ὑπερηνορεόντων*
*τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·*
*αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσει' Ἀγαμέμνων,*
*ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδ' Ἀχαιῶν,*
*καὶ δὴ ἔβη ϝοῖκόνδε φίλην ἐς πατρίδα γαῖαν*
*σὺν κενεῇσι νέεσσι, λιπὼν ἀγαθὸν Μενέλαον. —*
*ὥς ποτέ τις ϝερέει· τότε μοι χάνοι εὐρεῖα χθών."* 182b = *Θ* 150
*τὸν δ' ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·*

---

157 **πίστ' ἐπάτησαν*] *πιστὰ πάτησαν* ‖ 158 **πέλεθ'* nº 275] *πέλει* ‖ 161 **ὀψὲ καὶ ἐκτελέει*] *ἔκ τε καὶ ὀψὲ τελεῖ* codd.; Zen. *τελέσει*. Duentzer *ὀψὲ δὲ καὶ τελέσει*, Nauck *ὀψὲ καὶ ἐκτελέσει*. Nos *-έει* scripsimus, quam *praesentis* formam censemus, cf. *P* 177. — *ἀπέτισαν*] *τίσουσι* Zen. male; aoristi *gnomici* sunt *ἐτέλεσσε* et *ἀπέτισαν* ‖ 164 **ἦμαρ ἔσεσθ' ὅτε κεν*] *ἔσσεται ἦμαρ ὅτ' ἄν*, in quibus metrum claudicat neque Homericum est *ὅτ' ἄν*. Ingeniose Fick *ἔσται μὰν ὅτε κεν*, conferens *Θ* 373; sed *μὰν* illo quidem loco optime habet, hic vero aptum sensum non praebet ‖ 165 **ἐυμμελίης*] *-λίω*. Cf. vs. 47 ‖ 170 *πότμον* Ar.] *μοῖραν*. — *ἀναπλήσῃς*] nº 122 ‖ 171 *ἐλέγχιστος*] *ἐλέγχιστον* Ar. in altera ed. ‖ 176 **ὥς ϝείπῃ*] *ὧδ' ἐρέει*. Vitii indicia *κε* futuro additum et ϝ neglectum. Quod lenissimum videbatur remedium adhibuimus, quamquam alia quoque possunt conici, e. g. *καί ποτέ τις ϝείπῃ*, cf. *Z* 459 *H* 87 ‖ 181 *κενεῇσι νέεσσι* Nauck] *κεινῇσιν νηυσί*, cf. nº 38

IV „θάρσεε, μηδέ τί πω δεδϝίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίῳ ὀξὺ ’πάγη βέλος, ἀλλὰ πάροιθε
ἐρρύατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθε — 186 sq. cf. 215 sq.
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες ’κάμον ἄνδρες."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„αἲ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε·
ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται ἠδ' ἐπιθήσει
φάρμαχ', ἅ κεν παύσῃ σε μελαινάων ὀδυνάων."
ἦ, καὶ Ταλθύβιον, θεῖον κήρυκα, προσηύδα·
„Ταλθύβι', ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
φῶτ' Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος, — 194ᵇ = Λ 518
ὄφρα ϝίδῃ Μενέλαον ἀρήιον ἀρχὸν Ἀχαιῶν, — 195 cf. 205
ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων ἐὺ ϝειδώς, — 196 sq. = 206 sq.
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἧμι δὲ πένθος."
ὣς ἔφατ', οὐδ' ἄρα ϝοι κῆρυξ ἀπίθησεν ἀκούσας, — 198 = Μ 351
’βῆ δ' ἴμεναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων,
παπταίνων ἥρωα Μαχάονα. τὸν δ' ἐνόησε
ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων — 201 sq.ᵃ = 90 sq.
λαῶν, οἵ ϝοι ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.
ἄγχι δέ ϝ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· — 203 = Ν 462 Ξ 356 etc. cf. Δ 92
„ὄρσ', Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
ὄφρα ϝίδῃς Μενέλαον ἀρήιον ἀρχὸν Ἀχαιῶν, — 205 cf. 195
ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων ἐὺ ϝειδώς, — 206 sq. = 196 sq.
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἧμι δὲ πένθος."
ὣς ’φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε· — 208 cf. Β 142
’βὰν δ' ἴμεναι καθ' ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι ξανθὸς Μενέλαος

195—197 Ar. —

184 *θάρσεε* nº 191] *θάρσει.* — *πω* Ar. codd.] l. a. *πού.* — *δεδϝίσσεο* nº 139] *δειδίσσεο* ‖ 186 **ἐρρύατο*] *εἰρύσατο* A C, *ἐρύσατο* D. Quam dedimus formam, ea est 3. plur. aoristi a verbo *ῥύεσθαι*, cuius 3. sing. *ἔρῡτο* legitur vs. 138. Conf. nº 164, et de correpta syllaba -*ρυ*- nº 17. Vulgata ***attrahendi*** potius habet significationem quam ***arcendi*** ‖ 191 *παύσῃ σε* Vind.] *παύσῃσι.* De *παύσῃ* cf. nº 122 ‖ 195 *ἀρχὸν Ἀχαιῶν* C] *Ἀτρέος υἱόν.* Quod dedimus in Agamemnonis ore aptius est; neque vs. 195 ab 205 differre debet ‖ 197 **ἧμι*] *ἄμμι* ‖ 199 *ἴμεναι* nº 125] *ἰέναι* ‖ 202 *ϝοι ἕποντο*] **ϝ' εἵποντο?* ‖ 203 **ἄγχι δέ ϝ'* nº 318] *ἀγχοῦ δ'* ‖ 205 *ἴδῃς* deter.] *ἴδῃ* Ar. codd. pro *ἴδηαι*, male, vid. nº 117. Cf. *Δ* 202. — *ἀρχὸν Ἀχαιῶν* A C] *Ἀτρέος υἱόν* D; cf. vs. 195 ‖ 207 **ἧμι*] *ἄμμι* ‖ 208 *στήθεσσιν ὄρινε*] **στήθεσσ' ὤρινε?* ‖ 209 *ἴμεναι* nº 125] *ἰέναι*

IV βλήμενος ἦν, περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
κυκλόσ', ὃ δ' ἐν μέσσοισι παρίστατο Ϝισόθεος φώς,
αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος εἷλκεν ὀιστόν·
[τοῦ δ' ἐξελκομένοιο πάλιν 'Ϝάγεν ὀξέες ὄγκοι.]
'λῦσε δέ Ϝοι ζωστῆρα παναίολον ἠδ' ὑπένερθε 215 sq. cf. 186 sq.
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες 'κάμον ἄνδρες.
αὐτὰρ ἐπεὶ 'Ϝίδεν ἕλκος, ὅθ' ἔμπεσε πικρὸς ὀιστός,
αἷμ' ἐκμυζήσας ἐπ' ἄρ' ἤπια φάρμακα Ϝειδὼς
'πάσσε, τά Ϝοί ποτε πατρὶ φίλα φρονέων 'πόρε Χείρων.
ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων· 221 = Δ 412
οἳ δ' αὖτις κατὰ τεύχε' ἔδυν, 'μνήσαντο δὲ χάρμης.

---

ἔνθ' οὔ κε βρίζοντα Ϝίδοις Ἀγαμέμνονα δῖον,
οὐδὲ καταπτώσσοντ', οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι,
ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα ποικίλα χαλκῷ,
καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιάοντας
Εὐρυμέδων, υἱὸς Πτολεμαίου Πειραΐδαο·
τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν', ὁππότε κέν μιν
γυῖα λάβῃ κάματος πολέας διὰ κοιρανέοντα·
αὐτὰρ ὃ πεζὸς ἐὼν ἐπεπωλέετο στίχας ἀνδρῶν. 231ᵇ = 250 Δ 264. 540 cf. Γ 196
καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων,
τοὺς μάλ' ἐθαρσύνεσκε παριστάμενος Ϝεπέεσσι·
„Ἀργέιοι, μή πώ τι μεθίετε θούριδος ἀλκῆς. 234ᵇ = Μ 409 Ν 116
οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός,
ἀλλ' οἵ περ πρότεροι ὑπὲρ ὅρκια 'δηλήσαντο,
τῶν ἦ τοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται,

---

212 κυκλόσ'] κύκλος Ar., item Ρ 392 ‖ 213 εἷλκεν] ἕλκεν Ar. ‖ 214] uncinis inclusimus versum per se non vitiosum sed cum vs. 151 pugnantem ‖ 219 Ϝοι] Ϝῷ Nauck ‖ 223 *οὔ κε] οὐκ ἂν ‖ 227 φυσιάοντας nº 191] -όωντας ‖ 229 παρισχέμεν'] παρασχέμεν CD ‖ 231 ἐπεπωλέετο nº 191] -λεῖτο ‖ 232 et 240 ἴδοι] sine Ϝ. Bentley ὅρα, Heyne ὅρῃ, Wakefield longe probabilius ὃν μὲν σπεύδοντα Ϝίδοι et ὅν τινα δ' αὖ μεθιέντα Ϝίδοι, cf. Μ 268 Ν 229 ‖ 233 *μάλ' ἐθαρσύνεσκε] μάλα θαρσύνεσκε ‖ 235 ψεύδεσσι Hermappias] ψευδέσσι Ar. codd., quo adiectivo Homerus alibi non utitur; quamquam φιλοψευδής legitur Μ 164 et Ἀψευδής Σ 46

IV ἥμες δ' αὖτ' ἀλόχους τε φίλας καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεσσιν, ἐπεὶ πτολίεθρον ἕλωμεν."
οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο, 240 cf. Z 330
τοὺς μάλ' ἐνεικείεσκε χολωτοῖσιν Ϝεπέεσσι·
„Ἀργέιοι ἰόμωροι, ἐλέγχεα, οὔ νυ σέβεσθε;
τίφθ' οὕτως ἔστητε τεθηπότες ἠύτε νεβροί, 243ᵃ cf. h. Ap. 456
αἵ τ' ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι, 243ᵇ cf. Φ 29
ἑστᾶσ' οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή·
ὣς ὕμες ἔστητε τεθηπότες, οὐδὲ μάχεσθε.
ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν', ἔνθα τε νῆες
ϜεϜρύατ' εὔπρυμνοι, πολιῆς ἐπὶ θινὶ θαλάσσης,
ὄφρα Ϝίδητ' αἴ χ' ὕμιν ὑπέρσχῃ χεῖρα Κρονίων;"
ὣς ὅ γε κοιρανέων ἐπεπωλέετο στίχας ἀνδρῶν· 250ᵇ = 231
ἦλθε δ' ἔπι Κρήτεσσι κιὼν ἀνὰ Ϝουλαμὸν ἀνδρῶν. 251 cf. 273
οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοισ', ὑὶ Ϝείκελος ἀλκήν,
Μηριόνης δ' ἄρα Ϝοι πυμάτας ὤτρυνε φάλαγγας.
τοὺς δὲ Ϝιδὼν γήθησε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 255 = Θ 278
αὐτίκα δ' Ἰδομενῆα προσηύδα μειλιχίοισι·
„Ἰδομενεῦ, περὶ μέν σε τίω Δαναῶν ταχυπώλων 257 cf. Θ 161
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ' ἀλλοίῳ ἐπὶ Ϝέργῳ
ἠδ' ἐν δαίθ', ὅτε πέρ τε γερούσιον αἴθοπα Ϝοῖνον
Ἀργεΐων οἱ ἄριστοι ἐνὶ κρητῆρι κερῶνται.
εἴ περ γάρ τ' ἄλλοι γε κάρη κομάοντες Ἀχαιοὶ
δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἕστηχ', ὥς περ ἐμοί, πιέμεν ὅτε θυμὸς ἀνώγῃ.
ἀλλ' ὄρσο πτόλεμόνδε, οἷος πάρος εὔχεαι εἶναι."

---

238 *ἥμες] ἡμεῖς. — Post ἡμεῖς (ἥμες) Ar. non recte omittebat δ', quod necessarium est ad producendam pronominis syllabam posteriorem ‖ 239 *ἐπεὶ] ἐπήν. Exempla subiunctivi voculae ἐπεὶ iuncti habes Π 453 μ 55 χ 440 etc. ‖ 241 μάλ' ἐνεικείεσκε] μάλα νεικείεσκε ‖ 242 ἐλέγχεα Ahrens] ἐλεγχέες. Cf. Ε 787 Ω 239 ‖ 243 ἔστητε C D] ἕστητε. Item vs. 246 ἔστητε D. Aoristum, quamquam satis mire adhibitum, tuetur simillimus versus Υ 179. Cf. nº 196 ‖ 245 τις Ar. codd.] l. a. τι ‖ 246 *ὕμες] ὑμεῖς ‖ 248 *ϜεϜρύατ' nº 293] εἰρύατ' ‖ 249 *χ' ὕμιν] κ' ὔμμιν, χ' ὔμμιν, χ' ὑμῖν ‖ 250 ἐπεπωλέετο nº 191] -λεῖτο ‖ 253 -χοισ', ὑὶ Nauck, cf. nº 60] -χοις, συὶ ‖ 256 προσηύδα] -δαε? nº 191 ‖ 260 κρητῆρι Ar.] κρητῆρσι codd. ‖ 261 κομάοντες nº 191] -όωντες ‖ 262 σὸν] Bentley σοὶ ‖ 263 πιέμεν Ven. cf. nº 126] -έειν. — ἀνώγῃ Bekker] ἀνώγοι, l. a. ἀνώγει ‖ 264 ὄρσο πτόλεμόνδε] ὄρσευ πόλεμόνδ'. Nauck correxit ὄρσο πτόλεμόνδ', cf. nº 117. Praeterea -μόνδε scripsimus, ut vocis οἷος prior syllaba corripiatur, cf. nº 17

IV τὸν δ' αὖτ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα· 265 = N 221, 259 etc.
„Ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα·
ἀλλ' ἄλλους ὄτρυνε κάρη κομάοντας Ἀχαιούς,
ὄφρα τάχιστα μαχώμεθ', ἐπεὶ σύν γ' ὅρκι' ἔχευαν
Τρῶες· τοῖσιν δ' αὖ θάνατος καὶ κήδε' ὀπίσσω
ἔσσετ', ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια 'δηλήσαντο."
ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ. 272 = 326
ἦλθε δ' ἐπ' Αἰάντεσσι κιὼν ἀνὰ Ϝουλαμὸν ἀνδρῶν· 273 cf. 251
τὼ δ' ἐκορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν.
ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς ἔϜιδεν νέφος αἰπόλος ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο Ϝιωῆς·
τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠΰτε πίσσα
φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
'ρίγησεν δὲ Ϝιδὼν ὑπό τε σπέος ἤλασε μῆλα·
τοῖαι ἅμ' Αἰάντεσσι διοτρεφέων αἰζηῶν
δήιον ἐς πόλεμον πυκιναὶ 'κίνυντο φάλαγγες
κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι. 282ᵇ = H 62
καὶ τοὺς μὲν 'γήθησε Ϝιδὼν κρείων Ἀγαμέμνων, 283 sq. cf. 311 sq.
καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων, 285 = M 354
σφῶι μὲν οὔτε ϜέϜοικ' ὀτρυνέμεν' οὔτε κελεύω,
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετε Ϝῖφι μάχεσθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 288 = B 371
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·
τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο Ϝάνακτος, 290 sq. = B 373 sq.
χερσὶν ὑφ' ἡμετέρῃσι Ϝαλοῦσά τε περθομένη τε."
ὣς Ϝειπὼν τοὺς μὲν 'λίπεν αὐτόθι,' βῆ δὲ μετ' ἄλλους· 292 = 364
ἔνθ' ὅ γε Νέστορ' ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν, 292ᵃ = ρ 254 cf. Σ 468

---

268 *κομάοντας* nº 191] *-όωντας* ‖ 277 *ἐόντι* Ar. codd.] *ἰόντι* Zen. — *ἠΰτε*] *ἠέ τε* Bekker propter comparativum praecedentem; qui tamen fortasse explicandus eadem ratione qua *ἀγρότερος* et similia, cf. nº 88 ‖ 279 **δὲ*] *τε* ‖ 282 *κυάνεαι*] *ἡρώων* Zen. — *πεφρικυῖαι*] *βεβριθυῖαι* Ar. in altera ed.; cf. *H* 62 ‖ 284 **σφας*] *σφεας* ‖ 286 **οὔτε . . . οὔτε* cf. vs. 359] *οὐ γὰρ . . . οὔ τι*. Nauck *οὔ τι . . . οὐδὲ*. Vulgatam, in qua neglectum Ϝ vitii est indicium, peperit falsa opinio, *σφῶι dativum* esse et cum *κελεύω* igitur esse iungendum ‖ 287 *ἀνώγετε* Bentley] *ἀνώγετον* ‖ 289] duriore metro compositum est versus initium; *ἅπασιν* Nauck ‖ 292 *αὐτόθι* nº 322] *αὐτοῦ*

IV Ϝοὺς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι,
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάστορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε, ποιμένα λαῶν.
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφι,
πεζοὺς δ' ἐξόπιθε 'στῆσεν πολέας τε καὶ ἐσθλούς,
ἕρκος ἔμεν πολέμοιο· κακοὺς δ' ἐς μέσσον ἔλασσε,
ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦσιν μὲν πρῶτ' ἐπετέλλετο· τοὺς γὰρ ἄνωγε
σφοὺς ἵππους ἐχέμεν, μὴ δὲ κλονέεσθαι ὁμίλῳ·
„μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς
οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
μηδ' ἀναχωρεέτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
ὃς δέ κ' ἀνὴρ ἀπὸ Ϝῶν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
ἔγχε' ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτως.
ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἔπερθον,
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες."
ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων ἐῢ Ϝειδώς.
καὶ τὸν μὲν 'γήθησε Ϝιδὼν κρείων Ἀγαμέμνων, 311 sq. cf. 283 sq.
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.
ἀλλά σε γῆρας τείρει ὁμοίιον· ὥς Ϝ' ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι."
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„Ἀτρεΐδη, μάλα κέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
ὣς ἔμεν' ὡς ὅτε δῖον 'Ερευθαλίωνα κατέκταν·

320 ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ 'δόσαν ἀνθρώποισι. 320 Ar. —

296[b]] *Θόωνά τε Δηίπυρόν τε* Apoll. lex., cf. *N* 92 ‖ 299 *ἔμεν*] n° 126. — *ἔλασσε* Ar. codd.] l. a. *ἔεργε* ‖ 301 **ἄνωγε*] *ἀνώγει*, cf. n° 225 ‖ 302 *ἐχέμεν*] **σχέμεναι*? Cf. *E* 510 *H* 74 *I* 219 etc. ‖ 305 *ἀναχωρεέτω* n° 191] *-είτω* ‖ 306 *ἕτερ' ἅρμαθ'*] i. e. *currum hostilem*. Mire torsit hic versus veteres interpretes, vid. Eustath. et Plut. de aud. poet. 8. Scilicet apud Homerum de curru certare non solent heroes, sed desiliunt in terram antequam cum hoste congrediantur ‖ 307 **ἔγχε'* n° 71] *ἔγχει*. — *οὕτως* Wolf] *οὕτω* ‖ 308 *πόλιας*] *πόλεας* Ar. A. — **ἔπερθον*] *ἐπόρθεον*, *ἐπόρθουν*. Cf. n° 191 ‖ 315 **Ϝ'*] de *Ϝε=αὐτό* cf. *Δ* 437 *φ* 41 etc. Sic etiam *μιν=αὐτό* extat *Δ* 143 *Z* 221 *Y* 287 etc. ‖ 317 *γερήνιος*] vid. *B* 336 ‖ 318 **κέν τοι*] *μέν τοι*, l. a. *μέν κεν*, *μέν γε* ‖ 319 *κατέκταν* Ar.] l. a. *κατέκτα*, *κατέκτον* ‖ 320 sq.] risum movent coniunctim lecti. Alteruter omnino est delendus; recte autem priorem Ar. in suspicionem vocasse videtur collato *N* 729. Sed illo deleto in vs. 321 pro *εἰ* scribendum erat **ἦ*

IV ἦ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῇ καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων. 323ᵇ = Ι 422
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφι."
ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ. 326 = 272
ηὗρ' υἱὸν Πετεῷο Μενεσθῆα πλήξιππον
ἑσταότ', ἀμφὶ δ' Ἀθηναῖοι, μήστωρες ἀυτῆς.
αὐτὰρ ὃ πλησίον εἱστήκει πολύμητις Ὀδυσσεύς,
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
ἕστασαν· οὐ γάρ πώ σφ' ἠκούετο λαὸς ἀυτῆς,
ἀλλὰ νέον συνορινόμεναι 'κίνυντο φάλαγγες
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἳ δὲ μένοντες
ἕστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν
Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο.
τοὺς δὲ Ϝιδὼν 'νείκεσσε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὦ υἱὸς Πετεῷο, διοτρεφέος βασιλῆος, 338 cf. Ε 464
καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους;
σφῶιν μέν τε ϜέϜοικε μετὰ πρώτοισιν ἐόντας
ἑστάμεν' ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι. 342 = Μ 316
πρώτω γὰρ καλέοντος ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.
ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
Ϝοίνου πινέμεναι μελιϜηδέος, ὄφρ' ἐθέλητον·
νῦν δὲ φίλως χ' ὁράοιτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέι χαλκῷ."

---

321 *ὀπάζει* Ar.] *ἱκάνει* codd. Cf. Θ 103 ‖ 327] verum videtur **ηὗρε δ' υἱόν*, cf. nº 17. — *Πετεῷο* Cobet] *Πετεῶο* ‖ 329 *εἱστήκει* C D] *ἑστήκει* Ar. A ‖ 331 **σφ' ἠκούετο*] *σφιν ἀκούετο* ‖ 333 *Τρώων* Ar. D] *Τρώων θ'* A C ‖ 334 sq. *πύργος Ἀχαιῶν ... ἄρξειαν* Ar. codd.] *κέν τις ἐναντίον ... ἄρξειεν* liber „*πολύστιχος*". Suspectum *Ἀχαιῶν* iteratum ‖ 337 **σφας*] *σφεας* ‖ 338 *ὦ*] **ὤ μοι*? cf. vs. 370. — *υἱός* Ahrens] *υἱέ*. — *Πετεῷο* Cobet] *Πετεῶο* ‖ 339 *κερδαλεόφρον*] *φαίδιμ' Ὀδυσσεῦ* Zen. ‖ 341 *τε ϜέϜοικε* Hoffmann] *τ' ἐπέοικε*. Sed versus initium olim fuisse *σφῶι μὲν* et aliquid igitur corrigendum restare verisimile est ‖ 343 *καλέοντος* Nauck] *καὶ δαιτὸς* libri; emendatio palmaria ‖ 345 *κρέα ἔδμεναι*] hiatus vitiosus, cf. nº 72; **τε κρέ'*? vid. γ 33 et μ 396 ‖ 345 sq.] grammatici quidam, non Ar., indignos censuerunt poeta ‖ 347 *φίλως*] nonnisi h. l. legitur; **φίλον*? — *ὁράοιτε* nº 191] *ὁρόῳτε*

IV τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς· 349 sq. = Ξ 82 sq.
„Ἀτρεΐδη, ποῖόν σε ϝέπος 'φύγεν ἕρκος ὀδόντων. 350ᵇ = α 64 γ 230 etc.
πῶς ἐμὲ φῇς πολέμοιο μεθιέμεν'; — ὁππότ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα, 352 = Τ 237
ὄψεαι, αἴ κ' ἐθέλησθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ, 353 = Ι 359
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ' ἀνεμώλια βάζεις."
τὸν δ' ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων,
ὡς 'γνῶ χωομένοιο· πάλιν δ' ὅ γε 'λάζετο μῦθον·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτε σε νεικείω περιώσιον οὔτε κελεύω·
ϝοῖδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισι
ἤπια δήνεα ϝοῖδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.
ἀλλ' ἴθι· ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθ', εἴ τι κακὸν νῦν
ϝέϝρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν."
ὣς ϝειπὼν τοὺς μὲν 'λίπεν αὐτόθι, 'βῆ δὲ μετ' ἄλλους. 364 = 292
ηὗρε δὲ Τυδέος υἱόν, ὑπέρθυμον Διομήδεα, 365 cf. Ε 376
ἑσταότ' ἔν θ' ἵπποισι καὶ ἅρμασι κολλητοῖσι· 366 = Δ 198
πὰρ δέ ϝοι εἱστήκει Σθένελος, Καπανήιος υἱός.
καὶ τὸν μὲν 'νείκεσσε ϝιδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο,
τί πτώσσεις, τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέι γ' ὧδε φίλον πτωσκαζέμεν' ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηίοισι μάχεσθαι,
ὡς 'φάσαν οἵ ϝ' ἐϝίδοντο πονεύμενον· οὐ γὰρ ἐγώ γε
ἤντησ' οὐδ' ἔϝιδον· περὶ δ' ἄλλων φασὶ γενέσθαι. 375 = δ 201
ἦ τοι μὲν γὰρ ἄτερ πολέμοι' εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ' ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων,
οἵ ῥα τότ' ἐστρατόονθ' ἱερὰ πρὸς τείχεα Θήβης· 378ᵃ = Γ 187
καὶ μάλα 'λίσσοντο δόμεναι κλειτοὺς ἐπικούρους.

351 *ἐμὲ] δή ‖ 353 *αἴ κ'] ἤν κ' A, ἤν CD ‖ 359 περιώσιον] περιούσιον vHerwerden ‖ 363 ϝέϝρηται nº 306] εἴρηται ‖ 364 αὐτόθι nº 322] αὐτοῦ ‖ 365 Διομήδεα] nº 73 ‖ 367 εἱστήκει CD] ἑστήκει Ar. A ‖ 373 δηίοισι] nº 17 ‖ 374 ϝ' ἐϝίδοντο Bentley] μιν ἴδοντο. — πονεύμενον] nº 191. — Apertum est, versus 374—400 postea fuisse insertos; fortasse igitur μιν ἴδοντο non erat sollicitandum ‖ 376 πολέμοι' nº 59] πολέμου ‖ 377 ξεῖνος] l. a. κεῖνος ‖ 378 ἐστρατόονθ' Buttmann] -όωνθ', cf. Γ 187. — Versum 378 ante 376 collocat Naber ‖ 379 *καὶ μάλα 'λίσσοντο δόμεναι] καί ῥα μάλα λίσσοντο δόμεν, cf. nº 126

IV οἳ δ' ἔθελον δόμεναι καὶ ἐπήνεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἳ δ' ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῖ' ἐγένοντο,
Ἀσωπὸν δ' ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδέι 'τεῖλαν Ἀχαιοί.
αὐτὰρ ὃ 'βῆ, πολέας δ' ἐκιχήσατο Καδμεΐωνας
δαινυμένους κατὰ δῶμα βίης 'Ετεοκλεεείης.
ἔνθ' οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
'τάρβεε, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισι,
ἀλλ' ὅ γ' ἀεθλεύειν προκαλίζετο, πάντα δ' ἐνίκα 389 sq. cf. *E* 807 sq.
ῥηιδίως· τοίη ϝ' ἐπιτάρροθος ἦεν Ἀθήνη.
οἳ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἄψ ϝοι ἀνερχομένῳ πυκινὸν λόχον εἷσαν ἄγοντες,
κούρους πεντήκοντα· δύω δ' ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης, ἐπιϝείκελος ἀθανάτοισι,
υἱός τ' Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀϝεικέα πότμον ἐφῆκε· 396ᵇ = δ 339 ρ 130
πάντας ἔπεφν', ἕνα δ' οἶον ἵει ϝοῖκόνδε νέεσθαι·
Μαίον' ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας.
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ ϝὸν υἱὸν
'γείνατο ϝεῖο χέρηα μάχῃ, ἀγορῇ δέ τ' ἀμείνω."
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη κρατερὸς Διομήδης,
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ' υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
„Ἀτρεΐδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα ϝειπεῖν.

---

382 ἰδὲ] ἠδὲ D. — ὁδοῖ' nº 59] ὁδοῦ ‖ 384 Τυδέι τεῖλαν IMenrad, cf. *E* 320 *Δ* 840] Τυδῆ στεῖλαν A C¹, Τυδεῖ στεῖλαν C² D. Nauck ἀγγελίην Τυδῆ' ἔστειλαν (cf. *Γ* 206), Christ ἐπὶ Τυδέα τεῖλαν (ut τεῖλαν scilicet sit verbi στέλλειν forma decurtata!) ‖ 386 'Ετεοκλεεείης nº 73] -ηείης ‖ 388 'τάρβεε nº 191] τάρβει ‖ 390 *ϝ' ἐπιτάρροθος, cf. *E* 808] ϝοι ἐπίρροθος. Veterum epicorum non est ἐπίρροθος quod h. l. et *Ψ* 770 legitur, neque sensum praebet aptum, nam idem quod ἐπίψογος significat (Aesch. Sept. 368, Soph. Ant. 413, fragm. 517). — Vitium natum ex opinione Alexandrinorum grammaticorum, abundare syllabam ταρ (vid. schol. *Δ* 223 *Δ* 366 *M* 180 etc.); hinc fit ut apud posteros (Apoll. Rhodium, Q. Smyrnaeum etc.) passim legatur ἐπίρροθος = βοηθός ‖ 392 ἄψ ϝοι ἀνερχομένῳ Barnes] ἂψ ἀναερχομένῳ A, ἂψ ἀνερχομένῳ C D. Bentley ἂψ ἄρ' ἀνερχομένῳ (cf. *Z* 187). An *ἂψ ἀνά ϝ' ἐρχομένῳ? ‖ 395 Πολυφόντης] l. a. Λυκοφόντης ‖ 396 καὶ] non sollicitandum; significat enim καίπερ τοσούτοις οὖσιν ‖ 399 ϝὸν Brugmann] τὸν ‖ 400 χέρηα C²] χέρεια Ar. A C¹ D. — ἀμείνω] nº 85. Ar. A ἀμείνων (sc. ἐστί); cf. *Γ* 11 ‖ 404 ψεύδε'] forma notabilis propter elisionem in codd. non obliteratam; cf. nº 117

IV ἧμές τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἥμες καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος Ἄρειον,
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο. 409b = α 7
τῷ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ."
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη κρατερὸς Διομήδης·
„τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ
Τρῶας δηώσωσιν ἕλωσί τε Ϝίλιον ἱρήν,
τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δηωθέντων.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς." 418 = Ε 718
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε· 418a = Ω 618
δϜεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσι Ϝάνακτος 419 = Π 426 cf. Γ 29
ὀρνυμένοι'· ὑπό κεν ταλασίφρονά περ δϜέος εἷλε.

ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυϜηχέι κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύροι' ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἰὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
ὣς τότ' ἐπασσύτεραι Δαναῶν 'κίνυντο φάλαγγες
νωλεμέως πόλεμόνδ'. ἐκέλευε δὲ Ϝοῖσι Ϝέκαστος
ἡγεμόνων· οἳ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν,
σιγῇ δεδϜιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ' ἔλαμπε, τὰ Ϝειμένοι ἐστιχάοντο.

407—409 Ar. —

405 sq. *ἧμες] ἡμεῖς ‖ 407] dualis hic non vitiose pro plurali est adhibitus, sed ad Diomedem et Sthenelum pertinet. Fortasse in versu sequenti praestat *πειθομένω ‖ 409 -ῃσιν ὄλοντο] *-ῃσ' ὤλοντο? ‖ 412 τέττα] τέτλα (=τέτλαθι) Helladius ap. Photium Bibl.; cf. schol. — Vitiosus hiatus σιωπῇ ἧσο, cf. nº 17; Bentley τέτλαθι σιγῇ θ' ἧσο ‖ 416 δηώσωσιν] -σουσιν D, cf. nº 122. Notetur forma coartata δηω- in hoc versu et sequenti pro δηϊω-; vid. nº 17 ‖ 420 στήθεσσι] vid. ad *Μ* 401 ‖ 421 ὀρνυμένοι' nº 59] -νου ‖ 423 Ζεφύροι' nº 59] Ζεφύρου ‖ 424 μέν τε A] μὲν τὰ C D ‖ 426 ἰὸν Ar.] ἐόν. — κορυφοῦται] *κορυφώετ' an potius κορυφάετ'? ‖ 431 δεδϜιότες] δειδιότες ‖ 432 ἐστιχάοντο nº 191] -όωντο

IV Τρῶες δ', ὥς τ' ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκὸν,
ἀζηχὲς μεμακυῖαι ἀκούουσαι Ϝόπα Ϝαρνῶν,
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς,
ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
ΔϜεῖμός τ' ἠδὲ Φόβος καὶ Ἔρις, ἄμοτον μεμαυῖα, 440ᵇ cf. Ε 518
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίιον ἔμβαλε μέσσῳ
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
οἳ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, 446-451 = Θ 60 sqq.
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ 'πέλετ' ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, 'ρέε δ' αἵματι γαῖα.
ὡς δ' ὅτε χειμαρόω ποταμὼ κατ' ὄρεσφι ῥέοντε
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης,
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
ὣς τῶν μισγομένων 'γένετο ϜιϜαχή τε πόνος τε.
πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστὴν 457ᵇ = Θ 256 Π 603
ἐσθλὸν ἐνὶ προμάχοισι, Θαλυσιάδην Ἐχέπωλον·
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης, 459-461 = Ζ 9 sqq.
ἐν δὲ μετώπῳ ἔπηξ', ἐπέρησε δ' ἄρ' ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε, 461 = 503
ἤριπε δ', ὡς ὅτε πύργος, ἐνὶ κρατερῇ ὑσμίνῃ. 461ᵇ = 526 Ν 575 etc.
τὸν δὲ πεσόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων· 464 = Β 541

---

433 πολυπάμονος A] -πάμμονος CD ‖ 434 ἑστήκασιν] l. a. -κωσιν, fortasse recte ‖ 441] post κασιγνήτη excidisse videtur ϑ' ‖ 450 *'πέλετ' nº 275] πέλεν ‖ 452 *χειμαρόω ποταμὼ... ῥέοντε] χείμαρροι ποταμοὶ... ῥέοντες, sed ῥέοντε C. De -ἄρόω vid. nº 61. Dualem Christ quoque commendavit ‖ 456 πόνος Ar.] φόβος ‖ 457 ἕλεν] *εἷλ'? ‖ 460 *ἔπηξ', ἐπέρησε] πῆξε, πέρησε ‖ 462 ὡς ὅτε] ἠύτε Nauck

IV εἷλκε δ' ὑπ' ἐκ βελέων, λελιημένος ὄφρα τάχιστα
τεύχεα συλήσειε· μίνυνθα δέ Ϝοι 'γένεθ' ὁρμή.
νεκρὸν γὰρ Ϝερύοντα Ϝιδὼν μεγάθυμος Ἀγήνωρ
πλευρά, τά Ϝοι κύψαντι παρ' ἀσπίδος ἐξεφαένθη,
οὔτασσε ξυστῷ χαλκήρεϊ, 'λῦσε δὲ γυῖα. 469 = Δ 260
ὣς τὸν μὲν 'λίπε θυμός, ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὣς
ἀλλήλοισ' ἐπόρουσαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζε.
  ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας,
ἠίθεον θαλερὸν Σιμοείσιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦσα παρ' ὄχθῃσιν Σιμόεντος
'γείνατ', ἐπεί ῥα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα Ϝιδέσθαι·
τούνεκά μιν 'κάλεον Σιμοείσιον· οὐδὲ τοκεῦσι
θρέπτρα φίλοισ' ἀπέδωκε, μινυνθάδιος δέ Ϝοι αἰὼν 478 sq. = P 302 sq.
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντ' ἔβαλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἄντικρυς δὲ δι' ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὃ δ' ἐν κονίῃσι χαμαὶ 'πέσεν, αἴγειρος ὥς,
ἥ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκῃ
λείη, ἀτάρ τέ Ϝοι ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασι·
τὴν μέν θ' ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
ἐξέταμ', ὄφρα Ϝίτυν κάμψῃ περικαλλέι δίφρῳ·
ἣ μέν τ' ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας.
τοῖον ἄρ' Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξε
Αἴας διογενής. τοῦ δ' Ἄντιφος αἰολοθώρηξ
Πριαμίδης καθ' ὅμιλον ἀκόντισεν ὀξέι δουρί.
τοῦ μὲν ἅμαρθ', ὃ δὲ Λεῦκον, Ὀδυσσέος ἐσθλὸν ἑταῖρον,
'βεβλήκει βουβῶνα νέκυν ἑτέρωσ' ἐρύοντα·
ἤριπε δ' ἀμφ' αὐτῷ, νεκρὸς δέ Ϝοι ἔκπεσε χειρός.
  τοῦ δ' Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοι' ἐχολώθη,

---

465 εἷλκε] ἕλκε ‖ 467 γὰρ Ϝερύοντα] γάρ ῥ' ἐρύοντα A, γὰρ ἕλκοντα D ‖ 468 ἐξεφαένθη n° 280] ἐξεφαάνθη ‖ 469 *οὔτασσε n° 150] οὔτησε ‖ 470 ἔργον] neglecto Ϝ; *ὣς 'λίπε τὸν θυμός, αὐτῷ δ' ἔπι Ϝέργον ἐτύχθη? sed alia quoque possunt conici; vHerwerden ἔπειτα δὲ Ϝέργον ἐτύχθη ‖ 473 υἱὸν] n° 17 ‖ 478 θρέπτρα] θρεπτὰ Zen. ‖ 480 *ἰόντ' ἔβαλε] ἰόντα βάλε ‖ 481 ἄντικρυς Bentley] ἀντικρὺ ‖ 483 πεφύκῃ Hermann] πεφύκει; cf. n° 122 ‖ 486 κάμψῃ] n° 122 ‖ 490 ὀξέι δουρί] l. a. δουρὶ φαεινῷ, cf. vs. 496 ‖ 492 ἐρύοντα] sine Ϝ; Heyne ἑτέρωσε νέκυν Ϝερύοντα ‖ 494 *ἀποκταμένοι' ἐχολώθη] -νοιο χολώθη

'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, 495 = Ε 562, 681 Ρ 3 etc.
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ 496 = Ε 611 Ρ 347
ἀμφὶ Ϝὲ παπτήνας· ὑπὸ δὲ Τρῶες 'κεκάδοντο 496$^{b}$-498 = Ο 573 sqq.
ἀνδρὸς ἀκοντίσσαντος. ὃ δ' οὐχ ἅλιον βέλος ἧκε,
ἀλλ' υἱὸν Πριάμοιο νόθον 'βάλε Δημοκόωντα,
ὅς Ϝοι Ἀβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων.
τόν ῥ' Ὀδυσεὺς ἑτάροιο χολωσάμενος 'βάλε δουρὶ
κόρσην, ἣ δ' ἑτέροιο διὰ κροτάφοι' ἐπέρησε
αἰχμὴ χαλκείη, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε· 503 = 461
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 504 = Ε 42, 540 etc.
'χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ, 505 sq. = Ρ 316 sq.
Ἀργέιοι δὲ μέγα 'ϜίϜαχον, 'Ϝερύσαντο δὲ νεκρούς, 505 = Π 588
ἴθυσαν δὲ πολὺ προτέρω. 'νεμέσησε δ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ 'κέκλετ' ἀύσας· 508$^{a}$ = Η 21
„ὄρνυσθ', ἱπποδάμοι Τρῶες· μὴ Ϝείκετε χάρμης
Ἀργείοισ', ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισι.
οὐ μὰν οὐδ' Ἀχιλεὺς Θέτιδος πάις ἠυκόμοιο
μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει." 513$^{b}$ = Ι 565
ὣς 'φάτ' ἀπὸ πτόλιος δϜεινὸς θεός· αὐτὰρ Ἀχαιοὺς
ὦρσε Διὸς θυγάτηρ κυδίστη Τριτογένεια, 515 cf. γ 378
ἐρχομένη καθ' ὅμιλον, ὅθι μεθιέντα Ϝίδοιτο.
ἔνθ' Ἀμαρυγκεΐδην Διώρεα μοῖρ' ἐπέδησε.
χερμαδίῳ γὰρ 'βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· 'βάλε δὲ Θρηίκων ἀγὸς ἀνδρῶν,
Πείροος Ἰμβρασίδης, ὃς ἄρ' Αἰνόθεν εἰληλούθει.
ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίησεν· ὃ δ' ὕπτιος ἐν κονίῃσι 522$^{b}$ sq. = Ν 548 sq.
κάππεσεν, ἄμφω χεῖρε φίλοισ' ἑτάροισι πετάσσας,
θυμὸν ἀποπνείων. ὃ δ' ἐπέδραμεν ὅς Ϝ' ἔβαλέν περ,
Πείροος· οὖτα δὲ δουρὶ παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι 525$^{b}$ sq. = Φ 180 sq.

---

502 *κροτάφοι' ἐπέρησε] -φοιο πέρησε ‖ 506 μέγα A] μέγ' C D; *μέγ' ἀϜϜίϜαχον (αὐίαχον) an *μέγ' ἐϜϜίϜαχον, cf. vs. 125 ‖ 508 ἐκκατιδών] Ϝ neglectum; *ἐκ τὰ Ϝιδών? at recurrit vitium Η 21, ubi τά vix locum habet. Naber h. l. ἐκπροϜιδών, sed Η 21 ἐκκατιών cum Nauckio ‖ 509 μή Bekker] μηδ' ‖ 516 μεθιέντα Ven.] μεθιέντας ‖ 517 μοῖρ' ἐπέδησε codd.] μοῖρα πέδησε Ar. ‖ 519 Θρηίκων] vid. nº 17 ‖ 520 et 525 Πείροος ut Β 844] Πείρως codd. — εἰληλούθει] nº 160 ‖ 524 *Ϝ'] ῥ'

IV ’χύντο χαμαὶ χολάδες, τὸν δὲ σκότος ὄσσ’ ἐκάλυψε. 526$^{b}$ = 461
τὸν δὲ Θόας Αἰτωλὸς ἀπεσσύμενον ’βάλε δουρὶ
στέρνον ὑπὲρ μαζοῖ’, ἐπάγη δ’ ἐν πνεύμονι χαλκός. 528$^{b}$ cf. Υ 486
ἀγχίμολον δέ Ϝοι ἦλθε Θόας, ἐκ δ’ ὄβριμον ἔγχος
ἐσπάσατο στέρνοἰ, ἐϜερύσσατο δὲ ξίφος ὀξὺ,
τῷ ὅ γε γαστέρ’ ἔτυψε μέσην, ἐκ δ’ ἥνυτο θυμόν.
τεύχεα δ’ οὐκ ἀπέδυσε, περίστησαν γὰρ ἑταῖροι
Θρήικες ἀκρόκομοι, δολίχ’ ἔγχεα χερσὶν ἔχοντες,
οἵ Ϝε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν 534 sq. = Ε 625 sq.
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος ’πελεμίχθη. 535 = Ν 148
ὣς τώ γ’ ἐν κονίησι παρ’ ἀλλήλοισ’ ἐτετάσθην,
ἦ τοι ὃ μὲν Θρηίκων, ὃ δ’ Ἐπειῶν χαλκοχιτώνων
ἡγεμόνες· πολλοὶ δὲ περὶ ’κτείνοντο καὶ ἄλλοι.
ἔνθα κεν οὐκέτι Ϝέργον ἀνὴρ ὀνόσαιτο μετελθὼν,
ὅς τις ἔτ’ ἄβλητος καὶ ἀνούτατος ὀξέι χαλκῷ
δινεύοι κατὰ μέσσον, ἄγοι δέ Ϝε Παλλὰς Ἀθήνη
χειρὸς ἑλοῦσα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέες ἐν κονίησι παρ’ ἀλλήλοισ’ ἐτέταντο.

---

527 ἀπεσσύμενον] sic et ἐπεσσύμενος Ar.; codd. meliores ἐπεσσύμενον (absurde) ‖ 528 *μαζοῖ’, ἐπάγη] μαζοῖο, πάγη ‖ 530 *στέρνοἰ ἐϜερύσσατο] στέρνοιο ἐρύσσατο ‖ 531 *γαστέρ’ ἔτυψε] γαστέρα τύψε. — *ἥνυτο] αἴνυτο ‖ 532 οὐκ] *οὔ Ϝ’? ‖ 536 ἀλλήλοισ’ ἐτετάσθην] ἀλλήλοισι τετάσθην ‖ 537 Θρηίκων] vid. nº 17 ‖ 542 ἑλοῦσα, ἀτὰρ] hiatus vix ferendus; neque ἑλοῦσ’ αὐτὰρ cum CD scribere licet, quoniam αὐτάρ - ἀτάρ priorem syllabam in thesi nunquam habet productam, cf. nº 18 et ad Κ 99 ‖ 544 *-οισ’ ἐτέταντο] -οισι τέταντο

# ΙΛΙΑΔΟΣ Ε.

*Διομήδους ἀριστεία.*

---

V ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
'δῶκε μένος καὶ θάρσος, ἵν' ἔκδηλος μετὰ πᾶσι
Ἀργείοισι γένοιτο ἰδὲ κλέος ἐσθλὸν ἄροιτο.
'δαῖε δέ Ϝ' ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,
ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο·
τοῖόν Ϝοι πῦρ 'δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων,
ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι 'κλονέοντο. 8ᵇ = Π 285
ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων,
ἱρεὺς Ἡφαίστοιο· δύω δέ Ϝοι υἱέες ἤτην,
Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ Ϝειδότε πάσης.
τώ Ϝοι ἀποκρινθέντε ἐναντίω ὡρμηθήτην·
τὼ μὲν ἀφ' ἵπποιιν, ὃ δ' ἀπὸ χθονὸς ὤρνυτο πεζός.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 14 = Γ 15
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος.
Τυδεΐδα' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ 16-19 cf. Π 478 sqq.
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὃ δ' ὕστερος ὤρνυτο χαλκῷ
Τυδεΐδης· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς,

---

4 *'δαῖε δέ Ͱ'] δαῖε δέ οἱ Ambr. Eust., δαῖέ οἱ A C D ‖ 7 Ϝοι πῦρ 'δαῖεν] poterat poeta, aliquanto numerosius, πῦρ Ͱοι ἔδαιεν ‖ 10 ἤτην D] ἤστην ‖ 12 ὡρμηθήτην C] ὁρμηθήτην A D ‖ 16 *Τυδεΐδα'] Τυδεΐδεω δ', vid. nº 55 ‖ 17 αὐτόν] pro μιν vel Ͱε recentioris est aetatis; Nauck ἔβαλέν μιν. Sed verum videtur *οὐδ' ἔβαλέν Ϝ'· ὃ δὲ δεύτερος. Conf. Γ 349 Ε 855 Η 248, 268 Π 467 etc. Nonnisi h. l. et in vs. parallelo Π 479 ὕστερος ita legitur adhibitum. Vid. etiam Ε 703

V ἀλλ' ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ' ἀφ' ἵππων.
Ἰδαῖος δ' ἀπόρουσε λιπὼν περικαλλέα δίφρον,
οὐδ' ἔτλη περιβήμεν' ἀδελφεόο κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ' Ἥφαιστος ἔρυτ', ἐσάωσε δὲ νυκτὶ καλύψας,
ὡς δή ϝοι μὴ πάγχυ γέρων ἀκαχημένος εἴη.
ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς
'δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας. 26 cf. Φ 32
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ 'ϝίδον υἷε Δάρητος
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ' ὄχεσφι,
πᾶσ' ὠρίνθη θυμός· ἀτὰρ γλαυκῶπις Ἀθήνη
χειρὸς ἑλοῦσα ϝέπεσσι προσηύδα θοῦρον Ἄρηα·
„Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα, 31 = 455
οὔ κεν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ;
νῶι δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν."
ὣς ϝειποῦσα μάχης ἐξήγαγε θοῦρον Ἄρηα.
τὸν μὲν ἔπειτα καθεῖσ' ἐπὶ ποιήεντι Σκαμάνδρῳ,
Τρῶας δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ϝέκαστος
ἡγεμόνων. πρῶτος δὲ ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἁλιζώνων, Ὀδίον μέγαν, ἔκβαλε δίφρου·
πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε 40ᵇ sq. = Θ 258 sq. Λ 447 sq.
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 41 = 57
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 42 = Δ 504
Ἰδομενεὺς δ' ἄρα Φαῖστον ἐνήρατο, Μῄονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει.
τὸν μὲν ἄρ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἔγχεϊ μακρῷ
'νύξ' ἵππων ἀποβησόμενον κατὰ δεξιὸν ὦμον· 46 sq.ᵃ = Π 343 sq.
ἤριπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε. 47ᵇ = Ν 672 Π 607
τὸν μὲν ἄρ' Ἰδομενῆος ἐσύλευον θεράποντες·

---

21 περιβήμεν' nº 125] περιβῆναι. — ἀδελφεόο Ahrens] -φειοῦ, nº 59 || 23 *ἔρυτ', ἐσάωσε] ἔρυτο, σάωσε || 28 ἀλευάμενον] l. a. ἀλευόμενον (Ar.? cf. vs. 444) || 29 *πᾶσ' ὠρίνθη] πᾶσιν ὀρίνθη || 30 ἑλοῦσα ἔπεσσι Vind.] ἑλοῦσ' ἐπέεσσι. — προσηύδα] -δαε? nº 191 || 31 τειχεσιπλῆτα] -βλῆτα Zen. || 32 *οὔ κεν] οὐκ ἂν || 33 ὀρέξῃ] -ξει C, vid. nº 122 || 36 καθεῖσ' ἐπὶ ποιήεντι Naber] καθεῖσεν ἐπ' ἠιόεντι, vox obscura neque alibi obvia || 42] deest in A C || 44 εἰληλούθει] nº 160 || 46 ἀποβησόμενον Naber] ἐπιβησόμενον, cf. l. a. Ε 227 Ρ 480. Vulgatam defendit vHerwerden, pro participio aoristi mixti accipiens, coll. Ο 382

V υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἵμονα θήρης,
Ἀτρεΐδης Μενέλαος ἕλ' ἔγχεϊ ὀξυόεντι,
ἐσθλὸν θηρητῆρ'· ἐδίδαξε γὰρ Ἄρτεμις αὐτὴ
βαλλέμεν' ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.
ἀλλ' οὔ ϝοι τότε γε 'χραῖσμ' Ἄρτεμις ἰοχέαιρα
οὐδὲ ϝεκηβολίαι, ᾗσιν τὸ πρίν γ' ἐκέκαστο·
ἀλλά μιν Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος
πρόσθε ϝέθεν φεύγοντα μετάφρενον οὔτασε δουρί. 56 = Γ 402
ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 58 cf. 294
  Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, Τέκτονος υἱὸν
Ἁρμονίδα', ὃς χέρσ' ἠπίστατο δαίδαλα πάντα
τευχέμεν'· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
ὃς καὶ Ἀλεξάνδρῳ 'τεκτήνατο νῆας ἐϝίσας
ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσ' ἐγένοντο
ϝοί τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατ' ἐϝείδει.
τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε διώκων,
'βεβλήκει γλουτὸν κάτα δεξιόν· ἣ δὲ διὰ πρὸ
ἄντικρυς κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή. 67 = Ν 652
γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε. 68 cf. Γ 417
  Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης, Ἀντήνορος υἱόν,
ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
ϝῖσα φίλοισι τέκεσσι, χαριζομένη πόσιι ϝῷ.
τὸν μὲν Φυλεΐδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
'βεβλήκει κεφαλῆς κατὰ ϝινίον ὀξέι δουρί·
ἄντικρυς δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν 'τάμε χαλκός.
ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι.
  Εὐρύπυλος δ' Εὐαιμονίδης Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου

---

57 ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 57 = 41
64 Ar. —

---

51 *θηρητῆρ'· ἐδίδαξε] -τῆρα· δίδαξε || 52 βαλλέμεν Nauck] βάλλειν || 53] versus finem Zen. χραῖσμεν θανάτοιο πέλωρα, quae varietas ex vulgatae literis male lectis nata esse videtur; cf. ad Α 299 || 57] deest in melioribus, ex vs. 41 iteratus || 59 Τέκτονος] pro appellativo quidam accipiebant sec. Eustath. (male) || 60 Ἁρμονίδα' n° 55] -δεω. — *χέρσ' ἠπίστατο] χερσὶν ἐπ. — πάντα] πολλὰ Ar. in altera ed. || 61 τευχέμεν Nauck] τεύχειν || 63 *Τρώεσσ' ἐγένοντο] -σσι γένοντο || 64 *θέσφατ' ἐϝείδει] θέσφατα ᾔδει C, ᾔδη Ar. A D || 67 et 74 ἄντικρυς Bentley] ἀντικρὺ || 71 πόσιι n° 74] πόσεϊ || 75 κονίῃ C] κονίης A D, cf. n° 57

V ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὣς 'τίετο δήμῳ, 78ᵇ = Π 605
τὸν μὲν ἄρ' Εὐρύπυλος, Ἐυαίμονος ἀγλαὸς υἱὸς,
πρόσθε Ϝέθεν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον
φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν.
αἱματόεσσα δὲ χεὶρ πεδίῳ 'πέσε· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. 83 = Π 334 Υ 477

ὣς οἱ μὲν 'πονέοντο κατὰ κρατερὴν ὑσμίνην· 84 = 627
Τυδεΐδην δ' οὔ κε γνοίης ποτέροισι μετείη.
[ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι ἦ μετ' Ἀχαιοῖς.]
'θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ϜεϜοικὼς
χειμαρόῳ, ὅς τ' ὦκα ῥέων ἐκέασσε γεφύρας·
τὸν δ' οὔτ' ἄρ τι γέφυραι ἐερμέναι ἰσχανάουσι,
οὔτ' ἄρα Ϝέρκεά Ϝ' ἴσχει ἀλωάων ἐριθηλέων,
ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος· 91ᵇ = Μ 286
πολλὰ δ' ὑπ' αὐτοῦ Ϝέργα κατήριπε κάλ' αἰζηῶν.
ὣς ὑπὸ Τυδεΐδῃ πυκιναὶ 'κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν 'μίμνον πολέες περ ἐόντες.
τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
θύνοντ' ἂμ πεδίον, πρὸ Ϝέθεν κλονέοντα φάλαγγας,
αἶψ' ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ 'βάλ' ἐπαΐσσοντα, τυχὼν κατὰ δεξιὸν ὦμον,
θώρηκος γύαλον· διὰ δ' ἔπτατο πικρὸς ὀιστὸς, 99ᵇ = Ν 587
ἄντικρυς δὲ διέσχ', ἐπαλάσσετο δ' αἵματι θώρηξ.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός· 101 = 283
„ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων· 101ᵃ = Θ 160
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ Ϝέ φημι
δϜήθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
ὦρσε Ϝάναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν."

85 *οὔ κε] οὐκ ἄν || 86] uncinis inclusimus, neque igitur sollicitandum censemus -οις (cf. nº 60), pro quo Nauck audacter ἢ Δαναοῖσι || 88 *χειμαρόῳ nº 61] χειμάρρῳ. — ἐκέασσε Naber, item Nauck] ἐκέδασσε. Elegantem emendationem tuentur ε 132 η 250; vertit Vergil. Aen. II 496 *aggeribus ruptis*; cf. etiam Lucret. I 285 sq. Recurrit vitium Π 347 in deterioribus || 89 τι Et. Magn. 478, 42] τε A D, om. C. — ἐερμέναι Ar.] ἐεργμέναι. — ἰσχανάουσι nº 191] -όωσι || 90] initialis littera vocis Ϝέρκος licet plerisque locis exciderit, hic tamen hiatum explet, cf. nº 41. — *Ϝ'. — ἐριθηλέων] synizesis necessaria; cf. nº 73 || 91 ἐπιβρίσῃ] -σει C D, cf. nº 122 || 99 ἔπτατο] nº 216 || 100 ἄντικρυς Bentley] ἀντικρὺ || 104 ἀνσχήσεσθαι - βέλος Ar. codd.] alii fortasse δηθὰ σχήσεσθαι et τέλος?

V ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ 'δάμασσε,
ἀλλ' ἀναχωρήσας πρόσθ' ἵπποιιν καὶ ὄχεσφι
ἔστη, καὶ Σθένελον προσέφη, Καπανήιον υἱόν·
„ὄρσο, πέπον Καπανηιάδη, καταβήσεο δίφρου,
ὄφρα μοι ἐξ ὤμοιο Ϝερύσσῃς πικρὸν ὀιστόν.“
ὣς ἄρ' ἔφη, Σθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε,
πὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς ἐκϜέρυσ' ὤμου·
αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
„κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη. 115 = Κ 278 δ 762 ζ 324
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
δηίῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι, Ἀθήνη·
δὸς δέ τέ μ' ἄνδρα Ϝελεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησι
δϜηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.“ [sq.
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη, 121 sq. = Ψ 771
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθε, 121 = γ 385 ζ 328 122 = Ν 61
ἄγχι δὲ Ϝ' ἱσταμένη Ϝέπεα πτερόεντα προσηύδα· 123 = Δ 92
„θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι·
ἐν γάρ τοι στήθεσσι μένος πατρώιον ἧκα
ἄτρομον, οἷον ἔχεσκε σακεσπάλος ἱππότα Τυδεύς·
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' ἐὺ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῷ νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
μή τι σύ γ' ἀθανάτοισι θεοῖσ' ἀντικρὺ μάχεσθαι 130ᵇ-132 = 819 sqq.
τοῖσ' ἄλλοισ'· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν' ὀξέι χαλκῷ.“
ἣ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη, 133 = α 319 ζ 41
Τυδεΐδης δ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη· 134 cf. Ν 642 Ο 457
καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι,
δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥς τε λέοντα,

---

112 ἐκϜέρυσ'] ἐξέρυσ' ‖ 115 μοι] μευ deteriores ‖ 118 δὸς δέ] l. a. τόνδε (Rhiani? vid. Ludwich Arist. I 252). — Post ὁρμὴν vHerwerden Ϝ' addit; sed potius in ἑλεῖν videtur vitium latere; Nauck δὸς δέ μοι ἀντιάσαι; *δὸς δέ τέ μ'(οι) ἄνδρ' ἀντᾶν (an δέ μοι)? ‖ 123 *ἄγχι δέ Ϝ' nº 318] ἀγχοῦ δ' ‖ 128 γιγνώσκῃς deter.] -οις. — ἠδὲ καὶ ἄνδρα] ἠδ' ἄνθρωπον Zen. ‖ 132 τήν γ' οὐτάμεν Ar. codd.] τὴν οὐτάσαι Zen. In altera ed. Aristarchus γ' omittebat

V ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοισ' ὀίεσσι
χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσῃ·
τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ Ϝ' οὐ προσαμύνει,
ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται.
αἱ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
αὐτὰρ ὃ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς·
ὣς μεμαὼς Τρώεσσ' ἐμίγη κρατερὸς Διομήδης.
ἔνθ' ἕλε Ϝαστύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ' ὦμον
'πλῆξ', ἀπὸ δ' αὐχένος ὦμον ἐϜέργαθεν ἠδ' ἀπὸ νώτου.
τοὺς μὲν ἔασ', ὃ δ' Ἄβαντα μετῴχετο καὶ ΠολύϜιδον,
υἱέας Εὐρυδάμαντος, ὀνειροπόλοιο γέροντος,
τοῖσ' οὐκ ἐρχομένοισ' ὁ γέρων ἐκρίνατ' ὀνείρους,
ἀλλά σφε κρατερὸς Διομήδης ἐξενάριξε.
'βῆ δὲ μετὰ Ξάνθον τε Θόωνά τε, Φαίνοπος υἷε,
ἄμφω τηλυγέτω· ὃ δ' ἐτείρετο γήραϊ λυγρῷ,
υἱὸν δ' οὐ 'τέκετ' ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
ἔνθ' ὅ γε τοὺς ἐνάριζε, φίλον δ' ἐξήνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
'λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχης ἒκ νοστήσαντε
'δέξατο· χηρωσταὶ δὲ διὰ κτῆσιν 'δατέοντο.
ἔνθ' υἷας Πριάμοιο δύω 'λάβε Δαρδανίδαο
ἐν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε Χρομίον τε.
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα Ϝάξῃ
πόρτιος ἠὲ βοός, ξύλοχον κάτα βοσκομενάων,
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
'βῆσε κακῶς ἀϜέκοντας, ἔπειτα δὲ τεύχε' ἐσύλα.
ἵππους δ' οἷσ' ἑτάροισ' ἐδίδου μετὰ νῆας ἐλαύνειν.
τὸν δ' ἔϜιδ' Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,

---

138 χραύσῃ, δαμάσσῃ] -σει C, cf. nº 122 ‖ 139 *Ϝ'] τ' ‖ 140 φοβεῖται] fortasse *φέβονται fuit olim. Sed quid est τά? ‖ 143 *Τρώεσσ' ἐμίγη] -σσι μίγη ‖ 144 'Υπείρονα] vera nominis forma videtur 'Υπήνορα (sic Venet.) ‖ 146 τὸν δ' ἕτερον] τοῦ δ' ἑτέρου Zen. ‖ 150 ἐρχομένοισ' ὁ] -νοισι? ‖ 151 *σφε] σφεας ‖ 155 *ἐξήνυτο] ἐξαίνυτο ‖ 156 ἀμφοτέρω] -ρων Zen. ‖ 160 *ἐν nº 315] εἰν. — ἐόντας] ἐόντε? cf. Λ 103 ‖ 161 Ϝάξῃ] ἄξει C, cf. nº 122 ‖ 162 πόρτιος] βουκόλου Zen. ‖ 165 δ' οἷσ'] pro Ϝοῖσ' vitiosum; Heyne αὖ, Nauck αὖθ'. — *ἑτάροισ' ἐδίδου] -ροισι δίδου ‖ 166 ἔ(Ϝ)ιδ' Nauck] ἴδεν; cf. Β 82

V *'βῆ δ' ἴμεν' ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων* 167 = Υ 319
*Πάνδαρον ἀντίθεον διζήμενος, εἴ ποθ' ἐφεύροι.* 168 cf. Δ 88
*ηὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,* 169 = Δ 89
*'στῆ δὲ πρόσθ' αὐτοῖο Ϝέπος τέ μιν ἀντίον ηὔδα·*
*„Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀιστοὶ*
*καὶ κλέος; ᾧ οὔ τις τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ,*
*οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται ἔμμεν' ἀμείνων.*
*ἀλλ' ἄγε τῷδ' ἔφες ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχών,*
*ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ϜέϜοργε* 175 sq. = Π 424 sq.
*Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε·*
*εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσι,*
*ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῖ' ἔπι μῆνις."*
*τὸν δ' αὖτε προσέϜειπε Λυκάονος ἀγλαὸς υἱός·*
*„Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,* 180 = Ρ 485
*Τυδεΐδῃ μιν ἐγώ γε δαΐφρονι πάντα ϜεϜίσκω,*
*ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ*
*ἵππους τ' εἰσοράων· σάφα δ' οὐ Ϝοῖδ' εἰ θεός ἐστι.*
*εἰ δ' ὅ γ' ἀνήρ, ὅν φημι, δαΐφρων Τυδέος υἱὸς,*
*οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι*
*ἔστηκ' ἀθανάτων, νεφέλῃ ϜεϜλυμένος ὤμους,*
*ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.*
*ἤδη γάρ Ϝοι ἐφῆκα βέλος, καί μιν 'βάλον ὦμον*
*δεξιὸν, ἄντικρυς διὰ θώρηκος γυάλοιο·*
*καί μιν ἐγώ γ' ἐφάμην ἈϜιδωνῆι προϊάψειν,*
*ἔμπης δ' οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.*
*ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίην·* 192 cf. Ξ 299
*ἀλλά ποθ' ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι*
*καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι*
*πέπτανται· παρὰ δέ σφι Ϝεκάστῳ δίζυγες ἵπποι.* 195ᵇ = Κ 473
*ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.* 196ᵇ = Θ 564
*ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων*

---

**183 Ar. — ‖ 187 Zen. —**

---

168 **ποθ'* nº 322] *που* ‖ 173 *ἔμμεν'* nº 125] *εἶναι* ‖ 178 *θεοῖ'* nº 59] *θεοῦ*. — *ἔπι μῆνις*] *ἐπιμῆνις* (uno vocabulo) Ar. C D. Cf. *Κ* 19 ‖ 181 *μιν*] sic et *μὲν* Ar. ‖ 183 *εἰσοράων* nº 191] *-όων* ‖ 186 *ϜεϜλυμένος* nº 265] *εἰλυμένος* ‖ 188 *Ϝοι ἐφῆκα*] **Ϝ' ἐφέηκα?* ‖ 189 *ἄντικρυς* Bentley] *ἀντικρὺ* ‖ 193 **ποθ'* nº 322] *που* ‖ 194 *πρωτοπαγεῖς*] nº 73; cf. *Ω* 267. Zen. mutabat vulgatam, sed periit eius lectio

V ἐρχομένῳ ἐπέτελλε δόμοισ' ἔνι ποιητοῖσι·
ἵπποισίν μ' ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ' ἐγὼ οὐ 'πιθόμην, — ἦ κεν πολὺ κέρδιον ἦεν, — 201 = X 103 ι 228
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν Ϝελλομένων, εἰωθότες ἔδμεναι ἄδην.
ὣς 'λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
τόξοισιν πίσυνος· τὰ δέ μ' οὐκ ἄρα 'μέλλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ' ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ' ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῷ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα
ἤματι τῷ ἑλόμην, ὅτε Ϝίλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
πατρίδ' ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, 214 = π 102
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ."
τὸν δ' αὖτ' Αἰνείας, Τρώων ἀγός, ἀντίον ηὔδα·
„μὴ δ' οὕτως ἀγόρευε· πάρος δ' οὐκ ἔσσεται ἄλλως,
πρίν γ' ἐπὶ νῶι τῷ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφι
ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα Ϝίδηαι 221-223 = Θ 105 sqq.
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·
τὼ καὶ νῶι πόλινδε σαώσετον, αἴ κέ περ αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
ἀλλ' ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα 226 cf. P 479 226ᵇ = ζ 81

---

200 ἀρχεύειν] de hoc verbo cf. *B* 345 ‖ 201 *κεν] τ' ἂν ‖ 203 Ϝελλομένων Cobet; cf. nº 265] εἰλομένων. — ἄδην Ar.] ἄδδην. Prior syllaba vocis h. l. producitur, ceteris (*N* 315 *T* 423 ε 290) corripitur ‖ 204 Ἴλιον] neglecto Ϝ; ecquid *ἔλιπον, πεζὸς δ' ἐς Ϝίλιον? — εἰλήλουθα] cf. nº 160 ‖ 205 ἄρα μέλλον Bekker] ἄρ' ἔμελλεν A D, -λλον C ‖ 206 -εσσιν ἐφῆκα] *-εσσ' ἐφέηκα? ‖ 211 Ἕκτορι δίῳ] l. a. ἱπποδάμοισι, ab Ar. reiecta ‖ 212 ἐσόψομαι] subiunctivi forma esse videtur, cf. nº 152 ‖ 219 *νῶι τῷ] νὼ τῷδ', cf. nº 92 ‖ 224 *αἴ κέ περ] εἴ περ ἄν, sed εἴ κεν ἂν unus e deterioribus ‖ 225 ὀρέξῃ] -ξει Ven., cf. nº 122

V δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι· 227 = P 480
ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ' ἐμοὶ ἵπποι."
τὸν δ' αὖτε προσέϜειπε Λυκάονος ἀγλαὸς υἱός·
„Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ' ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ' ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴσετον, αἴ κέ περ αὖτε φεβώμεθα Τυδέος υἱόν.
μὴ τὼ μὲν δϜείσαντε ματήσετον οὐδ' ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
νῶι δ' ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
ἀλλὰ σύ γ' αὐτὸς ἔλαυνε τέ' ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί."
ὣς ἄρα φωνήσαντε, ἐς ἅρματα ποικίλα βάντε,
ἐμμεμαῶτ' ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
τοὺς δ' ἔϜιδε Σθένελος, Καπανήιος ἀγλαὸς υἱὸς,
αἶψα δὲ Τυδεΐδην Ϝέπεα πτερόεντα προσηύδα·
„Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ, 243 = 826 K 234
ἄνδρ' ὁράω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
Ϝῖν' ἀπέλεθρον ἔχοντε· ὃ μὲν τόξων ἐὺ Ϝειδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι· [sq.
Αἰνείας δ' υἱὸς μεγαλήτορος Ἀγχίσαο 247 sq. cf. Υ 208
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ Ϝοί ἐστ' Ἀφροδίτη. 247 cf. 468
ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων, μηδέ μοι οὕτως
θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς.
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη κρατερὸς Διομήδης·
„μή τι φόβονδ' ἀγόρευ', ἐπεὶ οὐ πείσεσθαι ὀίω·
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι

249 sq. Zen. — ut videtur

227 *ἀποβήσομαι* Ar. A D] *ἐπιβήσομαι* Zen. C inepte, currum enim conscensurus est ***uterque*** (vid. vs. 239). Verte ***ego vero*** (***cum Diomedem assecuti erimus***) ***de curru desiliam ut eum aggrediar;*** quemadmodum ipse quoque Diomedes non de curru pugnat, cf. vs. 13, 107 sqq., 249. Propter versum tamen 294 dubitare licet an aliud verbum (***negligendi*** sensu) lateat ‖ 231 *εἰωθότι*] l. a. *-θότε* ‖ 232 **αἴ κέ περ*] *εἴ περ ἂν* ‖ 234 *ποθέοντε*] *-τες* D ‖ 236 *κτείνῃ, ἐλάσσῃ*] cf. nº 122 ‖ 239 *φωνήσαντε, βάντε*] *-τες* codd. meliores ‖ 244 *ὁράω* nº 191] *ὁρόω* ‖ 245 *ἔχοντε*] *-τας* meliores ‖ 247 *μεγαλήτορος* D] *μὲν ἀμύμονος* A C ‖ 250 *ὀλέσσῃς*] nº 122 ‖ 252 **οὐ πείσεσθαι ὀίω*] *οὐδέ σε πεισέμεν οἴω*, in quibus vitiosum est *οἴω* disyllabum, vid. nº 295. Dubitavimus autem an praestaret *ἐπεὶ οὐ πείσειν μέ σ' ὀίω*, cf. *I* 315

V οὐδὲ καταπτώσσειν· ἔτι μοι μένος ἔμπεδόν ἐστι· 254ᵇ = φ 426
ὀκνείω δ' ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως
ἀντίον εἶμι· τρέειν μ' οὐκ εἴαε Παλλὰς Ἀθήνη.
τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
ἄμφω ἀφ' ἡμείων, εἴ κ' οὖν ἕτερός γε φύγῃσι.
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 259 = Λ 297
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
αὐτόθ' ἐρυκακέμεν, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων, 263 cf. 323
ἐκ δ' ἐλάσαι Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς. 264 cf. 324
τῆς γάρ τοι γενεῆς, ἧς Τρωί περ εὐρύϝοπα Ζεὺς
'δῶχ' υἷος ποινὴν Γανυμήδεος, οὕνεκ' ἄριστοι
ἵππων ὅσσοι ἔασιν ὑπ' ἠόα τ' ἠέλιόν τε·
τῆς γενεῆς ἔκλεψε ϝάναξ ἀνδρῶν Ἀγχίσης,
λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.
τῶν ϝοι ϝὲξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη·
τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ,
τὼ δὲ δύ' Αἰνείᾳ 'δῶκεν, μήστωρι φόβοιο.
εἰ τούτω γε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐσθλόν."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
τὼ δὲ τάχ' ἐγγύθεν ἦλθον ἐλαύνοντ' ὠκέας ἵππους.
τὸν πρότερος προσέϝειπε Λυκάονος ἀγλαὸς υἱός·
„καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ,
ἦ μάλα σ' οὐ βέλος ὠκὺ 'δαμάσσατο, πικρὸς ὀιστός·
νῦν αὖτ' ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 280 = Γ 355

256] codd. ἀντίον εἶμ' αὐτῶν· τρεῖν μ' οὐκ ἐᾷ, in quibus neque τρεῖν ferri potest, neque monosyllabum ἐᾷ pro anapaestico ἐάει. Emendandi viam indicat lectio ἔα A Herodian. Delendum esse αὐτῶν, non vero Παλλὰς cum Ahrensio, bene perspexit IMenrad, qui tamen minus recte εἰᾷ, formam nihili (cf. nº 191), scribere maluit quam εἴα vel εἴαε. Imperfectum recurrit e. g. vs. 819 ‖ 258 κ' Nauck] γ' Ar. codd. ‖ 260 ὀρέξῃ] cf. nº 122 ‖ 261 κτεῖναι] κτάμεναι? (cf. vs. 301) ‖ 262 αὐτόθ' nº 322] αὐτοῦ. — ἐρυκακέμεν nº 126] -κέειν ‖ 263 Αἰνείαο] Αἰνείωο Zen., quam formam non a nominativo Αἰνείως deductam (ut putat Ariston.) sed eadem via qua φόως, δρόωσα et similia (nº 191) natam esse patet. Cf. vs. 323 ‖ 267 ἠόα nº 77] ἠῶ ‖ 270 ϝὲξ] cf. nº 44. — γενέθλη] l. a. γενέθλης, quod probat Wolf ‖ 272 μήστωρι Plat. Lach. 191 b] μήστωρε Ar. codd. Redit varietas Θ 108 ‖ 273 γε IHVoss] κε ‖ 279 τύχωμι A] τύχοιμι

V καὶ ’βάλε Τυδεΐδαο κατ’ ἀσπίδα· τῆς δὲ διὰ πρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκ’ ἐπελάσθη.
τῷ δ’ ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός· 283 = 101
„βέβλησαι κενεῶνα διαμπερές, οὐδέ σ’ ὀίω
δϝηρὸν ἔτ’ ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ’ εὖχος ἔδωκας.“
τὸν δ’ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης· 286 = Λ 384 cf. Υ 430
„ἤμβροτες, οὐδ’ ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶί γ’ ὀίω
πρὶν ἀποπαύσεσθαι, πρίν γ’ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.“ 289 = Υ 78 Χ 267
ὣς φάμενος προέηκε· βέλος δ’ ἴθυνεν Ἀθήνη
ῥῖνα παρ’ ὀφθαλμόν, λευκοὺς δ’ ἐπέρησεν ὀδόντας.
τοῦ δ’ ἀπὸ μὲν γλῶσσαν πρυμνὴν ’τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ’ ἐξῆλθεν παρὰ νείατον ἀνθερεῶνα.
ἤριπε δ’ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ 294 = Θ 260 cf. Ε 58
αἰόλα παμφανάοντα, παρέτρεσσαν δέ ϝοι ἵπποι
ὠκύποδες· τοῦ δ’ αὖθ’ ἐλύθη ψυχή τε μένος τε. 296 = Θ 123, 315
Αἰνείας δ’ ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ,
δϝείσας μή πώς ϝοι ϝερυσαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ’ ἄρ’ αὐτῷ ἔβαινε λέων ὣς ἀλκὶ πεποιθώς,
πρόσθε δέ ϝοι δόρυ τ’ ἔσχε καὶ ἀσπίδα πάντοσ’ ἐϝίσην, 300 sq. = Ρ 7 sq.
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ’ ἀντίος ἔλθοι,
σμερδαλέα ϝιϝάχων. ὃ δὲ χερμάδιον ’λάβε χειρὶ 302 = Θ 321 Υ 285
Τυδεΐδης, μέγα ϝέργον, ὃ γ’ οὔ κε δύ’ ἄνδρε φέροιεν, 303 cf. Υ 286
οἷοι νῦν βροτοί εἰσ’· ὃ δέ μιν ῥέα ’πάλλε καὶ οἶος. 304 = Μ 449 Υ 287
τῷ ’βάλεν Αἰνείαο κατ’ ἰσχίον, ἔνθα τε μηρὸς
ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι·
’θλάσσε δέ ϝοι κοτύλην, πρὸς δ’ ἄμφω ’ρῆξε τένοντε·
ὦσε δ’ ἄπο ῥινὸν τρηχὺς λίθος. αὐτὰρ ὅ γ’ ἥρως

---

281 τῆς] ἧ similibus locis *E* 66 *H* 260 *Υ* 276 legitur, et hic legendum censet LaRoche ‖ 282 πταμένη] cf. n° 216. — *θώρηκ’ ἐπελάσθη] θώρηκι πελάσθη ‖ 284 *βέβλησαι n° 117] βέβληαι ‖ 288 πρὶν Vind.] πρίν γ’. — πρίν γ’ ἢ] πρὶν δὴ Nauck ‖ 293 *ἐξῆλθεν] ἐξελύθη Ar. A, ἐξεσύθη Zen. CD, qui aoristus apud Homerum alibi non occurrit et potius tragicis videtur esse relinquendus; Hes. Theog. 183 pro ἀπέσσυθεν fortasse *ἀπεσσύαθ’ fuit olim. In deterioribus ἐξεχύθη, ἐξελάθη, ἐξέσυτο legitur. Ahrens et Christ ἐξέλυθεν, optime quod ad sensum, sed inaudita haec quoque est forma. Cf. vs. 658 ‖ 295 παμφανάοντα n° 191] -όωντα ‖ 296 *αὖθ’ ἐλύθη] αὖθι λύθη ‖ 299 *ἔβαινε] βαῖνε ‖ 303 ὅ γ’ οὔ κε δύ’] ὃ οὐ δύο γ’ AC, et sine γ’ D. Naber restituit κε (οὐ δύο κ’), nos praeterea inseruimus γ’ ad explendum hiatum. Nauck ὅ κ’ οὐ δύω, verbis minus feliciter ordinatis. Conf. *M* 447 ‖ 305 ’βάλεν] *ἔβαλ’?

ἔστη γνὺξ ἐριπὼν καὶ ἐδράξατο χειρὶ παχείῃ 309 cf. Δ 355
γαίης· ἀμφὶ δέ Ϝ' ὄσσε κελαινὴ νὺξ ἐκάλυψε. 310 = Δ 356
καί νύ κεν ἔνθ' ἀπόλοιτο Ϝάναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε Διὸς θυγάτηρ Ἀφροδίτη, 312 = Γ 374
μήτηρ, ἥ μιν ὑπ' Ἀγχίσῃ 'τέκε βουκολέοντι·
ἀμφὶ δὲ Ϝὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόσθε δέ Ϝοι πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψε,
ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων 316ᵇ sq. = 345 sq.
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο. 317 cf. υ 62
ἣ μὲν ἑϜὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο· 318 cf. 377
οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων
τάων ἅς Ϝ' ἐπέτειλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ' ὅ γε τοὺς μὲν ἑϜοὺς ἠρύκακε μώνυχας ἵππους
νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ' ἐπαΐξας καλλίτριχας ἵππους 323 sq. cf. 263 sq.
ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς. 324 = Ν 401
'δῶκε δὲ Δηιπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
'τῖεν ὁμηλικίης, ὅτι Ϝοι φρεσὶν ἄρτι' ἐϜείδει, 326ᵇ = τ 248
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν'. αὐτὰρ ὅ γ' ἥρως
Ϝῶν ἵππων ἐπιβὰς ἔλαβ' ἡνία σιγαλόεντα,
αἶψα δὲ Τυδεΐδην μέθεπε κρατερώνυχας ἵππους
ἐμμεμαώς. ὃ δὲ Κύπριν ἐπῴχετο νηλέι χαλκῷ,
γιγνώσκων ὅ τ' ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων αἵ τ' ἀνδρῶν πόλεμον κάτα κοιρανέουσι,
οὔτ' ἄρ' Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
ἀλλ' ὅτε δή Ϝ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔτασε χεῖρ' ἐπιάλμενος ὀξέι δουρὶ

---

309 *ἐδράξατο] ἐρείσατο, quod verbum genitivum non admittit. Genuinam lectionem novit Theocritus XXV 145; vulgata non defenditur versu Hes. Scut. 362. Conf. Δ 425 Ν 393 Π 486 ‖ 310 δέ Ϝ' vHerwerden] δὲ, Eust. δέ οἱ ‖ 311 ἀπόλοιτο] optativus ut vs. 388 (Ρ 70?) vix sanus; cf. Γ 453 Μ 465. Fortasse *ὤλετ' ἄρ' ἔνθα; vHerwerden ἔνθ' ἀπολώλε' (neglecto Ϝ vocis Ϝάναξ) ‖ 316 ἔμεν] cf. nº 126 ‖ 317 στήθεσσι] -σφι? cf. ad Μ 401. — ἕλοιτο] ὄλοιτο Aristarcho scholia tribuunt, sine dubio falso ‖ 320 *Ϝ'(οι). — ἐπέτειλε Nauck] ἐπέτελλε ‖ 323 Αἰνείαο] -ωο Zen., cf. vs. 263 ‖ 326 *ἄρτι' ἐϜείδει] ἄρτια ᾔδει C, ᾔδη A D ‖ 329] Zen. κρατερωνύχεσσ' (ἵπποις). Qua lectione (propter nº 60 et 64) reiecta μέθεπε servari vix potest; Nauck -δη ἔπεχε ‖ 330 Κύπριν] *Κύπριδ'? cf. nº 66 ‖ 334 *Ϝ'] ὁ' ‖ 336 *χεῖρ' ἐπιάλμενος] χεῖρα μετάλμενος

V ἀβληχρήν· εἶθαρ δὲ δόρυ χρόα ἀντετόρησε,
ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες ʼκάμον αὐταί,
πρυμνὸν ὑπὲρ θέναρος. ʼρέε δʼ ἄμβροτον αἷμα θεοῖο,
ἴχωρ, οἷόν πέρ τε ῥέει μακάρεσσι θεοῖσι·
οὐ γὰρ σῖτον ἔδουσʼ, οὐ πίνουσʼ αἴθοπα ϝοῖνον,
τούνεκʼ ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
ἣ δὲ μέγα ϝιϝάχουσα ἀπὸ ϝέο κάββαλεν υἱόν.
καὶ τὸν μὲν μετὰ χέρσʼ ἐϝερύσσατο Φοῖβος Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων 345ᵇ sq. = 316 sq.
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δʼ ἐπὶ μακρὸν ἄυσε βοὴν ἀγαθὸς Διομήδης·
„ϝεῖκε, Διὸς θύγατερ, πολέμου καὶ δηιοτῆτος·
οὐ ϝάλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
οὐ σύ γʼ ἔτʼ ἐς πόλεμον πωλήσεαι· ἦ τέ σʼ ὀίω
ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χʼ ἑτέρωθι πύθηαι.“
ὣς ἔφαθʼ, ἣ δʼ ἀλύουσʼ ἀπεβήσετο, ʼτείρετο δʼ αἰνῶς.
τὴν ἄρα ϜΙρις ἑλοῦσα ποδήνεμος ἔξαγʼ ὁμίλου
ἀχθομένην ὀδύνῃσʼ· ἐμελαίνετο δὲ χρόα καλόν.
ηὗρεν ἔπειτα μάχης ἐπʼ ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δʼ ἔγχος ἐκέκλιτο καὶ ταχέʼ ἵππω.
ἣ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους·
„φίλε κασίγνητος, κόμισαί τέ με δός τέ μοι ἵππους,

---

337 *χρόα] χροός. Cf. *K* 267 et *Λ* 437. Vitium peperit hiatus et adiectivi ἀμβροσίου (quod cum πέπλου iungendum est) vicinia. Accusativum requiri etiam adiectivum πρυμνὸν vs. 339 ostendit; nam male iungi solet ὑπὲρ (τὸ) πρυμνὸν (τοῦ) θέναρος. Quae si essent iungenda, omnino scribendum esset πρυμνοῦ, neque enim ὑπέρ accusativum hoc loco adsciscere potest neque πρυμνὸν substantivi loco usurpari. At praestare videtur χρόα πρυμνὸν ἀντετόρησε ὑπὲρ θέναρος ‖ 338 οἱ] sine ϝ, quae litera in hoc certe vocabulo omitti nequit; Heyne ὅ ϝοι, Wiel ὅν αἱ, neuter probabiliter. Fortasse spurius est versus ‖ 340 οἷον Nauck] οἷος ‖ 344 *χέρσʼ ἐϝερύσσατο] χερσὶν ἐρύσσατο C, ἐρύσατο A D (male) ‖ 346 στήθεσσι] -σφι? cf. ad *M* 401 ‖ 349 οὐ Nauck] ἦ οὐχ, cf. nº 8 ‖ 350 οὐ σύ γʼ ἔτʼ IIHartman] εἰ δὲ σύ γʼ, l. a. εἰ δὲ καὶ ‖ 353 ἄρα Thiersch] μὲν ἄρʼ ‖ 354 *ὀδύνῃσʼ· ἐμελαίνετο] -νῃσι· μελ. ‖ 356 ἐκέκλιτο] obscurum et subridiculum. Non *fulciendo* sed *occultando* apud Homerum ἀήρ inservit, κεκλίσθαι autem *latitandi* sensu usurpari posse (= κεκαλύφθαι, κεκρύφθαι) parum probabiliter veteres grammatici et post eos Corssen statuerunt; neque multo melius hodie explicatur „hasta erat applicata ad caliginem i. e. erat involuta caligine“ (lex. Ebeling). Nimis audacter tamen Bentley ἠέρι δʼ ἄρμʼ ἐκαλύπτετο, quamquam optime quod ad sensum; cf. *Θ* 50 ‖ 358 πολλὰ] nº 26 ‖ 359 φίλε] nº 22. — *κασίγνητος nº 51] κασίγνητε C[1] D, κασίγνητʼ ἐκκόμισαι A C[2]. — τέ μοι C] δέ μοι A D

V ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί. 360 cf. Θ 456
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ,
Τυδεΐδης, ὃς νῦν καί κεν Διὶ πατρὶ μάχοιτο." 362 cf. 457
ὣς 'φάτο, τῇ δ' ἄρ' Ἄρης 'δῶκε χρυσάμπυκας ἵππους.
ἡ δ' ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ.
πὰρ δέ τε Ϝῖρις ἔβαινε καὶ ἡνία 'λάζετο χερσί,
'μάστιξεν δ' ἐλάειν· τὼ δ' οὐκ ἀϜέκοντ' ἐπετέσθην. 366 = Θ 45 Χ 400 γ 484, 494 ο 192
αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον. 367b = 868 h. Ap. 109
ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ϝῖρις
λύσασ' ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον 'βάλεν εἶδαρ· 369 cf. Ν 35
ἡ δ' ἐν γούνασ' ἔπιπτε Διώνης δῖ' Ἀφροδίτη,
μητρὸς ἑϜῆς· ἡ δ' ἀγκὰς ἐλάζετο θυγατέρα Ϝήν,
χειρί τέ μιν κατέρεξε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 372 = Α 361
„τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων 373 sq. = Φ 509 sq.
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;"
τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
„οὖτά με Τυδέος υἱὸς, ὑπέρθυμος Διομήδης, 376 cf. Δ 365
οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο, 377 cf. 318
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστι.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή,
ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται."
τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη, δῖα θεάων·
„τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ. 382 cf. Α 586
πολλοὶ γὰρ δὴ 'τλῆμεν Ὀλύμπια δώματ' ἔχοντες
ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
'τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
παῖδες Ἀλωῆος, 'δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ ἐν κεράμῳ 'δέδετο τρεῖς καὶ δέκα μῆνας.
καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης ἄατος πολέμοιο,

---

362 *καί κεν] γε καὶ ἄν || 364 ἀκηχεμένη] nº 240. Cum φίλον addi non soleat in hac locutione, suspicari licet *ἔβαινε θεὰ ἀκαχημένη ἦτορ; extat ἀκαχημένη in Vind. || 365 τε vHerwerden] οἱ. Cobet Ϝε coll. χ 233 || 366 ἐλάειν nº 191] ἐλάαν || 370 *γούνασ' ἔπιπτε] γούνασι πίπτε || 374 ἐνωπῇ] l. a. ἐνιπῇ (?), ἐνωπῇ. Cf. κατ' ἐνῶπα Ο 320 || 385 μιν] ante vocalem producitur etiam Ζ 176, 501 Κ 347 (?) Λ 376 || 387 *χαλκέῳ nº 61] χαλκέῳ δ'. — τρεῖς καὶ δέκα Bekker Nauck] τρισκαίδεκα. — Mensis intercalaris hic primum commemoratur, nam annum integrum eumque praelongum significari apertum est; cf. AMommsen Chronol. p. 38 || 388 ἀπόλοιτο] optativus ut vs. 311, ubi vide. — ἄατος LMeyer] ἆτος

V *εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια*
*Ἑρμείᾳ ἤγγειλεν· ὃ δ' ἐξέκλεψεν Ἄρηα*
*ἤδη τειρόμενον, χαλεπὸς δέ Ϝε δεσμὸς ἐδάμνα.*
*'τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς πάις Ἀμφιτρύωνος*
*δεξιτερὸν κατὰ μαζὸν ὀιστῷ τριγλώχινι*
*'βεβλήκει· τότε καί μιν ἀνήκεστον 'λάβεν ἄλγος.*
*'τλῆ δ' ἈϜίδης ἐν τοῖσι πελώριος ὠκὺν ὀιστόν,*
*εὖτέ μιν αὐτὸς ἀνὴρ, υἱὸς Διὸς αἰγιόχοιο,*
*ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκε.*
*αὐτὰρ ὃ 'βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον*
*κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀιστὸς*
*ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο, 'κῆδε δὲ θυμόν.*
*τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων* 401 cf. 900
*ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.* 402 = 901
*σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·*
*νήπιος, οὐδὲ τὸ Ϝοῖδε κατὰ φρένα Τυδέος υἱός,*
*ὅττι μάλ' οὐ δϜηναιὸς ὃς ἀθανάτοισι μάχηται,*
*οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσι*
*ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος.*
*τῷ νῦν Τυδεΐδης, εἰ καὶ μάλα καρτερός ἐστι,*
*φραζέσθω μή τίς Ϝοι ἀμείνων σεῖο μάχηται,*
*μὴ δϜὴν Αἰγιάλεια, περίφρων Ἀδρηστίνη,*
415 *ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο,*
413 *ἐξ ὕπνου γοάουσα φίλους Ϝοικῆας ἐγείρῃ,*
414 *κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν."*
*ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἴχωρ χειρὸς ὀμόργνυ·*

---

403 *σχέτλιος, ὀβριμοϜεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,*
*ὃς τόξοισιν ἔκηδε θεοὺς οἳ Ὄλυμπον ἔχουσι.*

---

390 **Ἑρμείᾳ ἤγγειλεν*] *Ἑρμείᾳ ἐξήγγειλεν* A, *Ἑρμέᾳ ἐξήγγειλεν* C D, quod verbum in Homericis nonnisi h. l. reperitur; cf. *N* 541 et nº. 58 ‖ 391 *ἐδάμνα*] *ἐδάμνη* poscunt Nauck Naber; at cf. nº 191 ‖ 394 *καί*] sic et *κέν* Ar. ‖ 395 *ἐν τοῖσι*] verba suspecta ‖ 396 *αὐτὸς* nº 98] *ωὑτὸς* codd. ‖ 397 *Πύλῳ*] nomen proprium esse negabat Ar. (scilicet = *πύλῃ*) ‖ 403 sq.] hoc loco stare nequeunt; Christ spurios censet sed ut ante vs. 398 collocarentur destinatos. — *ὀβριμοϜεργός*] *αἰσυλοεργός* Ar. ‖ 406 *Τυδέος υἱός*] *καὶ κατὰ θυμόν* Eust. ‖ 408 *τι*] sic et *τε* Ar. — *παππάζουσι*] futurum requirit Naber; at praecedit alterum praesens *δϜηναιός* (*ἐστι*) ‖ 412 sqq.] ex his versibus male intellectis orta esse videtur narratiuncula de Diomedis uxore servis sui copiam faciente, quam Mimnermo adscribit Tzetz. ad Lycophr. 610 ‖ 413 *γοάουσα* nº 191] *-όωσα* ‖ 415] ante 413 collocavit Cobet ‖ 416 *ἴχωρ*] *ἰχῶ* A Ambr., *ἰχῶρ* C D. — *χειρὸς* Ar. codd.] *χερσὶν* Zen.

V ἤλθετο χείρ, ὀδύναι δὲ κατηπιόοντο βαρεῖαι.
αἳ δ' αὖτ' εἰσοράουσαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοισι ϝέπεσσι Δία Κρονίδην ἐρέθιζον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
„Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττι κε ϝείπω;
ἦ μάλα δή τινα Κύπρις Ἀχαιιάδων ἀνιεῖσα
Τρωσὶν ἅμ' ἑσπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησε,
τῶν τινα καρρέζουσα Ἀχαιιάδων ἐυπέπλων
πρὸς χρυσέῃ περόνῃ καταμύξατο χεῖρα ϝαραιήν."
ὣς 'φάτ', ἐμείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, 426 = O 47
καί ῥα καλεσσάμενος προσέφη χρυσέην Ἀφροδίτην·
„οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ϝέργα,
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ϝέργα γάμοιο,
ταῦτα δ' Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει."

ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἰνείᾳ δ' ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
γιγνώσκων ὅ ϝοι αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἤζετο, 'ϝίετο δ' αἰεὶ
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
τρὶς μὲν ἔπειτ' ἐπόρουσε κατακτάμεναι μενεαίνων, [445 436a = Π 784 Υ
τρὶς δέ ϝοι ἐστυφέλιξε φαεινὴν ἀσπίδ' Ἀπόλλων. 436b = Γ 379
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσος, [Υ 447 438 = Π 705, 786
δϝεινά ϝ' ὁμοκλήσας προσέφη ϝεκάϝεργος Ἀπόλλων· 438b = 459, 884 Φ 227
„φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖσι
ϝῖσ' ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων."
ὣς 'φάτο, Τυδεΐδης δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω, 443 cf. Π 710
μῆνιν ἀλευάμενος ϝεκατηβόλου Ἀπόλλωνος. 444 = Π 711

---

417 *ἤλθετο] ἄλθετο. — *κατηπιόοντο nº 191] -όωντο ‖ 418 εἰσοράουσαι nº 191] -όωσαι ‖ 419 κερτομίοισι ϝέπεσσι Hoffmann] -οις ἐπέεσσι. — Δία Κρονίδην] *Veneris* potius nomen expectaveris ‖ 422 ἀνιεῖσα] ἐνιεῖσα Ambr. ‖ 423 ἅμ' ἑσπέσθαι A Ambr.] ἅμα σπέσθαι C D ‖ 424 τῶν] nº 56. — ἐυπέπλων] βαθυκόλπων Plut. Mor. 739 *c* ‖ 425 χρυσέῃ nº 61] χρυσῇ. — καταμύξατο Ar.] i. e. κατ-αμύξατο. Codd. κατεμύξατο ‖ 426 *'φάτ', ἐμείδησεν] φάτο, μείδησεν ‖ 427 χρυσέην nº 61] χρυσῆν ‖ 434 *ἤζετο] ἅζετο ‖ 435 κτεῖναι] κτάμεναι?, vid. vs. 261 ‖ 439 *ϝ'] δ' ‖ 443 τυτθὸν Ar. codd.] l. a. πολλόν, ut Π 710 ‖ 444 ἀλευάμενος] ἀλευόμενος Ar. A; quae si recipienda videretur forma, non praesentis sed aoristi secundi esset dicenda

V *Αἰνείαν δ' ἀπάτερθεν ὁμίλου 'θῆκεν Ἀπόλλων*
*Περγάμῳ ἐν ἱερῇ, ὅθι Ϝοι νηός γ' ἐτέτυκτο·*
*ἦ τοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα* — 447 cf. h. Ap. 159
*ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε 'κύδαινόν τε.*
*αὐτὰρ ὃ Ϝείδωλον 'τεῦξ' ἀργυρότοξος Ἀπόλλων*
*αὐτῷ τ' Αἰνείᾳ Ϝίκελον καὶ τεύχεσι τοῖον,*
*ἀμφὶ δὲ Ϝειδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ*
*'δήοον ἀλλήλων ἀμφὶ στήθεσσι βοείας* — 452 sq. = *Μ* 425 sq.
*ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.*
*δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·*
*„Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,* — 455 = 31
*οὔ κεν δὴ τόνδ' ἄνδρα μάχης Ϝερύσαιο μετελθὼν,*
*Τυδεΐδην, ὃς νῦν καί κεν Διὶ πατρὶ μάχοιτο;* — 457 cf. 362
*Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,* — 458 sq. = 883 sq.
*αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι Ϝῖσος."* — 458ᵇ = *Ρ* 601
*ὣς Ϝειπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,*
*Τρώων δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθὼν,*
*Ϝειδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν,*
*υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσ' ἐκέλευε·*
*„ὦ υἷες Πριάμοιο, διοτρεφέος βασιλῆος,* — 464 cf. *Δ* 338
*ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν ἀγαυόν;*
*εἰς ὅ κεν ἀμφὶ πύλῃσ' ἐὺ ποιητῇσι μάχωνται;*
*κεῖται ἀνὴρ ὃν Ϝῖσον ἐτίομεν Ἕκτορι δίῳ,*

---

446 *ἐν* CD, cf. nº 315] *εἰν* ‖ 448 *'κύδαινον*] vocem Nauckio aliisque suspectam, quod *κῦδος, κυδαίνειν* non de corporis praestantia sed de dignitate, honore soleat dici (*κήδευον* vel *κήδαινον* vHerwerden), satis videntur tueri *Α* 405 etc.; cf. *ξ* 438 *π* 212 ‖ 451 *δὲ* Bentley] *δ' ἄρ'*. Ex hoc versu videtur fluxisse Stesichori (an Hesiodi?, schol. Lycophr. 822) inventum, non ipsam Helenam sed eius imaginem a Paride Troiam esse abductam (Plat. Phaedr. 243*a*), quam fabulam sequitur Euripides in Helena ‖ 452 *δήοον* Nauck] *δῄουν*. Notetur *δη-* pro *δηϊ-*, cf. *Δ* 416 sq. — *στήθεσσι*] *στήθεσφι* D, cf. ad *Μ* 401 ‖ 454 *προσηύδα*] *προσηύδαε*? nº 191 ‖ 456 **οὔ κεν*] *οὐκ ἂν* ‖ 457 **καί κεν*] *γε καὶ ἂν* ‖ 458 *πρῶτον*] *πρῶτα* meliores, sed cf. vs. 883 ‖ 461 *Τρώων* A rec.] *Τρῳὰς* habebant libri Sinop. Cyprius Antimachi, formam parum Homericam; cf. *Α* 129 ‖ 462 *Θρῃκῶν*] pro *Θρῃίκων* vix Homericum ‖ 463 *-*εσσ' ἐκέλευε*] -*εσσι κέλευε* (*κέλευσε* C) ‖ 464 *υἷες* Nauck] *υἱεῖς*, cf. nº 78 ‖ 465 **ἀγαυόν*] *Ἀχαιοῖς*, l. a. *Ἀχαιῶν*. Vitiosum est -*οις* pro -*οισι* (cf. nº 60): sensum non praebet *Ἀχαιῶν*, nam sic *κτείνεσθαι* pro *κτείνειν* esset accipiendum. Correctionem nostram tuentur *Η* 386 *Κ* 563 *Π* 103 etc. — Nauck *μαίνεσθαι ἐάσετε λαὸν Ἀχαιῶν*, cf. vs. 717 ‖ 466 **εἰς* nº 8] *ἧ εἰς*. Nauck *ἧ ἐς ὅ κ'*. — *ποιητῇσι* Zen. codd.] -*τοῖσι* Ar. Femininum certum est *Π* 636, sed *εὐποίητον πυράγρην* traditum est *γ* 434 ‖ 467 *ὃν Ϝῖσον* Bentley] *ὅν τ' ἶσον*, Eustath. *ὃν ἶσον*

V *Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο.* 468 cf. 247
*ἀλλ' ἄγετ' ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον."*
*ὣς Ϝειπὼν ὤτρυνε μένος θυμόν τε Ϝεκάστου.* 470 = 792 Ζ 72 etc.
*ἔνθ' αὖ Σαρπηδὼν μάλ' ἐνείκεσεν Ἕκτορα δῖον·*
*„Ἕκτορ, πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;*
*'φῇς ποθ' ἄτερ λαῶν πόλιν ἑξέμεν' ἠδ' ἐπικούρων*
*οἶος, σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι.*
*τῶν νῦν οὔ τιν' ἐγὼ Ϝιδέμεν δύναμ' οὐδὲ νοῆσαι,*
*ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα·*
*ἧμες δ' αὖ μαχόμεσθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν.*
*καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἵκω·*
*τηλόθι γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι·* 479 cf. Β 877
*ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱὸν,*
*κὰδ δὲ κτήματα πολλὰ, τὰ Ϝέλδεται ὅς τ' ἐπιδευής.*
*ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον' αὐτὸς*
*ἀνδρὶ μαχέσσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον*
*οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·*
*τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις*
*λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὀάρεσσι.*
*μή πως, ὣς ἀψῖσι λίνου πανάγροιο Ϝαλόντες,*
*ἀνδράσι δυσμενέεσσι Ϝέλωρ καὶ κύρμα γένησθε,*
*οἳ δὲ τάχ' ἐκπέρσωσ' ἐὺ ναιομένην πόλιν ὑμήν.*
*σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ,*
*ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων*
*νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν."*
*ὣς 'φάτο Σαρπηδὼν, 'δάκε δὲ φρένας Ἕκτορι μῦθος.* [sqq.
*αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,* 494-497 = Ζ 103 494 = Γ 29
*πάλλων δ' ὀξέε δοῦρε κατὰ στρατὸν ᾤχετο πάντῃ,* 494ᵇ-497 = Λ 211 sqq.

470 *θυμόν τε* Bentley] *καὶ θυμὸν* || 471 **μάλ' ἐνείκεσεν*] *μάλα νείκεσεν* || 473 *φῇς* Ar. CD] *φής*. — **ποθ'* nº 322] *που* || 475 *Ϝιδέμεν* nº 126] *ἰδέειν* || 477 **ἧμες*] *ἡμεῖς*. — *ἔνειμεν*] sic Ar.; cf. ad Β 131 Φ 586 || 478 *ἵκω* Bekker] *ἥκω* || 479 *τηλόθι* nº 322] *τηλοῦ* || 481 *τὰ* Bekker] *τά τ'*. — *ὅς τ'* C] *ὅς κ'* || 486 *μενέμεν*] nº 126. — *ὀάρεσσι* Nauck, cf. Ι 327] *ὤρεσσι* || 487 *πανάγροιο Ϝαλόντες* Bentley] *ἁλόντε πανάγρου*. In lectione vulgata contra constantem usum poetarum producitur *α* in *ἁλόντε*, praeterea dualis pro plurali Alexandrinorum est, non epicorum; cf. nº 52 || 489 *ἐκπέρσωσ'* C, cf. nº 122] *-σουσ'* || 492 *ἐχέμεν*] **σχέμεναι*? cf. Δ 302. — *κρατερὴν* CD] *χαλεπὴν* deter. — *ἀποθέσθαι*] *ἐπιθέσθαι* Naber, coll. Μ 409—414 || 495 **ὀξέε δοῦρε*] *ὀξέα δοῦρα*. Bekker, recte praeferens dualem (vid. Ζ 104 Λ 212), coniecit *ὀξέα δοῦρε*, sed hoc soloecum videtur; cf. Γ 18 Δ 43 Π 139 μ 228 sq. χ 125

V ὀτρύνων μαχέσασϑ', ἤγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ' ἐϜελίχϑησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν· 497 = *Ρ* 343
Ἀργέιοι δ' ὑπέμειναν ἀϜολλέες οὐδ' ἐφόβηϑεν. 498 cf. *Ο* 312
ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς
ἀνδρῶν λικμώντων, ὅτε τε ξανϑὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας,
αἳ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
λευκοὶ ὕπερϑ' ἐγένοντο κονισάλῳ, ὅν ῥα δἰ αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων
ἂψ ἐπιμισγομένων, — ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες, —
οἳ δὲ μένος χειρῶν ἰϑὺς 'φέρον. ἀμφὶ δὲ νύκτα
ϑοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,
πάντοσ' ἐποιχόμενος· τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσάορος, ὅς μιν ἄνωγε
Τρωσὶν ϑυμὸν ἐγεῖραι, ἐπεὶ 'Ϝίδε Παλλάδ' Ἀϑήνην
οἰχομένην· ἣ γάρ ῥ' ἔπελεν Δαναοῖσιν ἀρηγών.
  αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν στήϑεσσι μένος 'βάλε ποιμένι λαῶν.
Αἰνείας δ' ἑτάροισι μεϑίστατο· τοὶ δ' ἐχάρησαν, 514ᵇ sq. = *Η* 307 sq.
ὣς Ϝ' ἔϜιδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
καὶ μένος ἐσϑλὸν ἔχοντ'· ἐμετάλλησάν γε μὲν οὔ τι,
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρε
Ἄρης τε βροτολοιγὸς Ἔρις τ' ἄμοτον μεμαυῖα. 518ᵇ cf. *Δ* 440
  τοὺς δ' Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
ὤτρυνον Δαναοὺς πολεμιζέμεν'· οἳ δὲ καὶ αὐτοὶ
οὔτε βίας Τρώων ὑπεδέδϜισαν οὔτε Ϝιωκὰς,
ἀλλ' ἔμενον νεφέλῃσι ϜεϜοικότες, ἅς τε Κρονίων
νηνεμίης ἔστησεν ἐπ' ἀκροπόλοισιν ὄρεσσι
ἀτρέμας, ὄφρ' εὕδῃσι μένος Βορέαο καὶ ἄλλων
ζαχραέων ἀνέμων, οἵ τε νέφεα σκιόεντα

496 *μαχέσασϑ', ἤγειρε] -σϑαι, ἔγειρε. — φύλοπιν] *φυλόπιδ'? cf. nº 66 || 497 (ἐ)Ϝελίχϑησαν Cobet] ἐλελίχϑησαν || 499 φορέει] φορέῃ videtur praestare || 500 ὅτε τε] εὖτ' ἂν Ptolem. Fortasse ὅτε κε fuit olim || 501 κρίνῃ A rec.] κρίνει CD; subiunctivus praeferendus videtur || 509 χρυσάορος Naber] χρυσαόρου; cf. *Ο* 256 h. Ap. 123. — *ἄνωγε nº 225] ἀνώγει || 511 *ῥ' ἔπελεν] ῥα πέλεν. Sed vix sanum est activum, cf. nº 275; *ἣ γὰρ 'πέλετ' Ἀργείοισιν? — ἀρηγών Ar.] ἀρηγός CD || 515 *Ϝ' || 516 *ἔχοντ'· ἐμετάλλησαν] ἔχοντα· μετάλλησαν. — οὔ τι] οὐδὲν D || 521 ὑπεδέδϜισαν] ὑπεδείδισαν || 525 ζαχραέων Christ] ζαχρειῶν. Cum χραῦσαι cohaeret vox, quae *Μ* 347, 360 *Ν* 684 recurrit. Nauck ἀκραῶν (melius ἀκραέων), cf. *β* 421

V πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
ὣς Δαναοὶ Τρῶας ’μένον ἔμπεδον οὐδ’ ἐφέβοντο. 527 = Ο 622
Ἀτρεΐδης δ’ ἀν’ ὅμιλον ἐφοίταε πολλὰ κελεύων·
„ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε, 529ᵃ = Ο 561
ἀλλήλους τ’ αἴδεσθε κατὰ κρατερὰς ὑσμίνας. 530-532 = Ο 562 sq.
αἰδομένων ἀνδρῶν πλέονες σάοι ἠὲ πέφανται,
φευγόντων δ’ οὔτ’ ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή.“
ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, ’βάλε δὲ πρόμον ἄνδρα,
Αἰνεία’ ἕταρον μεγαθύμου, Δηικόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
’τῖον, ἐπεὶ θοὸς ἦσκε μετὰ πρώτοισι μάχεσθαι.
τόν ῥα κατ’ ἀσπίδα δούρ’ ἔβαλε κρείων Ἀγαμέμνων· [sq.
ἡ δ’ οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ ’Ϝίσατο χαλκός, 538 sq. = Ρ 518
νειαίρῃ δ’ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε· 538 = ω 524 cf. Δ 138
’δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ. 540 = Δ 504
ἔνθ’ αὖτ’ Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
υἷε Διοκλέεος, Κρήθωνά τε ’Ορσίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋ κτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸς βιότοιο, γένος δ’ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῖ’, ὅς τ’ εὐρὺ ῥέει Πυλίων διὰ γαίης·
ὃς ’τέκετ’ ’Ορσίλοχον πολέεσσ’ ἄνδρεσσι Ϝάνακτα·
’Ορσίλοχος δ’ ἄρ’ ἔτικτε Διοκλέεα μεγάθυμον,
ἐκ δὲ Διοκλέεος διδυμάονε παῖδ’ ἐγενέσθην,
Κρήθων ’Ορσίλοχός τε, μάχης ἐῢ Ϝειδότε πάσης.
τὼ μὲν ἄρ’ ἡβήσαντε μελαινάων ἐπὶ νηῶν
Ϝίλιον εἰς ἐύπωλον ἅμ’ Ἀργεΐοισιν ἑπέσθην
τιμὴν Ἀτρεΐδῃσ’ Ἀγαμέμνονι καὶ Μενελάῳ
ἀρνυμένω· τὼ δ’ αὖθι τέλος θανάτοι’ ἐκάλυψε. 553ᵇ = Π 502
οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσι

---

528 ἐφοίταε nº 191] ἐφοίτα ‖ 530 *αἴδεσθε] αἰδεῖσθε. Correctionem suadet vs. sequens ‖ 531 αἰδομένων Ar., item Ο 563] αἰδομένων δ’. Naber διεμένων, quod tamen participium apud Hom. non extat (legitur apud Aesch. Suppl. 819 Eum. 357, 385). — σάοι nº 62] σόοι ‖ 534 Αἰνεία’ nº 55] Αἰνείεω ‖ 536 *ἦσκε] ἔσκε ‖ 537 *δούρ’ ἔβαλε] δουρὶ βάλε ‖ 538 *’Ϝίσατο nº 201] εἴσατο. Cf. Δ 138. — χαλκὸς A rec.] καὶ τῆς CD ‖ 541 ἕλεν] *εἷλ’? ‖ 542 Διοκλέεος nº 73] -κλῆος. — ’Ορσίλοχον] l. a. ’Ορτίλοχον, sic etiam 546 sqq., alibi ‖ 544 ἦν] ἔεν LMeyer ‖ 545 Ἀλφειοῖ’ nº 59] -οῦ ‖ 547 sq. -κλέε- nº 73] -κλῆ- ‖ 551 -οισιν ἑπέσθην] *-οισ’ εἰπέσθην? ‖ 553 τὼ] *τότε? — *θανάτοι’ ἐκάλυψε] -τοιο κάλυψε ‖ 554 οἵω τώ γε] verba mire collocata; τὼ οἵω τε Foerstemann, alii aliter

V ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης·
τὼ μὲν ἄρ' ἁρπάζοντε βόας καὶ Ϝίφια μῆλα
σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ·
τοίω τὼ χείρεσσιν ὑπ' Αἰνείαο δαμέντε
καππεσέτην, ἐλάτῃσι ϜεϜοικότε ὑψηλῇσι."
τὼ δὲ πεσόντ' ἐλέησεν Ἄρηι φίλος Μενέλαος,
'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, 562 = Δ 495
σείων ἐγχείην· τοῦ δ' ὤτρυνεν μένος Ἄρης,
τὰ φρονέων ἵνα χερσὶν ὑπ' Αἰνείαο δαμείη.
τὸν δ' ἔϜιδ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός, 565b = Ν 400 Ψ 541 cf. Ρ 653
'βῆ δὲ διὰ προμάχων· περὶ γὰρ 'δϜίε ποιμένι λαῶν,
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ 'μεῖνε, θοός περ ἐὼν πολεμιστής, 571b = Ο 585
ὡς ἔϜιδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
οἳ δ' ἐπεὶ οὖν νεκροὺς 'Ϝέρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δϜειλὼ 'βαλέτην ἐν χερσὶν ἑταίρων,
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισ' ἐμαχέσθην.
ἔνθα Πυλαιμένεα 'Ϝελέτην ἀτάλαντον Ἄρηι,
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
τὸν μὲν ἄρ' Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος
ἑσταότ' ἔγχε' ἔνυξε κατὰ κληῗδα τυχήσας·
Ἀντίλοχος δὲ Μύδων' ἔβαλ', ἡνίοχον θεράποντα,
ἐσθλὸν Ἀτυμνιάδην, ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους,
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ' ἄρα χειρῶν
ἡνία λεύκ' ἐλέφαντι χαμαὶ 'πέσον ἐν κονίῃσι.
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφε' ἤλασε κόρσην·
αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐϜεργέος ἔκπεσε δίφρου 585 = Ν 399; 585 sq. cf. Π 742 sq.
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.

---

560 ἐοικότε Ar.] -τες ‖ 565 ἔϜιδ' Nauck] ἴδεν. Heyne δὲ Ϝίδ' ‖ 567 πάθοι deter.] πάθῃ C D. — σφας deter.] σφεας C D. Unice verum est σφᾶς, cf. nº 92 ‖ 575 *πρώτοισ' ἐμαχέσθην] πρώτοισι μαχέσθην ‖ 578 κλειτὸς] κλυτὸς codd. contra metrum ‖ 579 *ἔγχε' ἔνυξε] ἔγχει νύξε, cf. nº 71 ‖ 580 *Μύδων' ἔβαλ'] Μύδωνα βάλ' ‖ 584 *ξίφε' nº 71] ξίφει ‖ 586 κύμβαχος] hic et Ο 536, sed ibi alio sensu; cf. etiam Π 379

V δϝηθὰ μάλ' εἱστήκει, 'τύχε γὰρ ψαμάθοιο βαθείης,
ὄφρ' ἵππω πλήξαντε χαμαὶ 'βάλον ἐν κονίῃσι.
τοὺς ἵμασ' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ' Ἀχαιῶν.
τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς 590ᵇ sq. = Λ 343 sq.
κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνἰ Ἐνυώ,
ἡ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δηιοτῆτος,
Ἄρης δ' ἐν παλάμηφι πελώριον ἔγχος ἐνώμα,
'φοίταε δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθε.
τὸν δὲ ϝιδὼν 'ρίγησε βοὴν ἀγαθὸς Διομήδης. 596 = Λ 345
ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι,
ἀφρῷ μορμύροντα ϝιδών, ἀνά τ' ἔδραμ' ὀπίσσω,
ὣς τότε Τυδεΐδης ἀνεχάζετο, 'ϝεῖπέ τε λαῷ·
„ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν. 602 = Π 493 Χ 269
τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει· 603 cf. Υ 98
καὶ νῦν ϝοι πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ϝεϝοικώς.
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
ϝείκετε, μηδὲ θεῷ μενεαίνετε ϝῖφι μάχεσθαι."
ὣς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανε ϝειδότε χάρμης,
ἐν ἑνὶ δίφρῳ ἐόντε, Μενεσθέα Ἀγχίαλόν τε.
τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας·
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ, 611 = Δ 496
καὶ 'βάλεν Ἄμφιον, Σελάγοἰ υἱόν, ὅς ῥ' ἐν Ἀπαισῷ

---

587 εἱστήκει] ἑστήκει Ar. — ψαμάθοιο D²] ῥ' ἀμάθοιο, et sine ῥ' (vitio igitur metrico) Apoll. lex. — Apparet de nihilo fictum esse discrimen, quod statuerunt grammatici, inter ψάμαθος *arena in maris fluviive litore* et ἄμαθος *pulvis* h. l. et h. Ap. 439 ‖ 591 κεκληγώς] *-γγώς? ‖ 594 παλάμηφι] -μῃσι codd. Pluralis h. l. sensum non praebet; -μηφι extat Γ 338, 368 Π 139 ρ 4. Redit vitium Θ 111 Π 74, vid. etiam Λ 238; dubitari potest Ο 677 ε 234 ‖ 595 'φοίταε nº 191] φοίτα ‖ 597 ἀπάλαμνος] vox in Homericis alibi non obvia ‖ 603 πάρα εἷς] hiatus vix ferendus; *πάρα τις? Nauck παρ' ἕεις, sed ἕεις ex errore potius nata videtur forma. Recurrit vitium Υ 98 ‖ 605 πρὸς] hoc certe versu (ut fortasse multis aliis) in προτὶ (vel ποτὶ) esse mutandum, metrum videtur indicare ‖ 606 θεῷ Nauck] θεοῖς. — μενεαίνετε Heyne] μενεαινέμεν ‖ 609 *ἐν nº 315] εἰν. — *Μενεσθέα] Μενέσθην, Ar. Μενεσθῆν Christ Μενεσθῆ'; cf. nº 76 ‖ 612 Σελάγοἰ nº 59] Σελάγου. — υἱὸν nº 17. Ceterum durissimus est versus; *καὶ 'βάλ' υἱὸν Σελάγοἰ Ἀμφίονα? cf. λ 262, 283; Ἄμφιος tamen etiam Β 830 occurrit. — ἐν Ἀπαισῷ dubitanter Heyne coll. Β 828] ἐνὶ Παισῷ, quam lectionem agnoscit Steph. Byz. s. v. Ἀπαισός;

V 'ναῖε πολυκτήμων πολυλήιος· ἀλλά Ϝε μοῖρα
ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.
τόν ῥα κατὰ ζωστῆρ' ἔβαλεν Τελαμώνιος Αἴας,
νειαίρῃ δ' ἐν γάστρ' ἐπάγη δολιχόσκιον ἔγχος,
'δούπησεν δὲ πεσών. ὃ δ' ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων· Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν
ὀξέα παμφανάοντα· σάκος δ' ἀνεδέξατο πολλά.
αὐτὰρ ὃ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ'· οὐδ' ἄρ' ἔτ' ἄλλ' ἐδυνήσατο τεύχεα καλὰ 621 sq. = Ν 510 sq.
ὤμοιιν Ϝ' ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι.
'δϜεῖσε δ' ὅ γ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες,
οἵ Ϝε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν 625 sq. = Δ 534 sq.
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος 'πελεμίχθη.

ὣς οἳ μὲν 'πονέοντο κατὰ κρατερὴν ὑσμίνην· 627 = 84
Τληπόλεμον δ' Ἡρακλεΐδην, ἠΰν τε μέγαν τε, 628 cf. Β 653
ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 630 = Γ 15
υἱός θ' υἱωνός τε Διὸς νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔϜειπε· 632 cf. Ν 306 π 460 ρ 74
„Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτωσσέμεν' ἐνθάδ' ἐόντι, μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
ἔμμεν', ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων.
ἀλλοῖόν τινά φασι βίην Ἡρακλεείην
ἔμμεν', ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα· 639ᵇ = λ 267
ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισι

---

615 **ζωστῆρ' ἔβαλεν*] *ζωστῆρα βάλεν* ‖ 616 **γάστρ' ἐπάγη*] *γαστρὶ πάγη* ‖ 619 *παμφανάοντα* nº 191] *-νόωντα* ‖ 621 **ἄλλ' ἐδυνήσατο*] *ἄλλα δυν.* ‖ 622 **Ϝ'*] et sententia et metrum pronomen flagitant. — *ἀφελέσθαι· ἐπείγετο*] **-σθ'· ἠπ.*? ‖ 623 *κρατερὴν*] *-ρῶν* Apoll. lex. i. v. *ἀμφίβασις* ‖ 630 *ἰόντες*] sic et *ἰόντε* Ar. ‖ 634 *πτωσσέμεν* Nauck] *-ειν* ‖ 636 et 639 *ἔμμεν'* nº 125] *εἶναι* ‖ 638 *ἀλλοῖον* Tyrannio, ut π 181] *ἀλλ' οἷον* Aristoph. Ar. et codd. — *Ἡρακλεεείην* nº 73] *-κληείην*, Zen. *Ἡρακλείην* (? *-κλεΐην* Lehrs) metro invito ‖ 640 *ὅς*] *ὡς* Ambr. ‖ 641 *οἴῃς*] *οἴῃσιν νηυσὶ* D. Neque praepositio commode omitti potest, neque ferri *-ῃς* pro *-ῃσι*, cf. nº 57. Ecquid **οἶος, sine auxiliis*? an **ἐξ οἴῃσ' ἐν νηυσὶ σὺν ἀνδράσι π.*?

V Ϝιλίου ἐξαλάπαξε πόλιν, ʼχήρωσε δʼ ἀγυιάς·
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀίομαι ἄλκαρ ἔσεσθαι
ἐλθόντʼ ἐκ Λυκίης, οὐδʼ εἰ μάλα καρτερός ἐσσι,
ἀλλʼ ὑπʼ ἐμοὶ δμηθέντα πύλας ἈϜίδαο περήσειν."
τὸν δʼ αὖ Σαρπηδὼν, Λυκίων ἀγὸς, ἀντίον ηὔδα·
„Τληπόλεμʼ, ἦ τοι κεῖνος ἀπώλεσε Ϝίλιον ἱρὴν
ἀνέρος ἀφραδίηφιν ἀγαυοῦ Λαομέδοντος,
ὅς ῥά μιν εὖ Ϝέρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδʼ ἀπέδωχʼ ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
σοὶ δʼ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν — 652 = Λ 443
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δʼ ὑπὸ δουρὶ δαμέντα — 653ᵇ sq. = Λ 444 sq.
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δʼ ἌϜιδι κλυτοπώλῳ." — 654 cf. Π 625
ὣς ʼφάτο Σαρπηδὼν, ὃ δʼ ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος. καὶ τῶν μὲν ὁμαρτῇ δούρατα μακρὰ
ἐκ χειρῶν ἤιξαν· ὃ μὲν ʼβάλεν αὐχένα μέσσον
Σαρπηδὼν, αἰχμὴ δὲ διαμπερὲς ἦλθʼ ἀλεγεινή·
τὸν δὲ κατʼ ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε. — 659 = Ν 580 cf. Χ 466
Τληπόλεμος δʼ ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
ʼβεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμάουσα,
ὀστέῳ ἐγχριμφθεῖσα, πατὴρ δʼ ἔτι λοιγὸν ἄμυνε.
οἳ μὲν ἄρʼ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιʼ· ἐβάρυνε δέ μιν δόρυ μακρὸν
ἑλκόμενον· τὸ μὲν οὔ τις ἐπεφράσατʼ οὐδʼ ἐνόησε
σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δʼ ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
ἐξέφερον πολέμοιʼ· ἐνόησε δὲ δῖος Ὀδυσσεὺς
τλήμονα θυμὸν ἔχων, ʼμαίμησε δέ Ϝοι φίλον ἦτορ·
ʼμερμήριξε δʼ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν, — 671 = δ 117 ω 235 cf. Θ 169 υ 10
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,

---

666 μηροῖʼ ἐκϜερύσαι δόρυ μείλινον, ὄφρʼ ἐπιβαίη,

---

649 ἀφραδίηφιν] -δίῃσιν codd. ‖ 650 ὅς ῥά μιν εὖ] *ὅς μιν ἐὺ? ‖ 656 ὁμαρτῇ D] ἁμ. Ar. ceteri ‖ 657 ἤιξαν Ar. A C D] ἤιξεν Ambr. ‖ 659 *ὀφθαλμώ] -μῶν. Vitium aut peperit hiatus aut subsimilis locutio κατʼ ὀφθαλμῶν ʼκέχυτʼ ἀχλύς (vs. 696 alibi). Cf. Ξ 438 Π 325 ‖ 661 μαιμάουσα nº 191] -ώωσα ‖ 664 *πολέμοιʼ· ἐβάρυνε] -μοιο· βάρυνε ‖ 665 μὲν] l. a. (Ϝ)οι ‖ 666 μηροῖʼ nº 59] μηροῦ. — Damnavit versum vHerwerden, coll. ϑ 94, 533 ‖ 669 *πολέμοιʼ· ἐνόησε] πολέμοιο· νόησε

V ἢ ὅ γ' ἔτι πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο. 673 cf. Κ 506
οὐδ' ἄρ' Ὀδυσσῆι μεγαλήτορι μόρσιμον ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν' ὀξέι χαλκῷ·
τῷ ῥα κατὰ πληθὺν Λυκίων 'τράπε θυμὸν Ἀθήνη.
ἔνθ' ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ' ἔτι πλέονας Λυκίων 'κτάνε δῖος Ὀδυσσεὺς,
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 680ª = Γ 374
'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, 681 = Δ 495
δϝεῖμα φέρων Δαναοῖσ'. ἐχάρη δ' ἄρα ϝοι προσιόντι
Σαρπηδὼν, Διὸς υἱός, ἔπος δ' ὀλοφυδνὸν ἔϝειπε· 683ᵇ = Ψ 102 τ 362
„Πριαμίδη, μὴ δή με ϝέλωρ Δαναοῖσιν ἐάσῃς
κεῖσθαι, ἀτάρ μ' ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλι' ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρα 'μέλλον ἐγώ γε
νοστήσας ϝοῖκόνδε φίλην ἐς πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν."
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη κόρυθ' αἰόλος Ἕκτωρ, 689 = Ζ 342
ἀλλὰ παρήιξεν, λελιημένος ὄφρα τάχιστα
ὤσαιτ' Ἀργεΐους, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
οἳ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
εἷσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέι φηγῷ·
ἐκ δ' ἄρα ϝοι μηροῦ δόρυ μείλινον ὦσε θύραζε
ἴφθιμος Πελάγων, ὅς ϝοι φίλος ἦεν ἑταῖρος.
τὸν δ' ἔλιπε ψυχὴ, κατὰ δ' ὀφθαλμῶν 'κέχυτ' ἀχλύς· 696ᵇ = Π 344 cf. Υ 421ª χ 88ᵇ
αὖτις δ' ἀμπνύθη, περὶ δὲ πνοιὴ Βορέαο
'ζώγρε' ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.

Ἀργέιοι δ' ὑπ' Ἄρηι καὶ Ἕκτορι χαλκοκορυστῇ
οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν

---

673 γ' ἔτι Nauck] γε τῶν, vid. ad Κ 506 ‖ 678] cf. Verg. Aen. IX 767, Ov. Met. XIII 258 ‖ 682 *Δανάοισ'. ἐχάρη] -οισι. χάρη. — ϝοι προσιόντι] Naber μιν προσιόντα, coll. Θ 378; item Ξ 504 Ω 705 β 249 τ 463 ‖ 683 ἔπος] pro ϝέπος. Bentley ingeniose (quamquam parum probabiliter) χάρη δ' ἄρα ϝοι Διὸς υἱὸς | Σαρπηδὼν προσιόντι, ϝέπος etc. ‖ 684 ἐάσῃς] cf. nº 122 ‖ 685 *ἀτάρ μ'(οι)] ἀλλ', vitio metrico, nam κεῖσθαι non spondeum sed trochaeum efficit, vid. nº 17 et cf. vs. 848 Θ 126 Λ 836 Ο 118, 473 Ρ 300 Τ 9 ‖ 686 *πόλι' nº 74] πόλει ‖ 695 Πελάγων] Σελάγων grammaticus quidam ‖ 697 ἀμπνύθη A[1], cf. nº 186] ἀμπνύνθη C D, ἐμπνύνθη schol. Aristarchum praetulisse ἐμ- Didymus ad Χ 475 docet; sed non liquet utrum -ύνθη an -ύθη dederit. Cf. Ξ 436 ‖ 698 'ζώγρε' nº 191] ζώγρει ‖ 700 προτρέποντο Ar. codd.] l. a. -τράποντο. — ἐπὶ Ar. codd.] ἀπὸ error ab Ar. correctus

V οὔτε ποτ' ἀντεφέροντο μάχῃ, ἀλλ' αἰὲν ὀπίσσω
'χάζονθ', ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
ἔνθα τίνα πρῶτον, τίνα δεύτατον ἐξενάριξαν 703 cf. Δ 299 Π [692
Ἕκτωρ τε Πριάμοιο πάις καὶ χάλκεος Ἄρης; 703ᵃ = Θ 273
ἀντίθεον Τεύθραντ', ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ' αἰχμητὴν Αἰτωλὸν Ϝοινόμαόν τε,
Ϝοινοπίδην θ' Ἕλενον καὶ Ὀρέσβιον αἰολομίτρην,
ὅς ῥ' ἐν Ὕλῃ 'ναίεσκε μέγα πλούτοιο μεμηλώς,
λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ Ϝοι ἄλλοι
'ναῖον Βοιωτοί, μάλα πίονα δῆμον ἔχοντες.

τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη 711 = Φ 418 cf. [Η 17
Ἀργεΐους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ, 712 = Η 18
αὐτίκ' Ἀθηναίην Ϝέπεα πτερόεντα προσηύδα· 713 sq. = Φ 419 [sq.
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη, 713 = Δ 69 714 = Β 157
ἦ ῥ' ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ϝίλιον ἐκπέρσαντ' ἐυτειχέα ἀπονέεσθαι, 716 = Β 113
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς." 718 = Δ 418
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη. 719 = Β 166
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἤντυεν ἵππους 720 sq. = Θ 382 sq.
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο· 721 cf. Ξ 194
Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς 'βάλε καμπύλα κύκλα,
χάλκεα, ὀκτώκνημα, σιδηρέῳ ἄξονι ἀμφί.
τῶν ἦ τοι χρυσέη Ϝίτυς ἄφθιτος, αὐτὰρ ὕπερθε
χάλκε' ἐπίσσωτρα προσαρηρότα, θαῦμα Ϝιδέσθαι·
πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθε.
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσι
ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι.
τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλετ'· αὐτὰρ ἐπ' ἄκρῳ

---

703 δεύτατον Naber] δ' ὕστατον. Cf. vs. 17. — ἐξενάριξαν Ar. A C] -ξεν D || 706 Αἰτωλὸν Bentley] Αἰτώλιον || 708 Ὕλῃ] Ὕδῃ Zen. || 716 ἐυτειχέα Nauck] -χεον || 720 *ἤντυεν] ἔντυεν || 722 ὀχέεσσι C] ὀχέεσφι A D vitiose, nam ὄχεσφι dicendum erat || 723 χάλκεα] χάλκεἰ Bentley Bekker. — ὀκτώκνημα Cobet] ὀκτάκνημα. — *ἀμφί] ἀμφίς, cf. nº 316 || 724 χρυσέη] nº 61 || 727 χρυσέοισι] nº 61 || 729 *πέλετ'] πέλεν. Praesens cum intelligeret requiri, utpote „ἐπ' ἀθανάτων", Bentley πέλει scribebat; sed simul pro activi forma restituenda erat medialis, qua una veteres epici usi sunt, cf. nº 275

V 'δῆσε χρύσειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
κάλ' ἔβαλε χρύσει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος καὶ ἀυτῆς.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο, — 733-737 = Θ 384 sqq.
πέπλον μὲν κατέχευε ϝεανὸν πατρὸς ἐπ' οὐδῷ,
ποικίλον, ὅν ῥ' αὐτὴ 'ποιήσατο καὶ 'κάμε χερσίν·
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον 'θωρήσσετο δακρυόεντα.
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετ' αἰγίδα θυσανόεσσαν,
δϝεινήν, ἣν πέρι μὲν πάντῃ φόβος ἐστεφάνωται,
ἐν δ' Ἔρις, ἐν δ' Ἀλκή, ἐν δὲ κρυόεσσα Ϝιωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δϝεινοῖο πελώρου, — 741 cf. λ 634
δϝεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην 'θέτο τετραφάληρον — 743 = Λ 41 [sqq.
χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ' ἀραρυῖαν.
ἐς δ' ὄχεα φλόγεα πόσ' ἐβήσετο, 'λάζετο δ' ἔγχος — 745-752 = Θ 389
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν — 746 sq. = α 100 sq.
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη. — 746ᵃ = Π 141, 802 Τ 388
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι 'μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇσ' ἐπιτετράφαται μέγας οὐρανὸς Οὔλυμπός τε — 750ᵇ cf. Λ 497
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. — 751 cf. λ 525
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
ηὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων — 753ᵇ sq. = Λ 498 sq.
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν' ὕπατον Κρονίδην ἐξήρετο καὶ προσέϝειπε·
„Ζεῦ πάτερ, οὐ νεμεσίζε' Ἄρη τάδε καρτερὰ ϝέργα, — 757 cf. 872
ὀσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν

---

734—736 Zen. —

---

734 *οὐδῷ] οὔδει. Item confusa sunt οὖδας et οὐδός Θ 385 Ω 527 ‖ 736 ἡ δὲ] l. a. ἠδὲ ab Ar. reiecta ‖ 738 θυσανόεσσαν A[1]] θυσσανόεσσαν C D minus recte, cf. nº 21 ‖ 739 ἐστεφάνωται A] -το C D, vid. ad vs. 729 ‖ 744 πολίων A[1]] -εων C D ‖ 745 *πόσ' ἐβήσετο] ποσὶ βήσετο ‖ 746 δάμνησι] Aristarcho δάμνῃσι in schol. tribuitur per errorem ‖ 748 θοῶς] θοῇ P 430 ‖ 750 ἐπιτετράφαται Matro ap. Athen. 134 *f*] -τραπται codd. ‖ 756 ἐξήρετο C] ἐξείρετο ‖ 757 Ζεῦ] ὦ Apoll. lex. i. v. ἀίδηλον. — *νεμεσίζε' nº 117] -ζῃ. — Ἄρη A D] Ἄρει C; utrumque vitiosum, cf. nº 73; verum videtur δρῶν Apoll. lex. — καρτερὰ ἔργα Ar. codd.] ἔργ' ἀίδηλα Apoll. lex. Cf. vs. 872 ‖ 758 ὀσσάτιον] vox alinnde ignota

V μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ' ἄχος; οἳ δὲ ϝέκηλοι 759ª = B 214
τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα ϝοῖδε θέμιστα.
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα
λυγρῶς πεπληγυῖα μάχης ἒξ ἀποδίωμαι;"
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἄγρεε μάν ϝοι ἔπορσον Ἀθηναίην ἀγελείην,
ἥ ϝε μάλιστ' εἴωθε κακῇσ' ὀδύνῃσι πελάζειν."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη, 767 = Θ 381 Ξ 277 Ο 78
'μάστιξεν δ' ἵππους· τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην 768 cf. Θ 45
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος. 769 = Θ 46
ὅσσον δ' ἠεροϝειδὲς ἀνὴρ ἔϝιδ' ὀφθαλμοῖσι
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ ϝοίνοπα πόντον,
τόσσον ἔπι θρῴσκουσι θεῶν ὑψαύχενες ἵπποι.
ἀλλ' ὅτε δὴ Τροίην ἶξον ποταμώ τε ῥέοντε,
ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
λύσασ' ἐξ ὀχέων, περὶ δ' ἠέρα πολλὸν ἔχευε· 776 cf. Θ 50
τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
τὼ δ' ἐβάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι, 778 cf. h. Ap. 114
ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
ἕστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο [sq.
ϝελλόμενοι, λίεσσι ϝεϝοικότες ὠμοφάγοισι 782ᵇ sq. = Η 256
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν, 782ᵇ = Ο 592 783ᵇ = σ 373
ἔνθα στᾶσ' ἤυσε θεὰ λευκώλενος Ἥρη
Στέντορι ϝεισαμένη μεγαλήτορι χαλκεοφώνῳ,

---

763 ἀποδίωμαι] nº 21 || 764] l. a. τὴν δ' αὖτε προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε || 765 ἄγρεε nº 191] ἄγρει. — μάν ϝοι] νῦν μοι Apoll. lex. i. v. ἄγρει || 768 ἀέκοντ'] ἄκοντε meliores || 770 ἠεροϝειδὲς] ἠεροειδέ'(ι) vHerwerden, coll. μ 233; qui tamen locus nostri dissimilis est, neque verborum ordo eius suspicioni favet. — *ἔϝιδ'] ἴδεν || 772 ὑψαύχενες vHerwerden] ὑψηχέες. Redit vocabulum Ψ 27, in quo ὑψ- vix potest explicari, nam alia est ratio compositorum ὑψαγόρης et ὑψιβρεμέτης; praeterea male neglectum est ϝ vocis ϝηχή. Vera lectio extat apud Longinum, et in schol. B ὑψαύχενες· εἰς ὕψος ἀειρόμενοι; l. a. ὑψαυχέες Vind. — Conf. ἐριαύχενες Κ 305 alibi et Ζ 509 ὑψοῦ δὲ κάρη ἔχει || 774 ἦχι (Ar.) C D] ᾗχι A, vid. ad Λ 607 || 776 *πολλὸν nº 83] πουλὺν A C, πολὺν D || 778 τώ schol. Soph. El. 977, OC. 1676, Eur. Alc. 902] αἱ codd. || 782 ϝελλόμενοι Cobet] εἰλόμενοι. — λίεσσι Nauck] λείουσι, cf. nº 74

V ὃς τόσον ηὐδήσασχ᾽ ὅσον ἄλλοι πεντήκοντα·
„αἰδὼς, Ἀργέιοι, κάκ᾽ ἐλέγχεα, Ϝεῖδος ἀγητοί. 787 = Θ 228
ὄφρα μὲν ἐς πόλεμον ᾽πωλέσκετο δῖος Ἀχιλλεὺς,
οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
ᾤχνεσκον· κείνου γὰρ ἐδέδϜισαν ὄβριμον ἔγχος·
νῦν δὲ Ϝεκὰς πόλιος κοίλησ᾽ ἐπὶ νηυσὶ μάχονται.“ 791 = Ν 107
ὣς Ϝειποῦσ᾽ ὤτρυνε μένος θυμόν τε Ϝεκάστου. 792 = 470
Τυδεΐδῃ δ᾽ ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη·
ηὗρε δὲ τόν γε Ϝάνακτα παρ᾽ ἵπποισιν καὶ ὄχεσφι
ἕλκος ἀναψύχοντα, τό μιν ᾽βάλε Πάνδαρος ἰῷ.
ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος
ἀσπίδος εὐκύκλου· τῷ ἐτείρετο, ᾽κάμνε δὲ χεῖρα,
ἂν δ᾽ ἴσχων τελαμῶνα κελαινεφὲς αἷμ᾽ ἀπομόργνυ.
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο ᾽φώνησέν τε·
„ἦ ὀλίγον Ϝοὶ παῖδα ϜεϜοικότα ᾽γείνατο Τυδεύς.
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής,
καί ῥ᾽ ὅτε πέρ μιν ἐγὼ πολεμιζέμεν᾽ οὐκ εἴασκον
οὐδ᾽ ἐκπαιφάσσειν, ὅτε τ᾽ ἤλυθε νόσφιν Ἀχαιῶν
ἄγγελος ἐς Θήβας πολέας μετὰ Καδμεΐωνας·
δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισι Ϝέκηλον,
αὐτὰρ ὃ θυμὸν ἔχων Ϝὸν καρτερὸν, ὡς τὸ πάρος περ,
κούρους Καδμεΐων προκαλίζετο, πάντα δ᾽ ἐνίκα. 807 sq. cf Δ 389 sq.
σοὶ δ᾽ ἦ τοι μὲν ἐγὼ παρά θ᾽ ἵσταμαι ἠδὲ φυλάσσω,
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
ἀλλά σε᾽ ἢ κάματος πολυάιξ γυῖα δέδυκε
ἤ νύ σέ που δϜέος ἴσχει ἀκήριον· οὔ σύ γ᾽ ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο.“
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·

808 ῥηιδίως, τοίη Ϝοι ἐγὼν ἐπιτάρροθος ἦα. 808 cf. 828
808 Ar. om.

786] a quibusdam aberat (schol.). — *ηὐδήσασχ᾽] αὐδήσασχ᾽ || 787 κάκ᾽ ἐλέγχεα] κακελεγχέες Ar., cf. Δ 242. — ἀγητοί] sic et ἄριστοι Ar. || 790 ᾤχνεσκον Cant.] οἴχνεσκον. — ἐδέδϜισαν] ἐδείδισαν || 791 δὲ ἑκὰς Zen. Aristoph. codd.] δ᾽ ἕκαθεν Ar.; cf. Ν 107 || 792 θυμόν τε Bentley] καὶ θυμὸν || 794 γε Ϝάνακτα] γ᾽ ἀπάνευθε Naber || 797 *ἐτείρετο] τείρετο Ar. A[1], τρίβετο C D || 801 μικρὸς] vix Homericum; τυτθὸς Nauck probabiliter || 802 πολεμιζέμεν Vind.] -ζειν. — εἴασκον] n° 142 || 808] ap. Zen. legebatur, cf. Δ 390; propter vs. 805 melius abest || 811 *σε᾽] σευ. — δέδυκε] λέλυκε Vind. || 812 σέ που] *ποθι? || 813 Οἰν.] neglecto Ϝ; Bentley ἱπποδάμοιο coll. Δ 370 || 814] l. a. τὴν δ᾽ αὖτε προσέειπε (βοὴν ἀγαθὸς?) Διομήδης

V „γιγνώσκω σε, θεά, θύγατερ Διὸς αἰγιόχοιο·
τῷ τοι προφρονέως Ϝερέω Ϝέπος οὐδ' ἐπικεύσω.
οὔτε τί με δϜέος ἴσχει ἀκήριον οὔτε τις ὄκνος, 817 cf. Ν 224
ἀλλ' ἔτι σὴν μέμνημαι ἐφετμήν, ἣν ἐπέτειλας.
οὔ μ' εἴας μακάρεσσι θεοῖσ' ἀντικρὺ μάχεσθαι 819ᵇ-821 = 130 sqq.
τοῖσ' ἄλλοισ'· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν' ὀξέι χαλκῷ.
τούνεκα νῦν αὐτός τ' ἀναχάζομαι ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα Ϝαλήμεναι ἐνθάδε πάντας·
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα."
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
„Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ, 826 = 243
μήτε σύ γ' Ἄρηα τό γε δέδϜιθι μήτε τιν' ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάρροθός εἰμι. 828 cf. 808
ἀλλ' ἄγ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχας ἵππους, 829ᵇ = 841
τύψον δὲ σχεδίην μηδ' ἅζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, στυκτὸν κακόν, ἀλλοπρόσαλλον,
ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ 'στεῦτ' ἀγορεύων
Τρωσὶ μαχέσσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται."
ὣς φαμένη Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,
χειρὶ πάλιν Ϝερύσασ'· ὃ δ' ἄρ' ἐμμαπέως ἀπόρουσε.
ἣ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά· μέγα δ' ἔβραχε φήγινος ἄξων
βριθοσύνῃ· δϜεινὴν γὰρ ἄγεν θεὸν ἄνδρα τ' ἄριστον.
'λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
αὐτίκ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχας ἵππους. 841ᵇ = 829
ἤ τοι ὃ μὲν Περίφαντα πελώριον ἐξενάριζε,
Αἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη

838 sq. Ar. —

818 *σὴν... ἐφετμήν, ἣν] σῶν... ἐφετμέων, ἃς codd., σέων Ar.; cf. nº 56. Vera lectio tantum non integra (σὴν ...ἐφετμὴν ἃς) superest in schol. Ζ 129. Conf. Α 495. Accusativum verbo μέμνημαι iunctum habes e. g. Ζ 222 Ι 527 ‖ 819 εἴας] an *ἔαες? de imperfecto cf. vs. 256 ‖ 827 δέδϜιθι] δείδιθι ‖ 831 στυκτὸν vHerwerden, cf. κ 113 λ 502] τυκτόν, quod quid sit docent Μ 105 δ 627 ρ 169, 206 ‖ 833 μαχέσσεσθαι Nauck] -ήσεσθαι, -ήσασθαι, -έσασθαι ‖ 839 τ'] δ' Ar. ‖ 842 et 844 -ενάριζε Ar.] l. a. -ξε

V *'δῦν' Ἄϝιδος κυνέην, μή μιν ϝίδοι ὄβριμος Ἄρης.*
*ὡς δ' ἔϝιδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,*
*ἤ τοι ὃ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασε*
*κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξήνυτο θυμὸν,*
*αὐτὰρ ὃ 'βῆ ῥ' ἰθὺς Διομήδεος ἱπποδάμοιο.*
*οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,* 850 = Γ 15
*πρόσθεν Ἄρης ὠρέξαθ' ὑπὲρ ζυγὸν ἡνία θ' ἵππων*
*ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ἑλέσθαι·*
*καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη*
*ὦσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀιχθῆναι.*
*δεύτερος αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης*
*ἔγχεϊ χαλκείῳ· ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη*
*νείατον ἐς κενεῶνα, ὅθ' ἐζωννύσκετο μίτρην·*
*τῇ ῥά μιν οὖτα τυχὼν, διὰ δὲ χρόα καλὸν ἔδαψε,* 858ᵇ cf. Φ 398
*ἐκ δὲ δόρυ 'σπάσεν αὖτις. ὃ δ' ἔβραχε χάλκεος Ἄρης,*
*ὅσσον τ' ἐννεάχιλοι ἐϝίϝαχον ἢ δεκάχιλοι* 860 sq. = Ξ 148 sq.
*ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος.*
*τοὺς δ' ἄρ' ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε*
*δϝείσαντας· τόσον ἔβραχ' Ἄρης ἄατος πολέμοιο.*
*οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ*
*καύματος ἒξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο,*
*τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης*
*'φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.*
*καρπαλίμως δ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,* 868ᵇ = 367
*πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,* 869ᵃ = 906
*'δεῖξεν δ' ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς,*
*καί ϝ' ὀλοφυρόμενος ϝέπεα πτερόεντα προσηύδα·*
*„Ζεῦ πάτερ, οὐ νεμεσίζε' ὁρῶν τάδε καρτερὰ ϝέργα;* 872 cf. 757
*αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν*
*ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεσσι φέροντες.*

---

846] in A C post 841 legitur ‖ 848 **ἐξήνυτο*] *ἐξαίνυτο* ‖ 852 *ἑλέσθαι* Ambr. A] *ὀλέσσαι* C D ‖ 857 **ὅθ' ἐζωννύσκετο*] *ὅθι ζωνν.* — *μίτρην*] *μίτρῃ* Ar., cf. *Κ* 77 *Ξ* 181 *Ψ* 130; in nonnullis commentariis *στελλέσκετο μίτρῃ* legebatur sec. Didymum, quod sphalma fuisse videtur discipulorum ex Aristarchi ore describentium ‖ 860 *τ'* Ar. codd.] *δ'* Aristoph.; item *Ξ* 148. — *ἐϝίϝαχον* Bentley] *ἐπίαχον* ‖ 863 *ἄατος* Nauck] *ἆτος* ‖ 870 *ὠτειλῆς*] cf. ad *Δ* 140 ‖ 871 **ϝ'*] *ῥ'* ‖ 872 **νεμεσίζε'* nº 117] *-ζῃ*. — *καρτερὰ ϝέργα*] *ἔργ' ἀίδηλα* deter.; cf. vs. 757 ‖ 874 *δ'* Ar. ACD] quidam omittebant, cf. nº 19

V σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ 'τέκες ἄφρονα κούρην,
ὀλομένην, ᾗ τ' αἰὲν ἀήσυλα Ϝέργα μέμηλε.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα Ϝέκαστος·
τὴν δ' οὔτ' ἄρ Ϝέπεϊ προτιβάλλεαι οὔτε τι Ϝέργῳ, 879 cf. h. Cer. 199
ἀλλ' ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀίδηλον·
ἢ νῦν Τυδέος υἱὸν ὑπερφίαλον Διομήδεα
μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ, 883 sq. = 458 sq.
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι Ϝῖσος· 884^b = 438
ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες· ἦ τέ κε δηρὸν
αὐτόθι πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσι,
ἢ ζωός κ' ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι."
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη νεφεληγερέτα Ζεύς·
„μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε.
ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσι· 890 cf. Α 176
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε. 891 = Α 177
μητρός τοι μένος ἐστὶν ἀνάνσχετον, οὐκ ἐπιϜεικτόν,
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῇ δάμνημι Ϝέπεσσι.
τῷ σ' ὀίω κείνης τάδε πασχέμεν' ἐνεσίῃσι.
ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἦ γὰρ ἐμὸν γένος ἐσσί, ἐμοὶ δέ σε 'γείνατο μήτηρ.

---

876 ὀλομένην nº 21] οὐλομένην. — ἀήσυλα] vocabulum obscurum nec nisi h. l. obvium; alibi αἴσυλα (Ε 403 etc). Excidisse particulam (*ἄρ' αἴσυλα?) veri videtur similius quam ἀϜίσυλα cum Christio esse scribendum. Nauck ἀτάσθαλα coniecit || 879 *τὴν δ' οὔτ' ἄρ] ταύτην δ' οὔτ'. Conf. Δ 115. Male Hoffmann οὔτε Ϝέπει, nam monstri simile est Ϝέπει contractum et tamen priscum Ϝ retinens. Melius Christ ταύτην δ' οὐ Ϝέπεϊ, sed οὐ .... οὔτε vix usquam ferendum (vid. Χ 265 ι 147 λ 483 h. Vener. 150) nec certe pluribus locis invehendum || 881 ὑπερφίαλον Ar. A D] ὑπέρθυμον C. — Διομήδεα] nº 73; ecquid *ἢ καὶ ὑπερφίαλον Διομήδεα Τυδέος υἱόν? eadem ratione Δ 365 sanari potest || 885 δηρὸν] pro δϜηρὸν || 886 αὐτόθι nº 322] αὐτοῦ. Ecquid *κεν αὖθι | δϜηρὸν? sed cf. vs. 895 || 887 *ζωός κ'] κεν ζώς vel ζῶς. Nihili sunt formae ζώς et ζών (Π 445); quas non tuetur Phrynichus in Bekk. Anecd. p. 22, neque iure invexerunt editores Χ 332 (Nauck), Aristoph. Av. 1078 (Dindorf, bene refutatus ab HWeil Rév. de Philologie 1882 p. 181), Thesmoph. 77 (Dindorf Meineke). Neque ex ζω-ιός poterat nasci ζώς, neque alia ratione oriri || 892 ἀνάνσχετον vHerwerden] ἀάσχετον. Vocabulum significat οὐκ ἀνεκτόν (Α 573 etc.) sive οὐκ ἀνσχετόν (β 63). Recurrit vitium Ω 708 || 893 δάμνημι Ϝέπεσσι Heyne] δάμνημ' ἐπέεσσι || 894 πασχέμεν Bekker] πάσχειν. — *ἐνεσίῃσι nº 21] ἐννεσίῃσι; prima syllaba metri causa producitur || 895 δηρὸν] pro δϜηρόν; *δϜηρόν σ' ἔτ'? an σε δϜηρὸν? || 896 *ἦ γὰρ ἐμὸν] ἐκ γὰρ ἐμεῦ. Vitiosum est ἐμεῦ pro ἐμεῖο vel ἐμέο, cf. nº 92; correctionem tuentur Ζ 180 Ι 538 etc., quamquam poeta poterat etiam scribere ἐξ ἐμέθεν γένος

V *εἰ δέ τεὲ ἐξ ἄλλου γε θεῶν 'γένε' ὧδ' ἀίδηλος,*
*καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων."*
*ὣς 'φάτο, καὶ Παιήον' ἄνωγέν Ϝ' ἰήσασθαι.*
*τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακ' ἔπασσε.* 900 cf. 401
*ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξε*
*ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιτρέφεται κυκάοντι,*
*ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.*
*τὸν δ' Ἥβη 'λοῦσεν, χαρίεντα δὲ Ϝείματ' ἔϜεσσε·*
*πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.* 906 cf. *Α* 405
*αἳ δ' αὖτις πρὸς δῶμα Διὸς μεγάλοι' ἐνέοντο,* 906ᵃ = 869
*Ἥρη τ' Ἀργεΐη καὶ Ἀλαλκομενηὶς Ἀθήνη,* 908 = *Δ* 8
*παύσασαι βροτολοιγὸν Ἄρη' ἀνδροκτασιάων.*

---

901 *ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.* 901 = 402
906 Ar. —

---

897 *τε'] *τευ.* — *'γένε' nº 117] *γένευ* ‖ 898 *ἐνέρτερος* Ar. codd.] *-τατος* Zen. — *Οὐρανιώνων*] Titanes, Urani filii, in Tartarum detrusi (Hes. Theog. 720 sqq.) significari videntur, neque igitur *οὐρανιώνων* scribendum, quasi de omnibus *coelitibus*, ut ceteris locis homericis, sit dictum. Cf. praeterea *Θ* 14 sqq. et 479 sqq. ‖ 899 **ἄνωγέν Ϝ'*] *ἀνώγειν*, cf. nº 225 ‖ 900 *φάρμακ' ἔπασσε*] *-κα πάσσε* Ar. meliores ‖ 901] deest in C D, neque ferri potest nisi *πάσσε* cum deterioribus codd. in *πάσσων* mutes, Aristarcho invito, quem ignorasse igitur versum aut damnasse patet ‖ 903 *περιτρέφεται* Herodian. Apoll. lex.] *περιστρέφεται* codd. — *κυκάοντι* nº 191] *κυκόωντι* ‖ 905 *'λοῦσεν*] vHerwerden *λόεσεν*, cf. nº 295. — *Ϝείματ' ἔϜεσσε* Bekker] *εἵματα ἕσσε* ‖ 907 **μεγάλοι' ἐνέοντο*] *μεγάλοιο νέοντο* ‖ 908 *Ἀλαλκομενηίς*] cf. ad *Δ* 8 ‖ 909 *Ἄρη'*] *Ἄρην* meliores

# ΙΛΙΑΔΟΣ Ζ.

*Ἕκτορος καὶ Ἀνδρομάχης ὁμιλία. — Γλαύκου καὶ Διομήδους συμβολή* (vs. 119—236).

---

VI Τρώων δ' φώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο,
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα
μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.
Αἴας δὲ πρῶτος Τελαμώνιος, ἕρκος Ἀχαιῶν,
Τρώων 'ρῆξε φάλαγγα, φάος δ' ἑτάροισιν ἔθηκε,
ἄνδρα βαλὼν ὃς ἄριστος ἐνὶ Θρηίκεσσ' ἐτέτυκτο,
υἱὸν 'Ευσσώρου, Ἀκάμαντ' ἠύν τε μέγαν τε.
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης, 9-11 = Δ 459 sqq.
ἐν δὲ μετώπῳ ἔπηξ', ἐπέρησε δ' ἄρ' ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Ἄξυλον δ' ἄρ' ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐϋ κτιμένῃ ἐν Ἀρίσβῃ
ἀφνειὸς βιότοιο, φίλος δ' ἦν ἀνθρώποισι·
πάντας γὰρ 'φιλέεσκεν ὁδῷ ἔπι Ϝοικία ναίων.

---

1 *φώθη] οἰώθη || 4] sic codd. et Aristarchus, certe in editione posteriore. Vulgata ante eum lectio, quam etiam in Commentariis suis fuerat secutus, erat *μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης.* Quod nunc legitur ubi invenerit nescimus, sed de coniectura ab eo invectum esse non est credibile; magis autem ab eo probabatur utpote *τοῖς τοῦ ναυστάθμου τόποις* melius accommodatum. Chaeris *μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος*, quae coniectura esse videtur, excogitata ad conciliandam alteram lectionem cum Aristarchi opinione || 6 *φάος* nº 71] *φόως* || 7 **Θρηίκεσσ' ἐτέτυκτο*] *Θρήκεσσι τέτυκτο.* De *Θρηίκεσσ'* cf. nº 17 || 10 **ἔπηξ', ἐπέρησε*] *πῆξε, πέρησε* || 14 *ἦν*] *ἔεν* LMeyer

VI ἀλλά ϝοι οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον
πρόσθεν ὑπαντιάσας, ἀλλ' ἄμφω θυμὸν ἀπέϝρα,
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ' ἵππων
ἦσκεν ὑφηνίοχος· τὼ δ' ἄμφω γαῖαν ἐδύτην.
Δρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξε·
'βῆ δὲ μετ' Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
νηὶς Ἀβαρβαρέη 'τέκ' ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ' ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος
πρεσβύτατος γενεῇ, σκότιον δέ ϝε 'γείνατο μήτηρ.
ποιμαίνων ϝ' ἐπ' ὄεσσ' ἐμίγη φιλότητι καὶ εὐνῇ,
ἡ δ' ὑποκυσαμένη διδυμάονε 'γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
Μηκιστηιάδης καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα.
Ϝαστύϝαλον δ' ἄρ' ἔπεφνε μενεπτόλεμος Πολυποίτης·
Πιδύτην δ' Ὀδυσεὺς Περκώσιον ἐξενάριξε
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ' Ἀρετάονα δῖον.
Ἀντίλοχος δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεστορίδης, Ἔλατον δὲ ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
'ναῖε δὲ Σατνιόεντος ἐυρρείταο παρ' ὄχθας
Πήδασον αἰπεινήν. Φύλακον δ' ἕλε Λήιτος ἥρως
φεύγοντ'· Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξε.
Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ζωὸν ἕλ'· ἵππω γάρ ϝοι ἀτυζομένω πεδίοιο
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
ϝάξαντ' ἐν πρώτῳ ῥυμῷ, αὐτὼ μὲν ἐβήτην
πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι 'φοβέοντο, 41 cf. Φ 4
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη 42 = Ψ 394
πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα. πὰρ δέ ϝοι ἔστη
Ἀτρεΐδης Μενέλαος ἔχων δολιχόσκιον ἔγχος.
Ἄδρηστος δ' ἄρ' ἔπειτα λαβὼν ἐλλίσσετο γούνων·
„ζώγρεε, Ἀτρέος υἱὲ, σὺ δ' ἄξια δέξε' ἄποινα. 46 = Λ 131
πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται, 47 cf. Λ 132

17 ἀπέϝρα nº 150] ἀπηύρα ‖ 19 *ἦσκεν] ἔσκεν ‖ 21 Πήδασον] l. a. Πήρεχον, Τήρεχον ‖ 23 ἦν] ἔεν LMeyer ‖ 25 *ϝ'(οι)] δ'. — *ὄεσσ' ἐμίγη] ὄεσσι μίγη. De ὄεσσι cf. nº 74 ‖ 34 'ναῖε δὲ] ὃς ναῖε Zen., item Ν 172; quod κακόφωνον esse Ariston. minus recte contendit, cf. nº 17 ‖ 35 Φύλακον] Σχέδιον Herodian. ‖ 41 περ οἱ] *τέ περ? ‖ 46 ζώγρεε nº 17 et 191] ζώγρει; an *ζώγρεέ μ'? — *δέξε'(αι)] δέξαι. Cf. Κ 378

VI χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος· 48 = K 379 Λ 133 φ 10 cf. ξ 324
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσἰ ἄποινα, 49 = Λ 134 cf. K 380
εἴ περ ἐμὲ ζῳὸν πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν." 50 = K 381 cf. Λ 135
ὣς 'φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε· 51 cf. B 142
καὶ δή μιν τάχ᾽ ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν Ϝῷ θεράποντι καταξέμεν, ἀλλ᾽ Ἀγαμέμνων
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας Ϝέπος ηὔδα·
„ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ Ϝοῖκον
πρὸς Τρώων· τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον 57b = μ 287 cf. ι 286
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέρει, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ϝιλίου ἐξαπολοίατ᾽ ἀκήδεστοι καὶ ἄφαντοι."
ὣς Ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως, 61 = H 120 N 788
αἴσιμα παρϜειπών, ὃ δ' ἀπὸ Ϝέθεν ὤσατο χειρὶ
ἥρῳ' Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην, ὃ δ' ἀνετράπετ᾽, Ἀτρεΐδης δὲ 64a = Ξ 447, 517
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
Νέστωρ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀύσας·
„ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 67 = B 110
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε
μιμνέτω, ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ Ϝέκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας."
ὣς Ϝειπὼν ὤτρυνε μένος θυμόν τε Ϝεκάστου. 72 = E 470
ἔνθα κεν αὖτε Τρῶες Ἄρηι φίλων ὑπ᾽ Ἀχαιῶν 73 sq. = P 319 sq. 73b sq. cf. P 336 sq.
Ϝίλιον εἰσανέβησαν ἀναλκίηφι δαμέντες,
εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι 'Ϝεῖπε παραστὰς
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ᾽ ἄριστος· 76b = Λ 69
„Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμι μάλιστα

50 *περ] κεν, quod h. l. et K 381 male abundat, neque legitur loco parallelo Λ 135; cf. I 445 ‖ 51 ἔπειθε] A D, ὄρινε C ‖ 54 ἀντίος Ar.] ἀντίον Zen. Cf. Λ 94, 129, 553 O 694 ‖ 59 φέρει Ven.] φέροι ‖ 61 παρέπεισεν A] ἔτρεψεν C D; Naber ἔστρεψεν, coll. O 203 Y 248. — ἀδελφεόο Ahrens] ἀδελφειοῦ, cf. nº 59 ‖ 71] sic Ar. codd.; Zen. Τρώων ἂμ πεδίον συλήσομεν ἔντεα νεκρούς. — τεθνηῶτας Ar.] -ειῶτας ‖ 72 θυμόν τε Bentley] καὶ θυμὸν ‖ 74 ἀναλκίηφι Nauck] -κίῃσι A, -κείῃσι C D ‖ 76] sic Ar. codd.; etiam μάντις τ' οἰωνοπόλος τε ut Aristarcheam lectionem proferebat Ammonius ‖ 77 *ὔμι] ὔμμι A, ὔμμι C D

VI *Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ᾽ ἄριστοι*
*πᾶσαν ἐπ᾽ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,*
*στῆτ᾽ αὖθι, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων*
*πάντῃ ἐποιχόμενοι, πρίν γ᾽ αὖτ᾽ ἐν χερσὶ γυναικῶν*
*φεύγοντας πεσέμεν, δηίοισι δὲ χάρμα γενέσθαι.*
*αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,*
*ἧμες μὲν Δαναοῖσι μαχεσσόμεθ᾽ αὖθι μένοντες,*
*καὶ μάλα τειρόμενοί περ, — ἀναγκαίη γὰρ ἐπείγει —*
*Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, Ϝειπὲ δ᾽ ἔπειτα*
*μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιὰς*
*νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλ᾽ ἄκρῃ,*
*[οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,]*
*πέπλον, ὅ Ϝοι δοκέει χαριέστατος ἠδὲ μέγιστος* 90-92 cf. 271 sqq.
*ἔμμεν᾽ ἐνὶ μεγάρῳ καί Ϝοι πολὺ φίλτατος αὐτῇ,*
*θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,* 92 cf. 303
*καί Ϝοι ὑποσχέσθαι δύο καὶ δέκα βοῦς ἐνὶ νηῷ* 93-97 = 274 sqq. 93ᵇ = 308
*ἤνιδας ἠκέστας ἱερευσέμεν᾽, αἴ κ᾽ ἐλεήσῃ* 94 cf. 309
*Ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα·* 95 = 310
*ὥς κεν Τυδέος υἱὸν ἀπόσχῃ Ϝιλίου ἱρῆς,*
*ἄγριον αἰχμητὴν, κρατερὸν μήστωρα φόβοιο,*
*ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημὶ γενέσθαι.*
*οὐδ᾽ Ἀχιλῆά ποθ᾽ ὧδέ γ᾽ ἐδέδϜιμεν, ὄρχαμον ἀνδρῶν,*
*ὅν πέρ φασι θεᾶς ἒξ ἔμμεναι· ἀλλ᾽ ὅδε λίην*
*μαίνεται· οὔ τίς Ϝοι δύναται μένος ἰσοφαρίζειν."*

---

80 **αὖθι* nº 322] *αὐτοῦ* ‖ 81 *πρίν γ᾽* Nauck] *πρίν*, quae particula in thesi corripitur; cf. nº 18. Redit vitium *I* 403 *N* 172 *Π* 322, 840 *X* 156 *δ* 668 ‖ 82 *πεσέμεν* nº 126] *πεσέειν.* — *δηίοισι*] nº 17 ‖ 84 **ἧμες*] *ἡμεῖς.* — *μαχεσσόμεθ᾽* Nauck] *μαχησόμεθ᾽* ‖ 88 **πόλ᾽* nº 74] *πόλει* ‖ 89] vere observant scholia BLV abundare versum (et praecedentem); commodius aberit, talia enim apte *describuntur*, non *mandantur*; nec infra 270 redit. Ex vs. 298 fluxisse videtur. — *οἴξασα*] de forma contracta cf. nº 241 ‖ 90 *ὅ* Bentley] *ὅς* ‖ 91 *ἔμμεν᾽* nº 125] *εἶναι* ‖ 92 *θεῖναι*] nº 125. — *ἐπὶ*] *sedentem* igitur fingi deam non recte negabat Aristarchus, *ἐπί* pro *παρά* dictum esse (ut *ζ* 52 *η* 153) contendens. Cf. Strab. XIII 601. Deorum signa in homericis nonnisi hoc loco commemorantur ‖ 94 *ἤνιδας* Sitzler] *ἦνις*. Adiectivum nonnisi h. l. (= vs. 275, 309) et *K* 292 (= *γ* 383) occurrit; necessariam esse correctionem ex ultimis binis locis apparet. — *ἐλεήσῃ*] nº 122 ‖ 96 *ὥς* Ar.] *αἴ* ‖ 99 *ἐδέδϜιμεν*] *ἐδείδιμεν* ‖ 101 *οὐ* Bentley] *οὐδέ*. — *ἰσοφαρίζειν*] recurrit hoc verbum *I* 390 *Φ* 194, 411; admittit Ϝ, non poscit, *I* 390, respuit ceteris locis. Idem significat *ἀντιφερίζειν* *Φ* 357, 488 et l. a. *Φ* 411, quod tamen sine causa idonea pro *ἰσοφαρίζειν* substituerunt Bentley (Heyne) Bekker Nauck Christ

VI ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι κασιγνήτῳ ἀπίθησε,
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, 103-106 = E 494 sqq.
πάλλων δ' ὀξέε δοῦρε κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθ', ἤγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ' ἐϝελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργέιοι δ' ὑπεχώρησαν, 'λῆξαν δὲ φόνοιο,
'φὰν δέ τιν' ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν· ὣς ἐϝέλιχθεν. [346
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας· 110 = Θ 172 Ο
„Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι, 111 = I 233 cf. Λ 564
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς, 112 = Θ 174 Λ 287 Ο 487 etc.
ὄφρα κ' ἐγὼ βήω προτὶ Ϝίλιον ἠδὲ γέρουσι
ϝείπω βουλευτῇσι καὶ ἡμετέρῃσ' ἀλόχοισι
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας."
ὣς ἄρα φωνήσας ἀπέβη κόρυθ' αἰόλος Ἕκτωρ· 116 = 369 P 188
ἀμφὶ δέ μιν σφύρ' ἔτυπτε καὶ αὐχένα δέρμα κελαινὸν,
ἄντυξ ἣ πυμάτη 'θέεν ἀσπίδος ὀμφαλοέσσης.

---

Γλαῦκος δ', Ἱππολόχοιο πάις, καὶ Τυδέος υἱὸς 119a = H 13
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι. 120 = Γ 159 cf. Ψ 814
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 121 = Γ 15
τὸν πρότερος προσέϝειπε βοὴν ἀγαθὸς Διομήδης·
„τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων; 123a = O 247
οὐ μὲν γάρ ποτ' ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων
σῷ θράσεϊ, ὅ τ' ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας.

---

104 *ὀξέε δοῦρε] ὀξέα δοῦρα, Bekker ὀξέα δοῦρε, cf. E 495 ‖ 105 *μαχέσασθ', ἤγειρε] -σθαι, ἔγειρε. — φύλοπιν] *φυλόπιδ'? cf. nº 66 ‖ 106 ἐϝελίχθησαν Cobet] ἐλελίχθησαν ‖ 109 ἐϝέλιχθεν Cobet] ἐλέλιχθεν ‖ 112] sic Ar. codd.; Zen. ἀνέρες ἔστε θοοὶ καὶ ἀμύνετον ἄστεϊ λώβην. Quae lectio, si restituatur pluralis ἀμύνετε pro absurdo duali (vid. nº 52), et corrigatur φίλοι pro θοοί, quod ex literarum Φ et Θ confusione natum est (cf. ad Α 299), videtur esse probanda: *ἀνέρες ἔστε, φίλοι, καὶ ἀμύνετε ϝάστεϊ λώβην ‖ 113 ὄφρα κ'] ὄφρ' ἄν, Ar. utrumque. — βήω nº 122] βείω ‖ 117 *σφύρ' ἔτυπτε] σφυρὰ τύπτε ‖ 118 'θέεν] *ἔθε'? ‖ 119] nonnulli grammatici (qui?) alium locum (quem?) assignabant colloquio quod sequitur, ut dicit Aristonicus. Aperte cum E 827 sq. pugnant vs. 129 sqq. ‖ 120 ἀμφοτέρων] -ρω A, fortasse recte; cf. Ψ 814 ‖ 121 ἰόντες] ἰόντε Zen. Aristoph. Ar. (?) ‖ 123 σύ ἐσσι] hiatus vix ferendus, cf. nº 15; Bentley σύ γ', cf. Λ 787 O 247 ‖ 124] σε, quo aegre caremus, post μάχῃ inserebat vHerwerden, loco tamen minus commodo ‖ 126 θράσεϊ IMenrad] θάρσει, cf. nº 71. HRoehl θάρσεϊ σῷ (ut H 153)

VI δυστήνων δέ τε παῖδες ἐμῷ μένεϊ ἀντιάουσι. 127 = Φ 151
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθας, 128 cf. η 199
οὔ κεν ἐγώ γε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός, κρατερὸς Λυκόϝοργος,
δϝὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζε·
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
'σεῦε κατ' ἠγάθεον Νυσήιον· αἳ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνου Λυκοϝόργου
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
'δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ
δεδϝιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.
τῷ μὲν ἔπειτ' ὀδύσαντο θεοὶ ῥεῖα ζώοντες,
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάις· οὐδ' ἄρ' ἔτι δϝὴν
ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσι.
οὐδέ κ' ἐγὼ μακάρεσσι θεοῖσ' ἐθέλοιμι μάχεσθαι.
εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσι,
ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πεῖραθ' ἵκηαι." 143 = Υ 429
τὸν δ' αὖθ' Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·
„Τυδεΐδη μεγάθυμε, τίη γενεήν μ' ἐρεείνεις; 145 cf. Φ 153
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθάουσα φύει, ϝέαρος δ' ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύεθ', ἣ δ' ἀπολήγει.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ ϝείδῃς, — 150 sq. = Υ 213 [sq.
ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο· 150 cf. Φ 487

151 ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι

127 *μένε' n° 71] μένει. — ἀντιάουσι n° 191] -όωσι || 128 οὐρανοῦ] -νὸν Ar. — εἰλήλουθας] cf. n° 160 || 129 *οὔ κεν] οὐκ ἂν || 130 υἱός] n° 17. — ΛυκόϝοργοςΛυκόϝεργος Bentley Bekker; item vs. 134 Η 142, 144, 148 || 131 ἦν] ἔεν LMeyer (at cf. vs. 140). — ἐπουρανίοισιν ἔριζε] *-νίοισ' ἤριζε? || 134 ἀνδροφόνου Λυκούργου Nauck] -νοιο Λυκούργου. Cf. vs. 130; contracta forma nonnisi h. l. occurrit || 135 φοβηθείς] χολωθεὶς Zen. || 137 δεδϝιότα] δειδιότα || 141 *οὐδέ κ'] οὐδ' ἂν || 143 πεῖραθ'] cf. Η 402 Μ 79 Υ 429 χ 33, 41. Ex ε 289 fortasse liquet πεῖραρ sex his locis legendum esse, ut Zen. et Aristoph. revera legebant Μ 79 || 144 προσηύδα] -δαε? cf. n° 191 || 145 *γενεήν μ'] γενεήν. Cf. α 220 || 148 τηλεθάουσα n° 191] -όωσα. Aristoph. τηλεθόωντα (non recte). — ὥρη] ὥρῃ Aristoph. A (male) || 149 *φύεθ'] φύει || 150 ϝείδῃς n° 122] εἰδῇς || 151] damnavit Bentley propter obiectum post ὄφρ' ἐὺ ϝείδῃς additum contra poetae morem, et digamma in ϝίσασι neglectum. Si genuinus esset, conicere posses δ' ἄνδρες ϝε ϝίσασι; Heyne δὲ ϝίσασί μιν ἄνδρες, metro invito

VI ἔνθα δὲ Σίσυφος ἦσκεν, ὃ κέρδιστος 'γένετ' ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὃ δ' ἄρα Γλαῦκον 'τέκεθ' υἱόν,
αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπασαν. αὐτάρ Ϝοι Προῖτος κακὰ 'μήσατο θυμῷ,
ὅς Ϝ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ Ϝοι ὑπὸ σκήπτρῳ ἐδάμασσε.
τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια,
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
'πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην.
ἣ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
τεθναίης, ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ. —
ὣς 'φάτο, τὸν δὲ Ϝάνακτα χόλος 'λάβεν, οἷον ἄκουσε.
κτεῖναι μέν Ϝ' ἀλέειν', ἐσεβάσσατο γὰρ τό γε θυμῷ,
'πέμπε δέ μιν Λυκίηνδ', ἔπορεν δ' ὅ γε σήματα λυγρά,
γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ' ἤνωγεν Ϝῷ πενθερῷ, ὄφρ' ἀπόλοιτο.
αὐτὰρ ὃ 'βῆ Λυκίηνδε θεῶν ὑπ' ἀμύμονι πομπῇ.
ἀλλ' ὅτε δὴ Λυκίην ἷξε Ξάνθον τε ῥέοντα,
προφρονέως μιν ἔτιε Ϝάναξ Λυκίης εὐρείης·
ἐννῆμαρ 'ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσε.
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος ἠώς,
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα Ϝιδέσθαι,
ὅττι ῥά Ϝοι γαμβροῖο πάρα Προίτοιο φέροιτο.
αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην Ϝ' ἐκέλευσε
πεφνέμεν'. ἣ δ' ἄρ' ἔην θεῖον γένος οὐδ' ἀνθρώπων,

153 *ἦσκεν] ἔσκεν ‖ 155 ἔτικτεν libri] τίκτεν Ar. — Βελλεροφόντην] 'Ελλεροφόντην Zen. si fides habenda est Eustathio dubitanter asseveranti ad *B* 569. De Bellerophonte, qui apud Homerum nonnisi h. l. commemoratur, adeundus est Pindar. Ol. 13, 90-131 ‖ 157 κακὰ μήσατο Ar.] κάκ' ἐμήσατο ‖ 158 *Ϝ'] ῥ' ‖ 159 Ϝοι] μιν A ‖ 164 Προῖτ'] Πρόϊτος verum esse nomen et hunc igitur versum corruptum esse statuit Nauck; quod si certum esset, τεθναίης Πρόιτος posset corrigi; Nauck admodum dure τεθναίης Πρόιτ' ἠὲ κατάκτανε. — κάκτανε] nº 10 ‖ 167 *Ϝ'] ῥ' ‖ 170 *ἤνωγεν nº 225] ἠνώγειν Ar. A, -γει C D ‖ 173 ἔτιε Bekker] τῖεν ‖ 174 'ξείνισσε] ξείνιζε Ar. in altera ed. ‖ 176 μιν] vide ad *E* 385 ‖ 179 *Ϝ' ἐκέλευσε] Ϝε κέλευσεν Bekker, ἐκέλευσε codd.

VI *πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,*
*δϝεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.*
*καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας,*
*δεύτερον αὖ Σολύμοισ' ἐμαχέσσατο κυδαλίμοισι·*
*καρτίστην δὴ τήν γε μάχην 'φάτο δύμεναι ἀνδρῶν.*
*τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.*
*τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·*
*κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους* 188 sq.* cf. δ 530 sq.
*εἷσε λόχον· τοὶ δ' οὔ τι πάλιν ϝοῖκόνδ' ἐνέοντο·*
*πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.*
*ἀλλ' ὅτε δὴ 'γίγνωσκε θεοῦ γόνον ἠὺν ἐόντα,*
*αὐτόθι μιν κατέρυκ', ἐδίδου δ' ὅ γε θυγατέρα ϝήν,* 192 = Λ 226
*'δῶκε δέ ϝοι τιμῆς βασιληίδος ἥμισυ πάσης·*
*καὶ μέν ϝοι Λύκιοι τέμενος 'τάμον ἔξοχον ἄλλων,*
*καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο.* 195 = Μ 314 cf. Υ 185
*ἣ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,*
*Ϝίσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.*
*Λαοδαμείῃ μὲν παρελέξατο μητιέτα Ζεύς,*
*ἣ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν·*
*Ϝίσανδρον δέ ϝοι υἱὸν Ἄρης ἄατος πολέμοιο*
*μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισι·*
*Ἱππόλοχος δ' ἔμ' ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι·*
*'πέμπε δέ μ' ἐς Τροίην, καί μοι μάλα πόλλ' ἐπέτελλε*
*αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,* 208 = Λ 784
*μηδὲ γένος πατέρων αἰσχυνέμεν', οἳ μέγ' ἄριστοι*
*ἔν τ' Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.*
*ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.”* 211 = Υ 241

*ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσι,*
*ἤ τοι ὃ κὰπ πεδίον τὸ Ἀλήιον οἶος ἀλᾶτο*
*ϝὸν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,*
*τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.*

181] miras de Chimaera nugas refert Plutarch. Moral. 148 ‖ 184 **Σολύμοισ' ἐμαχέσσατο*] *-μοισι μαχέσσατο* ‖ 187 *ἀνερχομένῳ* Ar. codd.] l. a. *ἀπερχομένῳ*. Cf. Δ 392. — *δόλον*] *λόχον* A ‖ 192 *αὐτόθι* n° 322] *αὐτοῦ*. — *κατέρυκ', ἐδίδου δ'*] **κατέρυκε διδούς*? ‖ 195 *πυροφόροιο* A] *ὄφρα νέμοιτο* C D, cf. Υ 185 ‖ 200-202 et 205] Koechly et Christ merito secluserunt. — Vs. 200] Aristoteles affert Problem. 30, 1 (qui *αὐτὰρ ἐπεὶ* scribit) ‖ 201 *τὸ Ἀλήιον*] hiatus non ferendus nisi *Ϝαλήιον* fuit; sed ipse articulus melius abesset, et *Ἀλήιον* nomen aliunde non est cognitum. Vid. tamen Herod. VI 95 ‖ 203 *Ϝίσανδρον*] *Πείσανδρον* Strab. XII 573, XIII 631. — *ἄατος* Nauck] *ἆτος* ‖

VI ὣς 'φάτ', ἐγήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης.
ἔγχος μὲν κατέπηξεν ἐνὶ χθονὶ πολυβοτείρῃ,
αὐτὰρ ὃ μειλιχίοισι προσηύδα ποιμένα λαῶν·
„ἦ ῥά νύ μοι ξεῖνος πατρώιός ἐσσι παλαιός,
Ϝοινεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
'ξείνισ' ἐνὶ μεγάροισιν ἐϜείκοσιν ἤματ' ἐρύξας.
οἳ δὲ καὶ ἀλλήλοισ' ἔπορον ξεινήια καλά·
Ϝοινεὺς μὲν ζωστῆρ' ἐδίδου φοίνικι φαεινόν, 219b = H 305
Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον,
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ' ἐμοῖσι.
τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
εἰμί, σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι.
ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι 227b = Σ 229
κτεινέμεν, ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχήω,
πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι.
τεύχεα δ' ἀλλήλοισ' ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
γνώωσ' ὃ ξεῖνοι πατρώιοι εὐχόμεθ' εἶναι."
ὣς ἄρα φωνήσαντε, καθ' ἵππων ἀίξαντε,
χεῖράς τ' ἀλλήλων 'λαβέτην καὶ 'πιστώσαντο.
ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε' ἄμειβε
χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.

---

Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανε, 237 cf. I 354 Λ 170
ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι 'θέον ἠδὲ θύγατρες
εἰρόμεναι παῖδάς τε κασιγνήτους τε Ϝέτας τε
καὶ πόσιας· ὃ δ' ἔπειτα θεοῖσ' εὔχεσθαι ἄνωγε

---

222 Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
κάλλιφ', ὅτ' ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.

---

212 *'φάτ', ἐγήθησεν] φάτο, γήθ. || 213 ἐνὶ Bekker] ἐπί. — πολυβοτείρῃ D] πουλυβοτείρῃ; cf. nº 21 || 214 προσηύδα] -δαε? nº 191 || 217 ξείνισ' ἐνὶ CD] ξείνισεν ἐν A || 218 *ἀλλήλοισ' ἔπορον] ἀλλήλοισι πόρον || 219 *ζωστῆρ' ἐδίδου] ζωστῆρα δίδου || 220 χρύσεον] cf. nº 61 || 222 sq.] in schol. merito vocantur ἄτοποι. Videntur nati esse ex errore interpolatoris, μιν non ad δέπας referentis sed ad Ϝοινεύς || 226 ἔγχεα δ' ἀλλήλων Ar. A] ἔγχεσι D, (ἔγχεσι δ') ἀλλήλους Zen. || 228 κτεινέμεν Nauck] κτείνειν. — κιχήω nº 122] κιχείω || 229 κε δύνηαι Ar. codd.] *κεν ἴκηαι? || 231 *γνώωσ' ὃ] γνῶσιν ὅτι, cf. nº 122 || 237 πύργον A] φηγὸν CD || 240 *ἄνωγε nº 225] ἀνώγει

VI πάσας ἑξείης· πολλῇσι δὲ κήδε' ἐφῆπτο.
ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,
ξεστῇσ' αἰθούσῃσι τετυγμένον, αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο,
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες
κοιμῶντο Πριάμοιο παρὰ μνηστῇσ' ἀλόχοισι.
κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο,
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃσ' ἀλόχοισι.
ἔνθα Ϝοι ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐσάγουσα, θυγατρῶν Ϝεῖδος ἀρίστην· 252 cf. Γ 124
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 253 = 406 Ξ 232 Τ 7 etc.
„τέκνον, τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;
ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες Ἀχαιῶν
μαρνάμενοι περὶ Ϝάστυ, σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκε
ἐλθόντ' ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
ἀλλὰ μέν', ὄφρα κέ τοι μελιϜηδέα Ϝοῖνον ἐνείκω,
ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοισ' ἀθανάτοισι
πρῶτον, ἔπειτα δέ κ' αὐτὸς ὀνήεαι, αἴ κε πίῃσθα.
ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα Ϝοῖνος ἀέξει,
ὡς τύνη κέκμηκας ἀμύνων σοῖσι Ϝέτῃσι."
τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ· 263 = 359
„μή μοι Ϝοῖνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσῃς, μένεος δ' ἀλκῆς τε λάθωμαι· 265ᵇ cf. Χ 282
χερσὶ δ' ἀνίπτοισιν Διὶ λειβέμεν' αἴθοπα Ϝοῖνον
ἅζομαι· οὐδέ πῃ ἔστι κελαινεφέι Κρονίωνι

---

241 πάσας Ar. codd.] l. a. πᾶσι μάλ' ‖ 244 ἔνεσαν Ar. AD] ἔσαν C ‖ 246 παρὰ μνηστῇσ'] l. a. παρ' αἰδοίῃσ' ‖ 250 παρ' αἰδοίῃσ' Ar. codd.] l. a. παρὰ μνηστῇσ'. Bis idem legendum esse probabile videtur; sed utrum praestet adiectivum quis dicat, neque constat quid Ar. de vs. 246 censuerit ‖ 252 ἐσάγουσα] absurdum est quod contendunt schol. et Hesych. i. v. ἀγυιά, hoc significare εἰσιοῦσα εἰς τὴν τῆς Λαοδίκης. Si sanum est verbum, sensus est *intrare iubens suas aedes*; sed foras potius progredi videtur Hecuba e sua domo, itaque vitium inesse veri simile est; *ἄμ' ἄγουσα? ‖ 254 εἰλήλουθας] cf. nº 160 ‖ 256 μαρνάμενοι] -νους vHerwerden ‖ 259 σπείσῃς] cf. nº 122 ‖ 260 κ' αὐτὸς Ptolem. Ascal. et C] καὐτὸς AD, καὶ αὐτὸς Athen. II 35 c. — *ὀνήεαι] ὀνήσεαι. Cf. nº 122 ‖ 265 ἀπογυιώσῃς] cf. nº 122. — δ'] in bonis libris deest, nec legisse videtur Plato (vid. Cratyl. p. 415 a). Non tamen omittendum esse ex Χ 282 apparere monuit Cobet ‖ 266 ἀνίπτοισιν Ar. codd.] -τῃσιν Zen. — λειβέμεν Bekker] λείβειν

VI αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάεσθαι. 268a = χ 402 ψ 48
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης 269 = 279
ἔρχεο σὺν θυέεσσιν, ἀϜολλίσσασα γεραιάς·
πέπλον δ', ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος 271-273 cf. 90 sqq.
ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,
καί Ϝοι ὑποσχέσθαι δύο καὶ δέκα βοῦς ἐνὶ νηῷ 274-278 = 93 sqq.
ἤνιδας ἠκέστας ἱερευσέμεν', αἴ κ' ἐλεήσῃ
Ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα·
ὥς κεν Τυδέος υἱὸν ἀπόσχῃ Ϝιλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο.
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης 279 = 269
ἔρχ'· ἐγὼ δὲ Πάριν μετελεύσομαι, ὄφρα καλέσσω,
αἴ κ' ἐθέλῃ Ϝειπόντος ἀκουέμεν'. ὥς δέ Ϝοι αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν 'Ολύμπιος ἔτρεφε πῆμα
Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισί.
εἰ κεῖνόν γε Ϝίδοιμι κατελθόντ' "ΑϜιδος εἴσω,
φαίην κεν φίλον ἦτορ ὀιζύος ἐκλελαθέσθαι."
ὣς ἔφαθ', ἣ δὲ μολοῦσα ποτὶ μέγαρ' ἀμφιπόλοισι
'κέκλετο· ταὶ δ' ἄρ' ἀϜόλλισσαν κατὰ Ϝάστυ γεραιάς.
αὐτὴ δ' ἐς θάλαμον κατεβήσετο κηώεντα, 288 cf. Ω 191 ο 99
ἔνθα Ϝ' ἔσαν πέπλοι, παμποίκιλα Ϝέργα γυναικῶν 289 cf. ο 105
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοϜειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλοὺς εὐρέα πόντον
τὴν ὁδὸν ἣν 'Ελένην περ ἀνήγαγεν εὐπατέρειαν.
τῶν ἕν' ἀειραμένη Ϝεκάβη 'φέρε δῶρον Ἀθήνῃ, 293 cf. ο 106
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος, 294 sq. = ο 107 sq.
ἀστὴρ δ' ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
'βῆ δ' ἴμεναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί.

---

268 εὐχετάεσθαι n° 191] -άασθαι ‖ 275 ἤνιδας Sitzler] ἦνις; cf. vs. 94. — ἐλεήσῃ] -σει deter., cf. n° 122 ‖ 277 *ὥς] αἴ, sed vid. vs. 96 ‖ 280 *ἔρχ' n° 117] ἔρχευ A C, ἔρχεο D ‖ 281 ἐθέλῃ Heyne] ἐθέλῃσ'. — δέ Bekker] κε ‖ 285 φίλον ἦτορ Zen.] φρέν' ἄτερ που Ar. A, quod sensum vix praebet; ἀτέρπου (male pro ἀτερπέος) C D; Nauck ἄφαρ που. Aut Zenodotea lectio genuina est, aut gravius vitium latet ‖ 288] ἣ δ' εἰς οἶκον ἰοῦσα παρίστατο φωριαμοῖσι Ambr., l. a. ab Aristarcho commemorata (= ο 104b) ‖ 289 ἔνθα Ϝ' ἔσαν vGendt] ἔνθ' ἔσαν οἱ Ar. codd. Cf. ο 105 et 556. — παμποίκιλα Ven.] παμποίκιλοι; cf. Ι 128 ‖ 290 τάς] ἅς Ambr. Strab. I 41. Welcker τούς ‖ 291 ἐπιπλοὺς vHerwerden] -πλώς. Cf. schol. Γ 47 et n° 185 ‖ 296 ἴμεναι n° 125] ἰέναι

VI αἳ δ' ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλι' ἄκρῃ,
τῇσι θύρας ὤιξε Θεανὼ καλλιπάρῃος,
Κισσηὶς, ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·
τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν.
αἳ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον.
ἣ δ' ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
'θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο, 303 cf. 92
εὐχομένη δ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
„πότνι' Ἀθηναίη, ῥυσίπτολι, δῖα θεάων,
Ϝᾶξον δὴ ἔγχος Διομήδεος ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέμεν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρα τοι αὐτίκα νῦν δύο καὶ δέκα βοῦς ἐνὶ νηῷ 308ᵇ = 93
ἤνιδας ἠκέστας ἱερεύσομεν, αἴ κ' ἐλεήσῃς 309 cf. 94
Ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα." 310 = 95
ὣς ἔφατ' εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη.

ὣς αἳ μέν ῥ' ηὔχοντο Διὸς κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸς δώματ' Ἀλεξάνδροι' ἐβεβήκει
καλὰ, τά ῥ' αὐτὸς ἔτευξε σὺν ἀνδράσιν, οἳ τότ' ἄριστοι
ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἄνδρες,
οἵ Ϝοι ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος ἐν πόλι' ἄκρῃ.
ἔνθ' Ἕκτωρ εἰσῆλθε Διὶ φίλος, ἐν δ' ἄρα χειρὶ 318ᵇ-320 = Θ 493 sqq.
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ 'λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος 'θέε πόρκης.
τὸν δ' ηὗρ' ἐν θαλάμῳ περικαλλέα τεύχε' ἕποντα,
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἀφάοντα·
Ἀργεΐη δ' Ἑλένη μετ' ἄρα δμῳῇσι γυναιξὶ
ἧστο, καὶ ἀμφιπόλοισι περικλυτὰ Ϝέργ' ἐκέλευε.

311 Ar. —

297 *πόλι' nº 74] πόλει || 305 ῥυσίπτολι schol.] ἐρυσίπτολι || 307 πεσέμεν nº 126] πεσέειν || 309 ἤνιδας Sitzler] ἦνις; cf. vs. 94. — ἐλεήσῃς] nº 122 || 313 *-δροι' ἐβεβήκει] -δροιο βεβήκει || 317 *πόλι' nº 74] πόλει || 319 ἔχ' ἑνδεκάπηχυ] l. a. ἔχεν δεκάπηχυ, quae lectio propter O 678 non est probanda || 320 χρύσεος] nº 61 || 321 ἕποντα] simplex nonnisi h. l. (et μ 209?) legitur; Bekker eleganter περὶ κάλλιμα τεύχε' ἕποντα, coll. O 555; vHerwerden περὶ κάλ' ἑὰ mavult, monens κάλλιμος in Iliade non legi || 322 ἀφάοντα nº 191] ἀφόωντα || 324 ἔργ' ἐκέλευε deter.] ἔργα κέλευε A C D

VI τὸν δ' Ἕκτωρ 'νείκεσσε Ϝιδὼν αἰσχροῖσι Ϝέπεσσι· 325 = Γ 38
„δαιμόνἰ, οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ.
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι· σέο δ' εἵνεκ' ἀυτή τε πτόλεμός τε
Ϝάστυ τόδ' ἀμφιδέδηε· σὺ δ' ἂν μαχέσαιο καὶ ἄλλῳ,
ὅν τινά που μεθιέντα Ϝίδοις στυγεροῦ πολέμοιο. 330 cf. Δ 240
ἀλλ' ἄνα, μὴ τάχα Ϝάστυ πυρὸς δηίοιο θέρηται." 331ᵇ cf. Δ 667
τὸν δ' αὖτε προσέϜειπεν Ἀλέξανδρος θεοϜειδής· 332 sq. = Γ 58 sq.
„Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν,
τούνεκά τοι Ϝερέω· σὺ δὲ σύνθεο καί μ' ἄκουσον· 334 = σ 129 cf. Δ 76 ο 318 π 259 ω 265
οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι
ἥμην ἐν θαλάμῳ, ἔθελον δ' ἄχεϊ προτραπέσθαι.
νῦν δέ με παρϜειποῦσ' ἄλοχος μαλακοῖσι Ϝέπεσσι
ὥρμησ' ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώιον ἔσσεσθαι· νίκη δ' ἐπαμείβεται ἄνδρας.
ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἀρήια τεύχεα δύω·
ἢ ἴθ', ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ' ὀίω."
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη κόρυθ' αἰόλος Ἕκτωρ. 342 = Ε 689
τὸν δ' Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι·
„δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνοο κρυοέσσης,
ὥς μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον 'τέκε μήτηρ,
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ' ἀπέϜερσε, πάρος τάδε Ϝέργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ 'τεκμήραντο,
ἀνδρὸς ἔπειτ' ὤφειλον ἀμείνονος ἔμμεν' ἄκοιτις,
ὃς 'Ϝείδει νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.
τούτῳ δ' οὔτ' ἄρα νῦν φρένες ἔμπεδοι οὔτ' ἄρ' ὀπίσσω
ἔσσονται· τῷ καί μιν ἐπαυρήσεσθαι ὀίω.

---

325 αἰσχροῖσι Ϝέπεσσι Bekker] -οῖς ἐπέεσσι || 329 σὺ δ' ἂν] corruptum est ἂν pro κεν; *ἤ κεν μαχέσαιο? sed alia quoque possunt tentari || 330 ὅν Ar.] εἴ libri || 331 δηίοιο] cf. nº 17 || 334 *μέ'] μευ || 335 νεμέσσι A] -σσει C D. Cf. nº 74 || 337 μαλακοῖσι Ϝέπεσσι Bekker] -κοῖς ἐπέεσσι || 343 προσηύδα] -δαε? cf. nº 191. — μειλιχίοισι] l. a. δῖα γυναικῶν || 344 κακομηχάνοο κρυοέσσης Payne-Knight] κακομηχάνου ὀκρυοέσσης. Nihil est ὀκρυόεις; cf. Ι 64 || 347 ἐς Cram. Epim. 172] εἰς codd. || 348 *ἀπέϜερσε] ἀπόερσε || 349 κακὰ τεκμήραντο] διετεκμήραντο D || 350 ὤφειλον Vind.] ὤφελλον. — ἔμμεν' nº 125] εἶναι || 351 'Ϝείδει] ᾔδη || 352 ἄρα Christ] ἄρ || 353 τῷ] τοῦ vHerwerden, coll. Ο 16; vid. etiam Δ 410 Ν 733

VI ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷδ' ἐπὶ δίφρῳ,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκε
εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδροι' ἕνεκ' ἀρχῆς, 356 cf. Γ 100
οἷσιν ἐπὶ Ζεὺς 'θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισι."
τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ· 359 = 263
„μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις.
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται, ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσι.
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.
καὶ γὰρ ἐγὼ Ϝοῖκόνδε ἐλεύσομαι, ὄφρα Ϝίδωμαι
Ϝοικῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γὰρ Ϝοῖδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμάουσιν Ἀχαιῶν."
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ. 369 = 116
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας, 370 = 497
οὐδ' ηὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισι,
ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐυπέπλῳ
πύργῳ ἐφειστήκει γοάουσά τε μυρομένη τε. 373[b] = Ψ 106
Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα 'τέτμεν ἄκοιτιν,
ἔστη ἐπ' οὐδὸν ἰὼν, μετὰ δὲ δμῳῇσιν ἔϜειπε·
„εἶ' ἄγε μοι, δμῳαί, νημερτέα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πῃ ἐς γαλόων ἢ εἰνατέρων ἐυπέπλων 378 sq. cf. 383 sq.
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι 378[b] = Ω 769
Τρῳαὶ ἐυπλόκαμοι δϜεινὴν θεὸν ἱλάσκονται;" 380 = 385
τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔϜειπε·
„Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτε πῃ ἐς γαλόων οὔτ' εἰνατέρων ἐυπέπλων 383 sq. cf. 378 sq.
οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δϜεινὴν θεὸν ἱλάσκονται, 385 = 380

---

354 νῦν] sic Ar.; alii igitur δή vel νυν? ‖ 356 Ἀλεξάνδροι' n° 59] -δρου. — ἀρχῆς Apoll. de synt. 133] ἄτης. Cf. Γ 100 ‖ 364 καταμάρψῃ] n° 122 ‖ 365 -δε ἐλεύσομαι] -δ' ἐσελεύσομαι meliores ‖ 367 Ϝοῖδ' Bekker] τ' οἶδ' ‖ 368 δαμάουσιν n° 191] -όωσιν ‖ 373 ἐφειστήκει A C D] ἐφεστήκει Ar. — γοάουσα n° 191] γοόωσα ‖ 376 εἶ'] εἰ δ'; vid. ad Α 302

VI ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσε
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος ἔμμεν' Ἀχαιῶν.
ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
μαινομένῃ ϜεϜικυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη."
ἦ ῥα γυνὴ ταμίη, ὃ δ' ἀπέσσυτο δώματος Ἕκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτις ἐϋ κτιμένας κατ' ἀγυιάς.
εὖτε πύλας ἵκανε διερχόμενος μέγα Ϝάστυ
Σκαιάς, τῇ ἄρ' ἔμελλε διεξίμεναι πεδίονδε,
ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, 395 = Θ 197
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσι Ϝανάσσων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ.
ἥ Ϝοι ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος 'κίεν αὐτῇ
παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ,
τόν ῥ' Ἕκτωρ 'καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
ΦαστυϜάνακτ'· οἶος γὰρ ἐρύετο Ϝίλιον Ἕκτωρ.
ἦ τοι ὃ μὲν 'μείδησε Ϝιδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ Ϝοι ἄγχι παρίστατο δάκρυ χέουσα,
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 406 = 253
„δαιμόνιε, φθίσει σε τεὸν μένος, οὐδ' ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ' ἄμμορον, ἣ τάχα χήρη
σεῖ' ἔσομαι· τάχα γάρ σε κατακτενέουσιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
σεῖ' ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
ἔσται θαλπωρή, εἴ κεν σύ γε πότμον ἐπίσπῃς.
[ἀλλ' ἄχε'· οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ.]
ἦ τοι γὰρ πατέρ' ἡμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν 'πέρσεν Κιλίκων ἐϋ ναιετάουσαν,
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,

---

386 Ἰλίου] neglecto Ϝ. Naber ἐπὶ τεῖχος ἔβη μέγα Ϝιλίου (ut 388) coll. M 333. Nos suspicamur in μέγαν Ἰλίου latere *μέγα νηπίη, cf. Π 46 ι 44 || 387 ἔμμεν' nº 125] εἶναι || 393 πεδίονδε] πεδίοιο D || 401 ἀλίγκιον] alibi (praeter ϑ 174) constanter ἐναλίγκιος || 407 τεὸν Nauck] τὸ σόν. Vid. ad Α 185 || 409 *σεῖ'] σεῦ. — κατακτενέουσιν Cobet] -κτανέουσιν. Redit vitium Ξ 481 (Ο 702) Σ 309 (Χ 13) || 411 *σεῖ'] σεῦ || 412 *εἴ κεν] ἐπεὶ ἂν || 413] melius abesset; fortasse ex 429 fluxit || 414 γὰρ] μὲν Strab. XIII 619. — *ἡμὸν] ἁμόν, ἀμὸν || 415 ναιετάουσαν nº 191] -όωσαν Ar., -άωσαν codd.

VI οὐδέ μιν ἐξενάριξ', ἐσεβάσσατο γὰρ τό γε θυμῷ,
ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι
ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισι,
οἳ μὲν πάντες ἰῷ 'κίον ἤματι Ἄϝιδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἐπ' εἰλιπόδεσσι καὶ ἀργεννῇσ' ὀίεσσι.
μητέρα δ', ἣ 'βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσι,
ἂψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι' ἄποινα,
πατρὸς δ' ἐν μεγάροισ' ἔβαλ' Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης·
ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτόθι μίμν' ἐπὶ πύργῳ,
μὴ παῖδ' ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα·
[λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
τρὶς γὰρ τῇ γ' ἐλθόντες ἐπειρήσανθ' οἳ ἄριστοι
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ' ἀμφ' Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἤ ποθί τίς σφιν ἐνίσπε θεοπροπίων ἐὺ ϝειδώς,
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.]" 439b = O 43
τὴν δ' αὖτε προσέϝειπε μέγας κορυθαίολος Ἕκτωρ· 440 = X 232 cf. H 233
„ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους, 442 = X 105
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ 'μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,

433—439 Ar. —

428 *μεγάροισ' ἔβαλ'] -σι βάλ' || 431 αὐτόθι nº 322] αὐτοῦ || 432 θήῃς Ar. A D Ambr.] θείης C || 434 ἀμβατός Ar. codd.] ἀμβατή Callistratus || 437 Ἀτρεΐδας] Ἀτρεΐδα Ixio || 438 *ποθί nº 322] που. — θεοπροπίων A] θεοπροπέων D, θεοπροπίας C. Suspecta est vox θεοπρόπιον h. l. et A 85, ubi vide; sed -ιῶν (Nauck) pro -ιάων vix praestat, cf. nº 56. Aut -έων cum D videtur legendum (cf. A 109 B 322 β 184), aut quo C ducit θεοπροπίης || 439 αὐτῶν] l. a. αὐτούς. — ἐποτρύνει] ἐπώτρυνεν Duentzer; quae si recipienda videretur coniectura, simul ἄνωγε esset scribendum || 444 ἄνωγεν] *imperfecti* forma, cf. nº 225

VI ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε ϝοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν, 447-449 = Δ 163 sqq.
ἦμαρ ἔσεσθ' ὅτε κέν ποτ' ὀλώλῃ Ϝίλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ' αὐτῆς Ϝεκάβης οὔτε Πριάμοιο ϝάνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσι,
ὅσσον σεῖ', ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀποϝράς.
καί κεν ἐν Ἄργε' ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνῃς,
καί κεν ὕδωρ φορέῃς Μεσσηίδος ἢ Ὑπερείης
πόλλ' ἀϝεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.
καί ποτέ τις ϝείπῃσι ϝιδὼν κατὰ δάκρυ χέουσαν·
"Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ϝίλιον ἀμφεμάχοντο. —
ὥς ποτέ τις ϝερέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ' ἀνδρός, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι, 464ᵇ cf. Ξ 114
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι."
ὣς ϝειπὼν ϝοῦ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
ἂψ δ' ὁ πάις πρὸς κόλπον ἐυζώνοιο τιθήνης
ἐκλίνθη ϝιϝάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
δϝεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ, 472ᵇ = 494
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανάουσαν·
αὐτὰρ ὃ ϝὸν φίλον υἱὸν ἐπεὶ 'κύσε 'πῆλέ τε χερσί,
ϝεῖπεν ἐπευξάμενος Διί τ' ἄλλοισίν τε θεοῖσι·

---

447 γάρ] μὲν C ‖ 448 *ἦμαρ ἔσεσθ' ὅτε κεν] ἔσσεται ἦμαρ ὅτ' ἄν. Cf. Δ 164 ‖ 449 *ἐυμμελίης] ἐυμμελίω (-ου C). Cf. Δ 47 et 165 ‖ 454 σεῖ'] notetur forma genuina in codd. servata; cf. nº 92 ‖ 455 ἀποϝράς nº 150] ἀπούρας ‖ 456 *Ἄργε' nº 71] Ἄργει. — ὑφαίνῃς deter.] -νεις D, -νοις A C ‖ 457 φορέῃς deter.] φορέεις A, -οις CD ‖ 463 δούλιον] vocabulum novicium, cf. ad Γ 409; versus postea additus videtur. Recurrit δούλιον ἦμαρ ξ 340 ρ 323 ‖ 464 τεθνηῶτα (Ar.)] τεθνειῶτα ‖ 465 γέ τι AD] γ' ἔτι C; grammatici ambigebant; neutrum verum videtur, sed *γε τεῆς, cf. ad Δ 185 ‖ 467 δ' ὁ] δὲ? ‖ 473 παμφανάουσαν nº 191] -όωσαν ‖ 474 ὃ Bentley] ὅ γ' ‖ 475 εἶπεν] εἶπε δ' Ar.

VI „Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσι, 477 cf. h. Ven. 103
ὧδε βίην τ' ἀγαθὸν καὶ Ϝιλίου ἶφι Ϝανάσσειν·
καί ποτέ τις Ϝείποι „πατρός γ' ὅδε πολλὸν ἀμείνων"
ἐκ πολέμοἰ ἀνιόντα, φέροι δ' ἔναρα βροτόεντα
κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ."
ὣς Ϝειπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ' ἑϜόν· ἣ δ' ἄρα μιν κηώδεϊ 'δέξατο κόλπῳ 483ᵇ cf. h. Cer. 231
δακρυόεν γελάσασα· πόσις δ' ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 485 = Α 361
„δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ,
οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ ἌϜιδι προϊάψει·
μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπεί κε πρῶτα γένηται. 489 cf. ϑ 553
ἀλλ' ἐς Ϝοῖκον ἰοῦσα τέ' αὐτῆς Ϝέργα κόμιζε, 490 sq. = α 356 sq. φ 350 sq.
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ϝέργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει 492 cf. α 358 φ 352
πᾶσι, μάλιστα δ' ἐμοί, τοὶ Ϝιλίῳ ἐγγεγάασι." 492ᵇ = Υ 137 cf. λ 352 h. VI 27
ὣς ἄρα φωνήσας κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ 493ᵃ = α 359 λ 353 φ 353 ψ 61
ἵππουριν· ἄλοχος δὲ φίλη Ϝοῖκόνδ' ἐβεβήκει 494ᵇ = 472
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας 497 = 370
Ἕκτορος ἀνδροφόνοἰ, ἐκιχήσατο δ' ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσε.
αἳ μὲν ἔτι ζωὸν 'γόον Ἕκτορα Ϝῷ ἐνὶ Ϝοίκῳ·

---

478 ἶφι] sine Ϝ. Bentley parum probabiliter λαοῦ Ϝῖφι || 479 εἴποι Nicanor h. l. et ad Ν 352] εἴπῃσι codd., sed εἴποι in A supra scr. Erroris, quem pepererunt loci subsimiles (459 Η 87 ζ 275), indicium est prior syllaba vocis πατρός correpta, cum alibi sine ulla exceptione producatur. Optativum in precibus flagitat grammatica: ***utinam dicat aliquis***; illis vero tribus versibus suus est locus subiunctivo, qui a futuro indicativi prope distat: ***dixerit aliquis***, non de optabili re sed de verisimili. Ludwich Aristarch. II 351, Cobeto aliisque oblocutus, defendere -ῃσι frustra est conatus. — γ' ὅδε Ar.] δ' ὅ γε || 480 πολέμοἰ nº 59] -μου || 484 ἐλέησε] ἐλέαιρε D || 489 *ἐπεί κε] ἐπὴν τὰ. — πρῶτα] πρωτὰ quidam teste Herodiano (= τὰ πεπρωμένα!) || 490 ἐς] εἰς. — τέ' αὐτῆς Nauck] τὰ σαυτῆς A C, τὰ σ' αὐτῆς D. Cf. ad Α 185 || 493 πᾶσι, μάλιστα δ' ἐμοί Hoffmann] πᾶσιν, ἐμοὶ δὲ μάλιστα. Verus verborum ordo servatus est versibus parallelis, qui ex hoc loco omnes deducti sunt, α 359 λ 353 φ 353; vide etiam ψ 61 || 498 *ἀνδροφόνοἰ, ἐκιχήσατο] -φόνοιο, κιχήσατο || 500 'γόον] forma notabilis. Nauck στένον. Veri videtur similius, substantivum esse γόον ut in vs. 499, et aliam igitur huic versui olim formam fuisse

VI οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

οὐδὲ Πάρις ᾽δήθυνεν ἐν ὑψηλοῖσι δόμοισι,
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
᾽σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ϝάστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
ὡς δ᾽ ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ, 506-511 = O 263 sqq.
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐυρρεέος ποταμοῖο,
κυδιάων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται 509ᵇ sq. cf. h. Cer. 177
ὤμοισ᾽ ἀίσσονται· ὃ δ᾽ ἀγλαΐηφι πεποιθώς,
ῥίμφα ϝε γοῦνα φέρει μετὰ ϝήθεα καὶ νομὸν ἵππων·
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων ὥς τ᾽ ἠλέκτωρ ἐβεβήκει 513ᵃ = Γ 398
καγχαλάων, ταχέες δὲ πόδες ᾽φέρον. αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ᾽ ἄρ᾽ ἔμελλε
στρέψεσθ᾽ ἐκ χώρης, ὅθι ϝῇ ὀάριζε γυναικί.
τὸν πρότερος προσέϝειπεν Ἀλέξανδρος θεοϝειδής·
„ἠθεῖ᾽, ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
δηθύνων οὐδ᾽ ἦλθον ἐναίσιμον, ὡς ἐκέλευες;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κόρυθ᾽ αἰόλος Ἕκτωρ·
„δαιμόνι᾽, οὔ κέν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
ϝέργον ἀτιμάσσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ϝεκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ᾽ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ᾽ ὑπὲρ σέθεν αἴσχε᾽ ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ᾽ ἴομεν· τὰ δ᾽ ὄπισθεν ἀρεσσόμεθ᾽, αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖσ᾽ αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισι,
ἐκ Τροίης ἐλάσαντας ἐυκνήμιδας Ἀχαιούς."

---

501 μιν] vid. ad *E* 385; non opus igitur videtur correctione ἔτι μιν || 507 θείῃ] -ει C || 508 ἐυρρεέος n° 73] -ρεῖος || 509 κυδιάων n° 191] -όων || 510 πεποιθώς] γεγηθώς Naber || 511 ῥίμφα ϝε] ῥίμφ᾽ ἑὰ Zen. — μετὰ Heyne] μετά τ᾽ || 514 καγχαλάων n° 191] -όων || 521 * οὔ κεν] οὐκ ἄν || 522 ἀτιμάσσειε Nauck] ἀτιμήσειε

# ΙΛΙΑΔΟΣ Η.

*Ἕκτορος καὶ Αἴαντος μονομαχία* (vs. 1—312). — *Νεκρῶν ἀναίρεσις* (vs. 313 sqq.).

---

VII ὣς ϝειπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ,
τῷ δ᾽ ἅμ᾽ Ἀλέξανδρος ᾽κί᾽ ἀδελφεός· ἐν δ᾽ ἄρα θυμῷ
ἀμφότεροι ᾽μέμασαν πολεμιζέμεν᾽ ἠδὲ μάχεσθαι.
ὡς δὲ θεὸς ναύτῃσιν ἐϝελδομένοισιν ἔδωκε
οὖρον, ἐπεί κε κάμωσιν ἐῢ ξεστῇσ᾽ ἐλάτῃσι
πόντον ἐλαύνοντες, καμάτῳ δ᾽ ὑπὸ γυῖα λέλυνται,
ὣς ἄρα τὼ Τρώεσσιν ἐϝελδομένοισ᾽ ἐφανήτην.

ἔνθ᾽ ἑλέτην ὃ μὲν υἱὸν Ἀρηιθόοιο ϝάνακτος,
Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης
᾽γείνατ᾽ Ἀρηΐθοος καὶ Φυλομέδουσα βοῶπις·
Ἕκτωρ δ᾽ Ἠιονῆ᾽ ἔβαλ᾽ ἔγχεϊ ὀξυόεντι
αὐχέν᾽ ὑπὸ στεφάνης ἐυχάλκου, ᾽λῦσε δὲ γυῖα.
Γλαῦκος δ᾽, Ἱππολόχοιο πάις, Λυκίων ἀγὸς ἀνδρῶν, 13 = *P* 140
Ϝιφίνοον ᾽βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην 14 cf. *P* 15
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον· ὃ δ᾽ ἐξ ἵππων χαμάδις ᾽πέσε, ᾽λύντο δὲ γυῖα. 16ᵇ = *O* 435

---

1 *πυλέων*] cf. nº 56 || 3 *πολεμιζέμεν* Vind.] *-ζειν* || 5 *ἐπεί κε* Ar. A C] *ἐπὴν κε κάμωσιν* alii, *ἐπὴν κεκάμωσιν* D || 6 *ἐλαύνοντες*] l. a. *ἐρέσσοντες* in Ar. Commentariis commemorabatur || 7 *τὼ* Ar. codd.] *τοί* Aristarcho tribuit Ammonius. — **ἐϝελδομένοισ᾽ ἐφανήτην*] *-σι φανήτην* || 9 *Ἄρνῃ*] Ar. adnotavit Zenodotum hic intactum reliquisse nomen *Arnes*, sed *B* 507 correxisse || 11 **Ἠιονῆ᾽ ἔβαλ᾽*] *Ἠιονῆα βάλ᾽* || 12 *ἐυχάλκου*] *ἐυκύκλου* D; *-οο*? cf. nº 59. — *᾽λῦσε*] *λύντο* Ar. (? — ad vs. 16 pertinere hanc adnotationem censet vHerwerden) || 15 *Δεξιάδην*] pro adverbio *a dextra* quidam habebant; cf. Epigr. Kaibel 573, 4 (?)

VII τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη — 17 cf. *E* 711
Ἀργεΐους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ, — 18 = *E* 712
'βῆ ῥα κατ' Οὐλύμποιο καρήνων ἀΐξασα — 19 cf. *B* 167
Ϝίλιον εἰς ἱερήν. τῇ δ' ἀντίος ὤρνυτ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ 'βούλετο νίκην. — 21ᵃ = *Δ* 508; 21ᵇ = *Π* 121
ἀλλήλοισι δὲ τώ γε συνηντέσθην παρὰ φηγῷ.
τὴν πρότερος προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων·
„τίπτε σὺ δ' αὖ μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
ἦλθες ἀπ' Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκε; — 25ᵇ = *Φ* 395
ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῷς; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη· — 28 = *υ* 381
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηιοτῆτα
σήμερον· ὕστερον αὖτε μαχέσσοντ', εἰς ὅ κε τέκμωρ — 30 sq. cf. *I* 48 sq.; 30 cf. 291
Ϝιλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
ὑμίν γ' ἀθανάτῃσι, διαπραθέμεν τόδε Ϝάστυ."
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ὣς ἔστω, ϜεκάϜεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυέμεν' ἀνδρῶν;"
τὴν δ' αὖτε προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων· — 37 = *Γ* 103
„Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι, — 40 = *Γ* 20
οἳ δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἶον ἐπόρσειαν πολεμιζέμεν' Ἕκτορι δίῳ."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη. — 43 = *B* 166
τῶν δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, σύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖσιν ἐϜάνδανε μητιάουσι·

---

21 *ἐκκατιδών*] Nauck *ἐκκατιών*, cf. ad *Δ* 508 ‖ 22 **συνηντέσθην*] *συναντέσθην* ‖ 27 *δῷς*] pro *δώῃς* novicium, cf. nº 122; **δώῃς; σὺ γὰρ* (vel *οὔ τι*) *Τρῶας*? ‖ 30 *μαχέσσοντ'* Nauck] *μαχήσοντ'* ‖ 32 **ὑμίν γ'*] *ὑμῖν*. An **ὕμισιν*? — *ἀθανάτῃσι* A C] *-τοισι* Zen. D, *ἀμφοτέρῃσι* Aristoph. — *διαπραθέμεν* nº 126] *-θέειν* ‖ 33 *τὸν δ' αὖτε προσέϜειπε*] l. a. *τὸν δ' ἠμείβετ' ἔπειτα* ‖ 34 **ὥς*] *ὧδ'* ‖ 36 **καταπαυέμεν'*] *καταπαυσέμεν'*, cf. ad *B* 544 ‖ 39 *ἤν*] pro *αἴ κε* novicium; correctio incerta: **καί*? — *οἰόθεν οἶος*] notabilis figura, nec nisi vicinis locis 97 et 226 recurrens ‖ 41 *ἀγασσάμενοι*] *-σσόμενοι* Ar. dedisse, ut in scholio interlineari dicitur, non est veri simile ‖ 42 *πολεμιζέμεν* Bekker] *-ζειν* ‖ 45 *ἐϜάνδανε* Bentley] *ἐφήνδανε*. — *μητιάουσι* nº 191] *-όωσι*

VII ’στῆ δὲ παρ’ Ἕκτορ’ ἰὼν καί μιν πρὸς μῦθον ἔϜειπε· 46 cf. Θ 280
„Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, 47 = Δ 200
ἦ ῥά κέ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς, 49 = Γ 68
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι· 51 = Γ 20
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
ὣς γὰρ ἐγὼ Ϝόπ’ ἄκουσα θεῶν αἰειγενετάων.“
ὣς ἔφαθ’, Ἕκτωρ δ’ αὖτ’ ἐχάρη μέγα μῦθον ἀκούσας, 54-56 = Γ 76 sqq.
καί ῥ’ ἐς μέσσον ἰὼν Τρώων ἀνέϜεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών· οἳ δ’ ἱδρύθησαν ἅπαντες.
κὰδ δ’ Ἀγαμέμνων εἷσεν ἐυκνήμιδας Ἀχαιούς.
κὰδ δ’ ἄρ’ Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέσθην, ὄρνισι ϜεϜοικότες αἰγυπιοῖσι,
φηγῷ ἐφ’ ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο,
ἀνδράσι τερπόμενοι. τῶν δὲ στίχες ἥατο πυκναί,
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι. 62ᵇ = Δ 282
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον, πόντος δὲ μελαίνεθ’ ὑπ’ αὐτῆς,
τοῖαι ἄρα στίχες ἥατ’ Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ. Ἕκτωρ δὲ μετ’ ἀμφοτέροισιν ἔϜειπε· 66ᵇ sq. = Γ 85 sq.
„κέκλυτέ μοι, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί,
ὄφρ’ ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. 68 = 349, 369 Θ 6 etc.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσε,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισι,
εἰς ὅ κεν ἢ ὕμες Τροίην εὔπυργον ἕλητε
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμήετε ποντοπόροισι.
ὕμιν δ’ ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·

53 Ar. —

47 υἱὲ] nº 17 ‖ 48 κέ] νύ; cf. Δ 93 ‖ 56 ἱδρύθησαν Vind.] ἱδρύνθησαν ACD. Vid. Γ 78 ‖ 61 ἥατο nº 220] εἵατο ‖ 62 πεφρικυῖαι] l. a. βεβριθυῖαι, parum probabilis, ab Ar. tamen loco parallelo Δ 282 in alteram ed. recepta ‖ 64 *πόντος δὲ μελαίνεθ’ ὑπ’ αὐτῆς] μελάνει δέ τε πόντον ὑπ’ αὐτῇ Ar. (?), πόντος ὑπ’ αὐτῆς codd., πόντος ὑπ’ αὐτοῦ Aristot. probl. 23, 23. Nihil est μελάνω (aut μελανῶ); antiquum esse errorem ex Apoll. Rhod. IV 1574 apparet, errorem tamen esse ostendunt Ε 354 Σ 548. De genitivo αὐτῆς cf. μ 406 ‖ 65 ἥατ’ nº 220] εἵατ’ ‖ 67 *μοι] μευ ‖ 68 ἔσπω nº 246] εἴπω. Non est veri similis Heynii aliorumque correctio ὡς Ϝείπω ‖ 70 κακὰ] τὰ Ϝὰ vHerwerden, coll. Θ 430, ubi vid. ‖ 71 *ὕμες] ὑμεῖς ‖ 72 δαμήετε nº 122] δαμείετε ‖ 73 *ὕμιν] ὑμῖν. — δ’ ἐν Ar.] μὲν

VII τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγῃ,
δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ' ἦμ' ἐπὶ μάρτυρος ἔστω·
εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα δὲ ϝοίκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με 79 sq. = Χ 342 sq.
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος Ἀπόλλων, 81 cf. Π 725 φ 338
τεύχεα συλήσας οἴσω προτὶ ϜΊλιον ἱρὴν
καὶ κρεμάω προτὶ νηὸν Ἀπόλλωνος ϝεκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐυσσέλμους ἀποδώσω,
ὄφρα ϝε ταρχύσωσι κάρη κομάοντες Ἀχαιοὶ
σῆμά τέ ϝοι χεύωσιν ἐπὶ πλατέ' Ἑλλησπόντῳ.
καί ποτέ τις ϝείπῃσι καὶ ὀψιγόνων ἀνθρώπων
νηὶ πολυκλήιδι πλέων ἐπὶ ϝοίνοπα πόντον·
ἀνδρὸς μὴν τόδε σῆμα πάλαι κατατεθνηῶτος,
ὅν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ. —
ὥς ποτέ τις ϝερέει· τὸ δ' ἐμὸν κλέος οὔ ποτ' ὀλεῖται."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ· 92 = Γ 95
ἥδεσθεν μὲν ἀνήνασθαι, 'δϝεῖσαν δ' ὑποδέχθαι.
ὀψὲ δὲ δὴ Μενέλαος ἀνίστατο καὶ μετέϝειπε
νείκε' ὀνειδίζων, μέγα δ' ἐστεναχίζετο θυμῷ·
„ὤ μοι ἀπειλητῆρες, Ἀχαιίδες, οὐκέτ' Ἀχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς,
εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσι.
ἀλλ' ὕμες μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
ἥμενοι αὖθι ϝέκαστοι ἀκήριοι, ἀκλεὲς αὔτως·
τῷδε δ' ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθε

---

74 νῦν ὅν] l. a. εἰ καί. — ἀνώγῃ LaRoche] ἀνώγει. Cf. ο 395 ‖ 76 *ἦμ'(ι)] ἄμμ', l. a. ἄμ' schol. Γ 280 ‖ 77 κεν] sola vi arsis h. l. et Υ 243 productum suspicionem movet; corrigi posset κεν κεῖνός με, nisi ἐμέ aliquanto aptius esset sententiae ‖ 81 εἰ δέ κ' ἐγὼ τὸν] αἴ κέν πώς μιν Apoll. lex. ‖ 83 κρεμάω nº 191] -όω ‖ 85 ταρχύσωσιν] nº 122. — κομάοντες nº 191] -όωντες ‖ 86 χεύωσιν] nº 122. — *πλατέ' nº 71] πλατεῖ ‖ 89 μὴν Bekker, cf. nº 18] μέν. — κατατεθνηῶτος Ar.] -ειῶτος ‖ 91 ἐμὸν] ἑὸν Doederlein; coniectura inutilis et improbanda, cf. nº 95. — ὀλεῖται] nº 147. Cf. Β 325 ‖ 93 *ἥδεσθεν] αἴδεσθεν ‖ 95 νείκε' nº 71] νείκει. In quibusdam Commentariorum Aristarcheorum exemplis νείκε' fuisse refert Didymus. — δ' ἐστεναχίζετο] δὲ στοναχίζετο C ‖ 97 αἰνόθεν αἰνῶς] cf. ad vs. 39 ‖ 99 *ὕμες] ὑμεῖς

VII νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσι."
ὣς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά.
ἔνθα κέ τοι, Μενέλαε, ἐφάνη βιότοιο τελευτὴ 104ᵇ = Π 787
Ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
εἰ μὴ ἀναΐξαντες ἕλον βασιλῆες Ἀχαιῶν·
αὐτός τ' Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
δεξιτερὴν ἕλε χεῖρα Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
ταύτης ἀφροσύνης· ἀνὰ δὲ σχέο, κηδόμενός περ,
μηδ' ἔθελ' ἐξ ἔριδος σέ' ἀμείνονι φωτὶ μάχεσθαι,
Ἕκτορι Πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
ἔρριγ' ἀντιβολῆσαι, ὅ περ σέο πολλὸν ἀμείνων.
ἀλλὰ σὺ μὲν νῦν ἵζε' ἰὼν μετὰ Ϝέθνος ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
εἴ περ ἀδειής τ' ἐστὶ καὶ εἰ μόθου ἔστ' ἀκόρητος,
φημί μιν ἀσπασίως γόνυ καμψέμεν', αἴ κε φύγῃσι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος." 119 = 174
ὣς Ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως, 120 = Z 61
αἴσιμα παρϜειπών· ὃ δ' ἐπείθετο. τοῦ μὲν ἔπειτα
γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο.
Νέστωρ δ' Ἀργεΐοισιν ἀνίστατο καὶ μετέϜειπε·
„ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει. 124 = A 254
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής,
ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεε Ϝῷ ἐνὶ Ϝοίκῳ,
πάντων Ἀργεΐων ἐρέων γενεήν τε τόκον τε·
τοὺς νῦν εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι,

---

103 κατεδύσετο] -σατο A C D; vHerwerden ἐνεδύσετο, at vid. Δ 222 Z 504 μ 228 ‖ 104 βιότοιο] l. a. θανάτοιο ‖ 108 δεξιτερὴν ... χεῖρα Bentley] δεξιτερῆς ... χειρός. Correctioni fidem faciunt Ξ 137 Ω 671 α 121 σ 258 ‖ 110 δὲ σχέο Ar. A D] δ' ἴσχεο C ‖ 111 *σέ'] σευ ‖ 113 τούτῳ Ar. codd.] l. a. τοῦτον ‖ 114 ἀντιβολῆσαι] l. a. ἀντιμολῆσαι (absurde). — ἀμείνων] -νω Zen.; cf. Α 80 ‖ 115 *ἵζε' n° 117] ἵζευ ‖ 117 ἀδειής] vix sana forma pro ἀδϜειής. Ahrens εἴ πέρ τ' ἀδϜειὴς καὶ ἀεὶ μ. ἐ. ἀ. Sed iure miretur quis poetam maluisse sic loqui quam εἴ περ ἀταρβής etc., ut N 299 ‖ 118 καμψέμεν' Bekker] -ψειν ‖ 120 ἀδελφεόο n° 59] -φειοῦ ‖ 127 μ' εἰρόμενος μέγ' ἐγήθεε] Zen. μειρόμενος μέγα δ' ἔστενεν (μεγάλ' Spitzner). Putabat scilicet μειρόμενος = στερόμενος esse, ab Ar. refutatus coll. I 616 ‖ 128 ἐρέων] ἀρχῶν coniecit vHerwerden

VII πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϝιδος εἴσω.
αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 132 = B 371
ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντ' ἐμάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ' Ἐρευθαλίων πρόμος ἵστατο, ϝισόθεος φὼς,
τεύχε' ἔχων ὤμοισιν Ἀρηιθόοιο ϝάνακτος,
δίου Ἀρηιθόου, τὸν ἐπίκλησιν κορυνήτην
ἄνδρες ἐκίκλησκον καλλίζωνοί τε γυναῖκες,
οὕνεκ' ἄρ' οὐ τόξοισ' ἐμαχέσκετο δουρί τε μακρῷ,
ἀλλὰ σιδηρείῃ κορύνῃ 'ρήγνυσκε φάλαγγας.
τὸν Λυκόϝοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε,
στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη ϝοι ὄλεθρον
'χραῖσμε σιδηρείη· πρὶν γὰρ Λυκόϝοργος ὑποφθὰς
δουρὶ μέσον 'περόνησεν, ὃ δ' ὕπτιος οὔδε' ἐρείσθη· 145ᵃ = N 397
τεύχεα δ' ἐξενάριξε, τά ϝοι 'πόρε χάλκεος Ἄρης. 145ᵇ = Δ 144 cf. M 192
καὶ τὰ μὲν αὐτὸς ἔπειτ' ἐφόρει μετὰ μῶλον Ἄρηος. 147ᵇ = Π 245
αὐτὰρ ἐπεὶ Λυκόϝοργος ἐνὶ μεγάροισιν ἐγήρα,
'δῶκεν Ἐρευθαλίωνι, φίλῳ θεράποντι, φορῆναι·
τοῖ' ὅ γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἳ δὲ μάλ' ἐτρόμεον καὶ ἐδέδϝισαν, οὐδέ τις ἔτλη. 151 cf. h. Ap. 47
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεΐ ϝῷ· γενεῇ δὲ νεώτατος ἦσκον ἀπάντων·
καὶ 'μαχόμην ϝοι ἐγὼ, 'δῶκεν δέ μοι εὖχος Ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον 'κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.

---

130 φίλας ἀνὰ] βαρείας Ar. (?) ‖ 131 δῦναι] nº 125 ‖ 133 ἡβῷμ'] pro ἡβάοιμ' suspectum, cf. vs. 157; fortasse ex duobus hexametris contractus est versus: οὕτως ἡβάοιμι . . . | ὡς ὅτ' ἐπ' ὠκυρόῳ (ποταμῷ) Κ. ἐμ. — Κελάδοντ'] κελάδοντι Ar. — *Κελάδοντ' ἐμάχοντο] Κελάδοντι μάχοντο ‖ 135 Φειᾶς] sic Ar.; cf. nº 5. Fuisse qui pro Κελάδοντι poscerent Ἀκίδοντι, et Χάας pro Φειᾶς, refert Strabo VIII 348. Commemoratur *Phea* urbs etiam ο 297. De Φήρης Didymi coniectura cf. Lehrs Ar.² p. 242 ‖ 139 *ἐκίκλησκον] κίκλησκον ‖ 140 *τόξοισ' ἐμαχ.] τόξοισι μαχ. ‖ 142 ΛυκόϝοργοςΣ] -ϝεργος Bentley Bekker, item vs. 144, 148; cf. ad Z 130 ‖ 144 ὑποφθὰς Ar. codd.] l. a. ἀναστὰς ab Ar. commemorata ‖ 145 *οὔδε' nº 71] οὔδει ‖ 146 δ' Ar. A] τ' CD ‖ 147 ἔπειτ' ἐφόρει Vind.] ἔπειτα φόρει ‖ 149 δῶκεν D] δῶκε δ' Ar. AC ‖ 150 τοῖ' nº 59] τοῦ ‖ 151 ἐδέδϝισαν] ἐδείδισαν. — In deter. subiungitur ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι (= 40, 51 Γ 20) ‖ 153 θάρσεΐ ϝῷ] θάρσει ἐμῷ Zen. — *ἦσκον] ἔσκον ‖ 155 'κτάνον] ἴδον Nauck praeter necessitatem

VII εἴθ' ὣς ἡβάοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
τῷ κε τάχ' ἀντήσειε μάχης κόρυθ' αἰόλος Ἕκτωρ.
ὕμων δ' οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἳ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν."
ὣς 'νείκεσσ' ὁ γέρων, οἳ δ' ἐννέα πάντες ἀνέσταν.
ὦρτο πολὺ πρώτιστα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης,
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιϜειμένοι ἀλκήν,
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδροφόντῃ,
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός,
ἂν δὲ Θόας Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς·
πάντες ἄρ' οἵ γ' ἔθελον πολεμιζέμεν' Ἕκτορι δίῳ.
τοῖσ' αὖτις μετέϜειπε γερήνιος ἱππότα Νέστωρ·
„κλήρῳ νῦν πεπαλέσθε διαμπερές, ὅς κε λάχῃσι·
οὗτος γὰρ δὴ ὀνήσει ἐυκνήμιδας Ἀχαιούς·
καὶ δ' αὐτὸς Ϝὸν θυμὸν ὀνήσεται, αἴ κε φύγῃσι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος."
ὣς ἔφαθ', οἳ δὲ κλῆρον ἐσημήναντο Ϝέκαστος,
ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρεΐδαο.
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον·
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν εἰς οὐρανὸν εὐρύν·
„Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης."
ὣς ἄρ' ἔφαν, 'πάλλεν δὲ γερήνιος ἱππότα Νέστωρ,
ἐκ δ' ἔθορε κλῆρος κυνέης ὃν ἄρ' ἤθελον αὐτοί,
Αἴαντος· κῆρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντῃ
'δεῖξ' ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν.
οἳ δ' οὐ γιγνώσκοντες ἀπηνήναντο Ϝέκαστος.

157 = Α 670 Ψ 629 ξ 468
$161^b$ = ϑ 258
162 cf. Ψ 288
163 = Ψ 290
164-167 = Θ 262 [sqq.
$164^b$ = Σ 157
$165^b$ sq. = Ρ 258 sq.
166 = Θ 264 Ρ 259 cf. Β 651
$167^b$ = Β 736
174 = 119
177 sq.* = Γ 318 [sq.
178 = 201

157 ἡβάοιμι n° 191] ἡβώοιμι || 159 *ὕμων] ὑμέων || 161 'νείκεσσ' ὁ] 'νείκεσσε? || 162 πρώτιστα Bentley] πρῶτος μέν, item Ψ 288. Cf. Α 105 etc. || 166 *ἀνδροφόντῃ] ἀνδρειφόντῃ A C, ἀνδριφόντῃ D; cf. Β 651 || 169 πολεμιζέμεν Bekker] -ζειν || 170 *τοῖσ' n° 60] τοῖς δ' A, τοῖσι δ' C D. Christ τοῖσιν δ' αὖ, cf. Κ 241 || 170 γερήνιος] vid. Β 336 || 171 πεπαλέσθε Doederlein] πεπάλασθε Ar. A, πεπάλαχθε C D. Sensum non praebet πεπάλαχθε, *polluere* enim significat: nihili forma est πεπάλασθε, nam παλάζειν verbum non extat; πάλλειν vero in *sortiendo* verbum est sollemne, cf. Γ 316, 324 Ψ 353 Ο 191 Ω 400 etc. Redit vitium ι 331. — ὅς Ar. codd.] l. a. ὥς || 177 θεοῖσι δὲ C D] θεοῖς, ἰδὲ A; certabant grammatici. Cf. Γ 318 || 181 γερήνιος] vid. Β 336

VII ἀλλ' ὅτε δὴ τὸν ἵκανε φέρων ἀν' ὅμιλον ἁπάντῃ,
ὅς μιν ἐπιγράψας κυνέῃ 'βάλε, φαίδιμος Αἴας,
ἦ τοι ὑπέσχεθε χεῖρ', ὃ δ' ἄρ' ἔμβαλεν ἄγχι παραστάς,
'γνῶ δὲ κλήρου σῆμα ϝιδών, 'γήθησε δὲ θυμῷ.
τὸν μὲν πὰρ πόδ' ἑϝὸν χαμάδις 'βάλε, 'φώνησέν τε·
„ὦ φίλοι, ἦ τοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτὸς
θυμῷ, ἐπεὶ δοκέω νικησέμεν' Ἕκτορα δῖον.
ἀλλ' ἄγετ', ὄφρα κ' ἐγὼ πολεμήια τεύχεα δύω,
τόφρ' ὕμες εὔχεσθε Διὶ Κρονίωνι ϝάνακτι
σιγῇ ἐφ' ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται·
ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δέδϝιμεν ἔμπης· 196ᵇ = β 199
οὐ γάρ τίς με βίῃ γε ϝεκὼν ἀϝέκοντα δίηται,
οὐδέ τι ϝιδρυίῃ, ἐπεὶ οὐδ' ἐμὲ νήϝιδά γ' οὕτως
ϝέλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε."
' ὣς ἔφαθ', οἳ δ' ηὔχοντο Διὶ Κρονίωνι ϝάνακτι·
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 201 = 178
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 202 = Γ 276
δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ,
ϝίσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον."
ὣς ἄρ' ἔφαν, Αἴας δ' ἐκορύσσετο νώροπι χαλκῷ. 206 cf. Π 130
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ τεύχε' ἔϝεστο,
'σεύατ' ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης,
ὅς τ' εἶσιν πόλεμόνδε μετ' ἀνέρας, οὕς τε Κρονίων
θυμοβόροι' ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι·
τοῖος ἄρ' Αἴας ὦρτο πελώριος, ἕρκος Ἀχαιῶν,
μειδιάων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶ

195—199 Zen. Aristoph. Ar. —

186 *τὸν ἵκανε* C D] *ῥ' ἵκανε* A, utrumque Ar. (cod. *ῥ' ἵκοντο*, corr. Lehrs Spitzner) ‖ 187 *ἐπιγράψας*] non de ***literis*** poetam loqui sed de aliis signis, quae is tantum qui insculpserat posset agnoscere, vere monuit Ar. ‖ 193 **ὄφρα κ'*] *ὄφρ' ἄν*. — *δύω* A C D] *δύνω* Ar. ‖ 194 **ὕμες*] *ὑμεῖς* ‖ 195—199] ab Aiacis persona alienos sine iusta causa censuerunt veteres critici ‖ 196 *δέδϝιμεν*] *δείδιμεν* ‖ 197 *ϝεκὼν*] *ἑλὼν* Ar. ‖ 198 **τι ϝιδρυίῃ*] *τι ἰδρείῃ* Ar., *μὲν ἰδρείῃ* Aristoph., *τ' ἀιδρείῃ* A C D (sensu *πολυπειρίᾳ*). — *οὕτως*] *αὔτως* Vind., fortasse recte ‖ 207 **τεύχε' ἔϝεστο*] *ἕσσατο τεύχη*. Correctionem, quam forma parum homerica *τεύχη* (l. a. *τεύχεα*) necessariam esse ostendit (cf. nº 71), tuentur *M* 464 *Ψ* 67 *ρ* 203 etc. Transposuerunt verba qui *τεύχη ἕσσο* vitiosum censebant versus exitum ‖ 210 *θυμοβόροι'* nº 59] *-ρου* ‖ 212 *μειδιάων* nº 191] *-όων*

VII ἤιε μακρὰ βιβάς, κραδάων δολιχόσκιον ἔγχος.
τὸν δὲ καὶ Ἀργέιοι μὲν ἐγήθεον εἰσοράοντες,
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα Ϝέκαστον, 215 = Υ 44
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσ' ἐπάτασσε·
ἀλλ' οὔ πως ἔτι εἶχεν ὑποτρέσαι οὐδ' ἀναδῦναι
ἂψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ.
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠύτε πύργον, 219 = Λ 485 Ρ 128
χάλκεον ἑπταβόειον, ὅ Ϝοι Τυχίος 'κάμε τεύχων,
σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι Ϝοικία ναίων·
ὅς Ϝοι ἐποίησεν σάκος αἰόλον ἑπταβόειον,
ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλασε χαλκόν.
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας
'στῆ ῥα μάλ' Ἕκτορος ἐγγὺς, ἀπειλήσας δὲ προσηύδα·
„Ἕκτορ, νῦν μὲν δὴ σάφα Ϝείσεαι οἰόθεν οἶος,
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
ἀλλ' ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι 229 sq. = Β 771 sq.
κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι, ποιμένι λαῶν.
ἡμεῖς δ' εἰμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν,
καὶ πολέες. ἀλλ' ἄρχε μάχης ἠδὲ πτολέμοιο.'' [440
τὸν δ' αὖτε προσέϜειπε μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 233 = 287 cf. Ζ
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 234 = Ι 644 Λ 465
μή τί με' ἠύτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικὸς, ἣ οὐ Ϝοῖδεν πολεμήια Ϝέργα.
αὐτὰρ ἐγὼν ἐὺ Ϝοῖδα μάχας τ' ἀνδροκτασίας τε· 237[b] cf. Ω 548
Ϝοῖδ' ἐπὶ δεξιὰ, Ϝοῖδ' ἐπ' ἀριστερὰ νωμῆσαι βοῦν,

---

213] βιβάς] sic Ar.; cf. Ν 371 Ο 307 et ad Μ 277 ‖ 214 μὲν Ar.] μέγ' A C D. — εἰσοράοντες n° 191] -όωντες ‖ 215 ἕκαστον A C] ἑκάστου D ‖ 216 *στήθεσσ' ἐπάτασσε] στήθεσσι πάτ. ‖ 217 ἔτι εἶχεν] hiatus vix ferendus; *ἀλλ' οὔ πως γὰρ ἔτ' εἶχεν? cf. vs. 242 ‖ 221 Ὕλῃ] Ὕδῃ l. a. ap. Strabon. IX 408 XIII 626 ‖ 226 οἰόθεν οἶος] cf. vs. 39 ‖ 230 ἀπομηνίσας] l. a. ἐπιμηνίσας ab Ar. commemorata ‖ 231 ἡμεῖς δ' εἰμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν] Homericum non est οἳ ἂν pro οἵ κεν, et mire displicet τοιοῖ οἵ. Praeterea 3[a] potius quam 1[a] persona requiri videtur propter καὶ πολέες. Suspicamur igitur εἰμὲν ex ἦ μὲν esse corruptum, et legendum esse *ἦ μὲν ἔτι τοῖοι, οἵ κεν σέθεν ἀντιάσειαν ‖ 235 *με'] μευ. — ἀφαυροῦ] -ρόο? n° 59 ‖ 238 βοῦν Aristoph.] βῶν Ar. A C D, βῶ (pro βόα) Rhianus. Non aeolica est forma βῶν, sed ex βοῆν contracta esse credebatur. Optime vero βοῦς pro *scuti corio* dicitur, cf. Μ 137 Π 636; quemadmodum *elephas* pro *ebore* Δ 141 σ 196. Subsimili usu dicitur σάκος ταύρων Ε 222 sq., ἱμὰς βοὸς Γ 375, ἀσκοὶ καμήλων Herodot. III 9. Eodem errore εὔβων pro εὔβουν legitur h. Ap. 54

VII ϝοῖδα δ' ἐπαΐξαι μόθον ἵππων ὠκειάων,
ϝοῖδα δ' ἐνὶ σταδίῃ δηίῳ μέλπεσθαι Ἄρηι.
ἀλλ' οὐ γάρ σ' ἐθέλω βαλέμεν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύσας, ἀλλ' ἀμφαδόν, αἴ κε τύχωμι."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 244 = Γ 355
καὶ 'βάλεν Αἴαντος δϝεινὸν σάκος ἑπταβόειον 245 cf. 266
ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ' αὐτῷ.
ἓξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής,
ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ 'σχέτο. δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος,
καὶ 'βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην. 250-254 = Γ 356 sqq.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἄντικρυς δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω
σύν ῥ' ἔπεσον, λίεσσι ϝεϝοικότες ὠμοφάγοισι 256ᵇ sq. = E 782 sq.
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί,
οὐδ' ἔρρηξεν χαλκόν, ἀνεγνάμφθη δέ ϝοι αἰχμή. 259 = Γ 348
Αἴας δ' ἀσπίδ' ἔνυξ' ἐπιάλμενος· ἡ δὲ διὰ πρὸ 260 cf. M 404
ἤλυθεν ἐγχείη, 'στυφέλιξε δέ μιν μεμαῶτα, 261 = M 405
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης κόρυθ' αἰόλος Ἕκτωρ,
ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ 264 cf. Φ 403
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε· 265 = Φ 404
τῷ 'βάλεν Αἴαντος δϝεινὸν σάκος ἑπταβόειον 266 cf. 245
μέσσον ἐπομφάλιον· περιϝήχησεν δ' ἄρα χαλκός.
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας 268ᵇ sq. = ι 537 sq.

239 ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν

255—257 (256 sq. Lehrs) Zen. om.

239 *ταλαύρινον*] *bellatoris* esse epitheton, fere = *φέρασπις* (vid. E 289 Y 78 X 267) docet etymologia; conf. *ταλαϝεργός* et *ταλαπενθής*. Ex perverso igitur adiectivi usu spurium esse hunc versum apparet, quo deleto apte continuatur *ϝοῖδα* trium versuum initio ‖ 241 *δηίῳ*] nº 17. Ar. *δηίων* ‖ 242 *βαλέμεν* nº 126] *-έειν* ‖ 243 *τύχωμι* A] *-οιμι* C D ‖ 251 *διὰ*] cf. nº 22 ‖ 253 *ἄντικρυς* Bentley] *ἀντικρὺ* ‖ 256 *λίεσσι* Nauck] *λείουσιν*, cf. nº 74 ‖ 259 *χαλκὸν*] *-κὸς* Ar.; cf. Γ 348 ‖ 260 **ἀσπίδ' ἔνυξ' ἐπιάλμενος*] *ἀσπίδα νύξεν ἐπάλμενος*

VII ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ϝῖν' ἀπέλεθρον,
εἴσω δ' ἀσπίδ' ἔϝαξε βαλὼν μυλοϝειδέι πέτρῳ,
'βλάψε δέ ϝοι φίλα γούναθ'· ὃ δ' ὕπτιος ἐξετανύσθη
ἀσπίδ' ἐνιχριμφθείς· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων.
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν οὐτάζοντο, 273a = P 530
εἰ μὴ κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν, 274b = Λ 334
ἦλθον, ὃ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε καὶ Ἰδαῖος, πεπνυμένω ἄμφω·
μέσσῳ δ' ἀμφοτέρων σκῆπτρ' ἔσχον, 'ϝεῖπέ τε μῦθον
κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα ϝειδώς·
„μηκέτι, παῖδε φίλω, πολεμίζετον ἠδὲ μάχεσθον·
σφῶι γὰρ ἀμφοτέρω φιλέει νεφεληγερέτα Ζεύς· 280 = K 552
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ ϝίδμεν ἅπαντες.
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι." 282 = 293
τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
„Ἰδαῖ', Ἕκτορα ταῦτα κελεύετε μυθήσασθαι,
αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείσομαι, ᾗ κέ περ οὗτος."
τὸν δ' αὖτε προσέϝειπε μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 287 = 233
„Αἶαν, ἐπεί τοι ἔδωκε θεὸς μέγεθός τε βίην τε
καὶ πινυτήν, περὶ δ' ἔγχε' Ἀχαιῶν φέρτατός ἐσσι,
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηιοτῆτος [396 sq.
σήμερον· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων 291b sq. = 377 sq.
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην. 291 cf. 30
[νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·] 293 = 282
ὡς σύ τ' ἐυφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,
[σούς τε μάλιστα ϝέτας καὶ ἑταίρους οἵ τοι ἔασι,]
αὐτὰρ ἐγὼ κατὰ ϝάστυ μέγα Πριάμοιο ϝάνακτος
Τρῶας ἐυφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,

293 Ar. — || 295 Ar. —

272 ἀσπίδ' ἐνιχριμφθείς Ar.] ἀσπίδι ἐγχριμφθείς A C D. — αἶψ'] sic Ar., reiecta l. a. ἆψ || 277 *σκῆπτρ' ἔσχον] σκῆπτρα σχέθον. Bentley σκῆπτρα (debebat σκῆπτρον) σχέθε; sed otiosum adstitisse Talthybium quis credat! || 279 *πολεμίζετον ἠδὲ] πολεμίζετε μηδὲ; vid. ad Ο 511 || 280 *σφῶι γὰρ ἀμφοτέρω φιλέει] ἀμφοτέρω γὰρ σφῶι φιλεῖ, item K 552; cf. nº 191. An *ἄμφω γὰρ σφῶι φιλέει? || 286 *κέ περ] περ ἂν || 288 ἔδωκε Nauck] δῶκε || 289 *ἔγχε' nº 71] ἔγχει || 290] l. a. παύσωμεν πόλεμον καὶ δηιότητα (= vs. 29), male || 291 μαχεσσόμεθ' Nauck] μαχησόμεθ'. Versus 291—293 spurios censent vHerwerden Naber || 292 *ἦμε] ἄμμε. — διακρίνῃ] nº 122 || 294 ἐυφρήνῃς] nº 122

VII *αἵ τε μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.* 298 cf. Σ 376
*δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,*
*ὄφρα τις ὧς Ϝείπῃσιν Ἀχαιῶν τε Τρώων τε·*
*ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,*
*ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε."*
*ὧς ἄρα φωνήσας 'δῶκε ξίφος ἀργυρόηλον,*
*σὺν κολεῷ τε φέρων καὶ ἐὺ τμητῷ τελαμῶνι·* 304 = Ψ 825
*Αἴας δε ζωστῆρ' ἐδίδου φοίνικι φαεινόν.* 305b = Z 219
*τὼ δὲ διακρινθέντε ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν*
*ἤϊ', ὃ δ' ἐς Τρώων ὅμαδον 'κίε. τοὶ δ' ἐχάρησαν,* 307b sq. = E 514 sq.
*ὥς Ϝ' ἔϜιδον ζῳόν τε καὶ ἀρτεμέα προσιόντα,*
*Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους·*
*καί Ϝ' ἦγον προτὶ Ϝάστυ, ἀϜελπτέοντες σάον εἶναι.*
*Αἴαντ' αὖθ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ*
*εἰς Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ.*

---

*οἳ δ' ὅτε δὴ κλισίῃσιν 'ν Ἀτρεΐδα' ἐγένοντο,* 313 = I 669
*τοῖσι δὲ βοῦν ἱέρευσε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων* 314 sq. cf. B 402 sq.
*ἄρσενα πεντεϜέτηρον ὑπερμενέι Κρονίωνι.*
*τὸν 'δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα,* 316-318a = τ 421 sqq.
*'μίστυλλόν τ' ἄρ' ἐπισταμένως 'πεῖράν τ' ὀβελοῖσι,* 317 sq. = Ω 623 sq.
*ὤπτησάν τε περιφραδέως, 'Ϝερύσαντό τε πάντα.* 317 cf. A 465
*αὐτὰρ ἐπεὶ 'παύσαντο πόνου 'τετύκοντό τε δαῖτα,* 318-320 = A 466 sqq.
*'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης.*
*νώτοισιν δ' Αἴαντα διηνεκέεσσ' ἐγέραιρε* 321 cf. ξ 437
*ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων.* 322 = A 102
*αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο,* 323-326 = I 92 [sqq. 323 = A 469

---

298 *δύσονται*] l. a. *θύονται*; neutrum potest intellegi. Cf. Σ 376 ‖ 300 *ὧς* Bentley] *ὧδ'* ‖ 304 *ἐὺ τμητῷ*] *ἐυκμήτῳ* Ar. ‖ 305 *ζωστῆρ' ἐδίδου*] *-ρα δίδου* meliores ‖ 308 **Ϝ' ἔϜιδον*] *εἶδον*. Cf. E 515. Versum h. l. insiticium censet Naber ‖ 310 **Ϝ'*] *ῥ'* (*δὴ* Eustath.). — *ἀϜελπτέοντες*] verbum aliunde ignotum. Mire sic dicitur pro *ἐξ ἀέλπτου αὐτὸν σῶν ὁρῶντες*; potius *clamandi* aliquod verbum expectaveris, e. g. *ἀυτέοντες*. De *-εο-* cf. nº 8 et 191. — *σάον* nº 62] *σόον* ‖ 313 **Ἀτρεΐδα' ἐγένοντο*] *-δαο γένοντο* ‖ 315 *πεντεϜέτηρον*] *πενταέτηρον* ‖ 321 **διηνεκέεσσ' ἐγέραιρε*] *-εσσι γέραιρε*. Locum male interpretatus est Verg. Aen. VIII 182 sq. *vescitur ... perpetui tergo bovis*. Integrum tergum neque veru assabant (*'μίστυλλον τἆλλα*) neque cuiquam apponi poterat aut ab eo devorari; sed *διηνεκέα νῶτα* sunt *psoa* („*haas*"), ut vere explicavit Zucker ‖ 323 **εἶντο*] *ἕντο*

VII τοῖσ' ὁ γέρων πάμπρωτος ὑφαινέμεν' ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη 'φαίνετο βουλή· 325 sq. = ω 52 sq.
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 327 = 385 Ψ 236
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομάοντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄϝιδόσδε κατῆλθον·
τῷ σε χρὴ πόλεμον μὲν ἅμ' ἠόι παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτούς.
τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες 336-341 cf. 435 sqq.
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν,
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππους καὶ λαὸν ἐρυκάκῃ ἀμφὶς ἐοῦσα,
μή ποτ' ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνεσσαν βασιλῆες. 344 = Ι 710

Τρώων αὖτ' ἀγορὴ 'γένετ' Ἰλίου ἐν πόλι' ἄκρῃ
δϝεινὴ τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃσι.
τοῖσιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν·

334 τυτθὸν ἀπὸ πρὸ νεῶν, ὥς κ' ὀστέα παισὶ ϝέκαστος
ϝοίκαδ' ἄγῃ, ὅτέ κ' αὖτε νεώμεθα πατρίδα γαῖαν.

334 sq. Ar. —

324 τοῖσ' ὁ] τοῖσι? — ὑφαινέμεν Bekker] -νειν ‖ 327 Ἀτρεΐδη] -δαι A² C ‖ 328 κομάοντες n° 191] -όωντες ‖ 331 ἠόι n° 77] ἠοῖ ‖ 333 κατακήομεν n° 177] -κείομεν. — αὐτούς] misere languet; IMHoogvliet αὖθι, sed sic ἀτάρ commode explicari nequit. Omnino mire abundat pronomen αὐτός versibus 332—340 ‖ 334 sq.] merito damnavit Ar.; nam ex singulari πυρή vs. 336, adiectivo ἄκριτος vs. 337 et 436, inprimis vero ex verbo ἐνήεον vs. 431 claro apparet, de *secernendis* mortuorum corporibus non cogitasse poetam. Praeterea non concinunt cum locis quales sunt Δ 174 Σ 332. Novisse tamen videtur Aeschylus, vid. Agam. 436—445 ‖ 335 *ὅτε κ'] ὅτ' ἂν ‖ 336 δ'] τ' Ar. ‖ 337 ἐκ πεδίου] ἐν πεδίῳ Aristoph. — αὐτὸν] suspectum ‖ 339 εὖ] l. a. ἔπι' (insulse) ‖ 340 εἴῃ GHermann] εἴη ‖ 342 ἵππους Eustath.] ἵππον. — *ἐρυκάκῃ] -κοι. — ἐοῦσα] l. a. ἔχουσα (male) ‖ 343 ἐπιβρίσῃ] n° 122 ‖ 344 ἐπήνεσσαν n° 295] -νησαν A C, -νεσαν D ‖ 345 αὖτ'] δ' αὖτ' D. — Ἰλίου] sine ϝ. Fortasse aberat olim nomen proprium (cf. Σ 246); si genuinum est, *'πλέτο Ϝιλίου videtur corrigendum esse. — *πόλι' n° 74] πόλει ‖ 347 ἦρχ' ἀγορεύειν] ἀντίον ηὔδα A

VII „κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, — $348$ sq. = $368$ sq.; $348 = Γ\ 456$
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. — $349 = 68$
δεῦτ' ἄγετ', Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ — $350^{b} = Γ\ 458$
δώομεν Ἀτρεΐδῃσιν ἄγειν· νῦν δ' ὅρκια πιστὰ — $351^{a}$ cf. Χ 117
ψευσάμενοι μαχόμεσθα· τῷ οὔ νύ τι κέρδιον ἧμιν.''
ἦ τοι ὅ γ' ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη — $354 = Α\ 68$
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, — $355 = Γ\ 329$
ὅς μιν ἀμειβόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· — $357^{b}$-$360 = Μ\ 231$ [sqq.; $357^{b} = Σ\ 285$
Ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μέθ' ἱπποδάμοισ' ἀγορεύσω. — $361^{b} = Θ\ 525$
ἄντικρυς δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ', ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,
πάντ' ἐθέλω δόμεναι καὶ Ϝοίκοθεν ἄλλ' ἐπιθεῖναι.'' — $364 = 391$
ἦ τοι ὅ γ' ὣς Ϝειπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη — $365 = Α\ 68$
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος,
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„[κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, — $368$ sq. = $348$ sq.
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.]
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ, — $370^{a} = Σ\ 298$
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε Ϝέκαστος· — $371 = Σ\ 299$
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας — $372$ cf. $381$
ϜειπέμενἈτρεΐδῃσ' Ἀγαμέμνονι καὶ Μενελάῳ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε· — $374 = Γ\ 87$
καὶ δὲ τὸ Ϝειπέμεναι πυκινὸν Ϝέπος, αἴ κ' ἐθέλωσι — $375$ cf. $394$

353 Ϝέλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.

353 Ar. —

348 *μοι] μευ || 349 ἔσπω nº 246] εἴπω. Cf. vs. 68 || 352 *ἧμιν] ἡμῖν || 353 ἵνα] ἵν' ἂν Ar.; quod si vere traditur, in versu spurio absurdam lectionem non corrigendam censuit || 359 εἰ δ' Ar. codd.] l. a. εἰ || 362 ἄντικρυς Bentley] ἀντικρὺ || 364 καὶ Heyne] καὶ ἔτ'. Omittit ἔτ' Eustath. 1335, 50, ubi narrat observatum esse a doctis scilicet viris, litera sigma hunc versum carere || 368 sq.] om. A || 368 *μοι] μευ || 369 ἔσπω nº 246] εἴπω. Cf. vs. 68 || 370 πτόλιν] l. a. στρατὸν, male, ut ostendunt verba ὡς τὸ πάρος περ. Sed cf. vs. 380 || 371 ἐγρήγορθε] non sollicitanda est litera θ, quae ex τ post syncopen est nata more satis vulgato, cf. κέκραχθε, πρόχνυ, ἔφρηκα et similia || 375 τὸ Heyne] τόδ'. Nauck καὶ τόδε

VII παύσασθαι πολέμου δυσϝηχέος, εἰς ὅ κε νεκροὺς  376-378 = 395 sqq.
κήομεν· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων  377ᵇ sq. = 291 sq.
ἧμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."  [etc.
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.  379 = Ι 79 Ξ 133
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.  381 cf. 372
τοὺς δ' ηὗρ' ἐν ἀγορῇ Δαναούς, θεράποντας Ἄρηος,
νηὶ πάρα πρυμνῇ Ἀγαμέμνονος· αὐτὰρ ὃ τοῖσι
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κήρυξ·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,  385 = 327
ἤνωγε Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
ϝειπέμεν', αἴ κέ περ ὔμι φίλον καὶ ϝηδὺ γένηται,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε.  388 = Γ 87
κτήματα μέν, ὅσ' Ἀλέξανδρος κοίλῃσ' ἐνὶ νηυσὶ  389 sq.ᵃ cf. Χ 115 sq.
ἠγάγετο Τροίηνδ' — ὡς πρὶν ὤφειλ' ἀπολέσθαι —
πάντ' ἐθέλει δόμεναι καὶ ϝοίκοθεν ἄλλ' ἐπιθεῖναι·  391 = 364
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἤνωγον ϝειπεῖν ϝέπος, αἴ κ' ἐθέλητε  394 cf. 375
παύσασθαι πολέμου δυσϝηχέος, εἰς ὅ κε νεκροὺς  395-397 = 376 sqq.
κήομεν· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων
ἧμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."  [sq. cf. η 154 sq.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.  398 sq.ᵃ = υ 320; 398 = Γ 95
ὀψὲ δὲ δὴ μετέϝειπε βοὴν ἀγαθὸς Διομήδης·  399 = Ι 31, 696
„μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δέ, καὶ ὃς μάλα νήπιός ἐστι,
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐϝίϝαχον υἷες Ἀχαιῶν,  403 sq. = Ι 50 sq.

---

380 δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσι.  380 cf. Λ 730 Σ 298, 314

---

376 πολέμου Bekker] -οιο ‖ 377 κήομεν nº 177] κείομεν. — μαχεσσόμεθ' Nauck] μαχησόμεθ' ‖ 378 *ἧμε] ἄμμε. — διακρίνῃ] nº 122 ‖ 380] om. A D. Si servaretur, pro στρατὸν legendum esset πτόλιν; cf. vs. 370 ‖ 382 ἐν D, cf. nº 315] εἰν ‖ 385 ἀριστῆες Παναχαιῶν] ἐυκνήμιδες Ἀχαιοί D ‖ 386 *ἤνωγε] ἠνώγει, cf. nº 225 ‖ 387 εἰπέμεν C] εἰπεῖν A D. — *ὔμι] ὔμμι A D, ὔμμι C. — γένηται Naber] γένοιτο. Cf. vs. 394 ‖ 390 ὤφειλ' Nauck] ὤφελλ' ‖ 391 καὶ Heyne] καὶ ἔτι. Cf. vs. 364 ‖ 393 μὴν Ar. A C] μιν D ‖ 394 ἤνωγον Bentley, nº 225] ἠνώγεον. Etiam singularis ἤνωγεν (ἠνώγει Spitzner minus recte) ferri posset; cf. vs. 386 ‖ 395 πολέμου Bekker] -οιο ‖ 396 κήομεν nº 177] κείομεν. — μαχεσσόμεθ' Nauck] -ησόμεθ' ‖ 397 ἧμε] ἄμμε. — διακρίνῃ] nº 122 ‖ 402 πείρατ'] cf. ad Ζ 143 ‖ 403 ἐϝίϝαχον Bentley] ἐπίαχον

VII μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο. 404 = Ι 711
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
„Ἰδαῖ', ἦ τοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιϜανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν — κατακαιέμεν' οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν' ὦκα.
ὅρκια δὲ Ζεὺς Ϝίστω, ἐρίγδουπος πόσις Ἥρης."
ὣς Ϝειπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσι,
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ϝίλιον ἱρήν.
οἳ δ' ἕατ' ἐν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι 415ᵃ = Β 789
Ἰδαῖος· ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέϜειπε
στὰς ἐν μέσσοισιν. τοὶ δ' ὡπλίζοντο μάλ' ὦκα,
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
Ἀργέιοι δ' ἑτέρωθεν ἐυσσέλμων ἀπὸ νηῶν
ὠτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.

ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας 421 sq. = τ 433 sq.
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἳ δ' ἤντεον ἀλλήλοισι.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα Ϝέκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,
δάκρυα θερμὰ χέοντες ἀμαξάων ἐπάειραν.
οὐδ' εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἔπ' ἐνήεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ϝίλιον ἱρήν.
ὣς δ' αὔτως ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
νεκροὺς πυρκαϊῆς ἔπ' ἐνήεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.

---

409 -θνηώτων Ar.] -θνειώτων ‖ 412 τὸ] male abundat. Varia tentari possunt; Ϝὸν parum placet ‖ 414 ἐν nº 315] εἰν ‖ 420] spurium censent vHerwerden et Nauck. — ὠτρύνοντο] ὀτρύνοντο Ar., ὤτρυνον (ὄτρυνον D) νέκυας codd. ‖ 424 διαγνῶναι] nº 125. — χαλεπῶς] χαλεπὸν C. — ἦν] ἔεν LMeyer. — Pristina versus forma videtur fuisse *ἔνθ' ἄρ' ἔην χαλεπὸν διαγνώμεναι ἄνδρα Ϝέκαστον ‖ 427 εἴα] *ἔαε? — οἳ δὲ] l. a. ἀλλὰ ‖ 428 πυρκαϊῆς Ar. codd.] πυρκαϊῇ Zen. — *ἔπ' ἐνήεον] ἐπενήεον Bekker, ἐπενήνεον codd. absurde, l. a. ἐπινήνεον ‖ 431] vid. ad vs. 428

VII *ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ,*
*τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς ἤγρετο λαὸς Ἀχαιῶν,*
*τύμβον δ' ἀμφ' αὐτὴν ἕν' ἐποίεον ἐξαγαγόντες* 435-440 cf. 336 sqq.
*ἄκριτον ἐκ πεδίου, ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν*
*πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.*
*ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,*
*ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·*
*ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν,*
*εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.* 441 cf. *Ι* 350
*ὣς οἳ μὲν 'πονέοντο κάρη κομάοντες Ἀχαιοί·*
*οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ* 443ᵃ = *Δ* 1
*'θηεῦντο μέγα ϝέργον Ἀχαιῶν χαλκοχιτώνων.*
*τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·*
*„Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν,*
*ὅς τις ἔτ' ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίσπῃ;*
*οὐχ ὁράεις, ὅτι δ' αὖτε κάρη κομάοντες Ἀχαιοὶ*
*τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον* 449ᵇ sq. = *Μ* 5 sq.
*ἤλασαν, οὐδὲ θεοῖσ' ἔδοσαν κλειτὰς ἑκατόμβας;*
*τοῦ δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἔπι κίδναται ἠώς·* 451 cf. 458
*τοῦ δ' ἐπιλήσονται τό τ' ἐγὼ καὶ Φοῖβος Ἀπόλλων*
*ἥρωι Λαομέδοντ' ἐπολίσσαμεν ἀθλήσαντε."*
*τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·* 454 cf. *Α* 517
*„ὢ πόποι, ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔϝειπες.* 455 = *ν* 140; 455ᵃ = *Θ* 201
*ἄλλος κέν τις τοῦτο θεῶν δϝείσειε νόημα,*

---

443—464 Zen. Aristoph. Ar. ——

---

433 *ἦμος*] supple *ἐστι*: illo noctis tempore quo iam paululum allucescit (*ἀμφιλύκη* †), ***diluculi*** tempore igitur. — *ἄρα* Nauck] *ἄρ* ‖ 434 *ἤγρετο* Duentzer Cobet LaRoche] *ἔγρετο* codd. Errorum, quos peperit vetusta literatura, insignius non extat exemplum ‖ 435 **ἕν' ἐποίεον*] *ἕνα ποίεον* ‖ 436 *ἐκ πεδίου, ποτὶ*] *ἐν πεδίῳ, περὶ* Aristoph., contra mentem poetae ‖ 442 *κομάοντες* nº 191] *-όωντες* ‖ 444 *'θηεῦντο*] nº 7 et 191 ‖ 447 **ἐνίσπῃ* nº 246] *ἐνίψει*. Vulgata significat ***vituperabit***, sed Alexandrinis videbatur significare posse ***narrabit*** ‖ 448 *ὁράεις . . . κομάοντες* nº 191] *-ᾶᾳς . . . -ώοντες* ‖ 450 **θεοῖσ' ἔδοσαν*] *θεοῖσι δόσαν* ‖ 451 et 458 *ὅσον* Zen. CD] *ὅσην* Ar. Ambr. A. Cf. *Γ* 12 *Ο* 358 etc. ‖ 452 *τό τ'*] Ambr. A, *τὸ* Ar., *ὅτ'* CD ‖ 453 *ἥρωι* nº 17] Ar. *ἥρῳ* disyllabum h. l. et *Θ* 483; rectius diduxit Nauck; vid. *ζ* 303. Non necessaria est correctio *Λαομέδονθ' ἥρω'(ι)*, quamquam fieri potest ut olim sic fuerit in libris. — **Λαομέδοντ' ἐπολ.*] *-δοντι πολ.* — *ἀθλήσαντε*] pro *ἀεθλ.* forma novicia. Cf. *Ι* 124, 266 *Δ* 699 *Ο* 30 *Θ* 160, 164 ‖ 455 *εὐρυσθενὲς*] *-γαιε ἐρισθενὲς* Nauck, cui coniecturae egregie favet Hes. Oper. 416 *Ζηνὸς ἐρισθενέος*. At tamen adiectivum, quod *Θ* 201 *ν* 140 redit, satis defendi videtur compositis similibus *εὐρύϝοπα*, *εὐρυφυής* (*Εὐρυσθεύς*?) etc.

VII ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἔπι κίδναται ἠώς. 458 cf. 451
ἄγρεε μὰν, ὅτε κ' αὖτε κάρη κομάοντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν, 460 = O 499
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ' ἠιόνα μεγάλην ψαμάθοισι καλύψαι, 462 = M 31
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
'δύσετο δ' ἠέλιος, 'τετέλεστο δὲ ϝέργον Ἀχαιῶν,
'βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
νῆες δ' ἐκ Λήμνοιο παρέσταν ϝοῖνον ἄγουσαι
πολλαὶ, τὰς προέηκεν 'Ιησονίδης Ἐύνηος,
τόν ῥ' ἔτεχ' Ὑψιπύλη ὑπ' Ἰήσονι, ποιμένι λαῶν.
χωρὶς δ' Ἀτρεΐδησ' Ἀγαμέμνονι καὶ Μενελάῳ
'δῶκεν 'Ιησονίδης ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθ' ἄρ' ἐϝοινίζοντο κάρη κομάοντες Ἀχαιοὶ,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖσ', ἄλλοι δ' αὐτῇσι βόεσσι,
ἄλλοι δ' ἀνδραπόδοισ'· ἐτίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομάοντες Ἀχαιοὶ
'δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·
παννύχιος δέ σφιν κάκ' ἐμήδετο μητιέτα Ζεὺς
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δϝέος ᾕρει· 479ᵇ = μ 243
ϝοῖνον δ' ἐκ δεπάων χαμάδις 'χέον, οὐδέ τις ἔτλη
πινέμεναι, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
'κοιμήσαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο. 482 cf. I 713 π 481 τ 427

475 Zen. Aristoph. Ar. — || 482 Zen. om. (item Θ 1)

459 ἄγρεε nº 191] ἄγρει. — *ὅτε κ'] ὅτ' ἄν. — κομάοντες nº 191] -όωντες || 465 δ'] τ' meliores || 467 παρέσταν Vind. Bentley] παρέστασαν || 472 ἔνθ' D] ἔνθεν A C. — *ἐϝοινίζοντο] οἰνίζοντο. — κομάοντες nº 191] -όωντες || 475 *ἀνδραπόδοισ'· ἐτίθεντο] -οισι· τίθ. Ar., -δεσσι· τίθ. codd. Novicium vocabulum ἀνδράποδον nonnisi h. l. legitur. Cf. Γ 409 || 476 κομάοντες nº 191] -όωντες || 478 *κάκ' ἐμήδετο] κακὰ 'μήδετο || 481 πινέμεναι Ar. (πιέμεναι cod., correxit Cobet)] πρὶν πιέειν

# *ΙΛΙΑΔΟΣ Θ.*

*Κόλος μάχη.*

---

VIII *Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,* 1 = *Ω* 695
*Ζεὺς δὲ θεῶν ἀγορὴν 'ποιήσατο τερπικέραυνος*
*ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.* 3 = *Α* 499
*αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ἐπὶ πάντες ἄκουον·*
*„κέκλυτέ μοι, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι·* 5 sq. = *Τ* 101 sq. 5 = h. Ap. 311
*μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην*
*πειραέτω διακέρσαι ἐμὸν ϝέπος, ἀλλ' ἅμα πάντες*
*αἰνέετ', ὄφρα τάχιστα τελευτήσω τάδε ϝέργα.*
*ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω* 10 cf. *Α* 549
*ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι,* 11 cf. *Ν* 9
*πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·* 12 sq. cf. h. Merc. 255 sqq.
*ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,*
*τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,*
*ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,* 15 cf. Hes. Theog. 732 sq.
*τόσσον ἔνερθ' Ἀϝίδα' ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·* 16 cf. Hes. Theog. 720 sq.
*γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.*
*εἶ' ἄγε πειρήσασθε, θεοί, ἵνα ϝείδετε πάντες·*

---

6 *ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.* 6 = *Η* 68
1 Zen. om. (item *Η* 482)

---

1] post 52 collocavit Zen. ‖ 4 *ἐπὶ* vHerwerden] *ὑπό*, l. a. *ἅμα* ‖ 5 **μοι*] *μευ* ‖ 6] omittunt A D. — *ἔσπω* n° 246] *εἴπω*. Cf. *Η* 68 ‖ 7 *θεός*] l. a. *θεῶν*, ab Ar. probata vel certe commemorata ‖ 8 *πειραέτω* n° 191] *πειράτω* ‖ 9 *αἰνέετ'* n° 191] *αἰνεῖτ'* ‖ 10 **δέ κ'*] *δ' ἄν*. — *ἀπάνευθε*] *μετόπισθε* Zen., *ἀπάτερθε* Aristoph. ‖ 16 *Ἀϝίδα'* n° 55] *Ἀίδεω* ‖ 18 *εἶ'*] *εἰ δ'*. Cf. *Α* 302

VIII σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὔ κεν Ϝερύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι Ϝερύσσαι,
αὐτῇ κεν γαίῃ Ϝερύσαιμ' αὐτῇ τε θαλάσσῃ·
[σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.]
τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ, 28 = Γ 95
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε. 28 sq. = Ι 693 sq. 28-30 cf. Ι 430 sqq.
ὀψὲ δὲ δὴ μετέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη· 30 sq. ☰ α 44 sq. 80 sq.
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων, 31 = ω 473
εὖ νυ καὶ ἦμες Ϝίδμεν ὅ τοι σθένος οὐκ ἐπιϜεικτόν· 32 cf. 463
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων, 33 sq. = 464 sq.
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται. 34 = 354
ἀλλ' ἦ τοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις· 35 cf. 466
βουλὴν δ' Ἀργεΐοισ' ὑποθησόμεθ', ἥ τις ὀνήσει, 36 sq. = 467 sq.
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεεῖο."
τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς· 38b-40 = Χ 182 sqq.
„θάρσεε, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι." 40b = h. Merc. 466
ὣς Ϝειπὼν ὑπ' ὄχεσφι 'τιτύσκετο χαλκόποδ' ἵππω, 41b-44 = Ν 23 sqq.
ὠκυπέτα, χρυσέῃσι Ϝεθείρῃσιν κομάοντε,
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, 'γέντο δ' ἱμάσθλην
χρυσείην ἐύτυκτον, ἑϜοῦ δ' ἐπεβήσετο δίφρον.
'μάστιξεν δ' ἐλάειν· τὼ δ' οὐκ ἀϜέκοντ' ἐπετέσθην 45 = Ε 366 cf. Ε 768
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος. 46 = Ε 769
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν, 47 = h. Ven. 68 cf. Ξ 283 Ο 151

25 sq. Zen. — ‖ 28—40 Ar. — ‖ 37 Zen. om.

20 τ' C] δ' AD ‖ 21 *οὔ κεν] οὐκ ἂν ‖ 22 μήστωρ'] πάντων Aristot. de an. mot. 4. — κάμοιτε] l. a. πάθοιτε ‖ 23 πρόφρων] πρόσσω grammaticus quidam. — δή.... ἐθέλοιμι] κεν Aristid. II 506, Pseudoplut. vit. Hom. 94; ἐθέλωμι Ar. Aut neutrum aut utrumque est recipiendum ‖ 29 ἀγασσάμενοι] l. a. φρασσάμενοι ‖ 32 *ἦμες] ἡμεῖς. — ἐπιϜεικτόν] ἀλαπαδνόν Bekker; cf. vs. 463 ‖ 35 ὡς Ar. A] εἰ D, ἦ C ‖ 37 τεεῖο Heyne] τεοῖο; cf. nº 93 ‖ 39 θάρσεε nº 191] θάρσει ‖ 42 χρυσέῃσι] nº 61. — κομάοντε nº 191] -όωντε ‖ 45 ἐλάειν nº 191] -άαν. — ἀϜέκοντ'] ἄκοντε

VIII Γάργαρον, ἔνθα τέ Ϝοι τέμενος βωμός τε θυήεις.    48ᵇ = ϑ 363
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πολλὸν ἔχευε.    50 cf. E 776
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων,    51ᵇ sq. = Δ 81 sq.
εἰσοράων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.

οἳ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομάοντες Ἀχαιοὶ
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ 'θωρήσσοντο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο,
παυρότεροι· 'μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι,
χρηό' ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,    58 sq. = B 809 sq.
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.    59ᵇ = 63
οἳ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,    60-65 = Δ 446 sqq.
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπλητ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.    63ᵇ = 59
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ 'πέλετ' ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, 'ρέε δ' αἵματι γαῖα.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,    66 sq. = Λ 84 sq. 66 = ι 56
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαός.    67 = O 319
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφεβεβήκει,    68 cf. Π 777 δ 400
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,    69 sq. = X 209 sq.
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,    71 = Γ 127
εἷλκε δὲ μέσσα λαβών, 'ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν.

---

73 αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πολυβοτείρῃ
ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.    73 sq. Ar. —

---

48 ἔνθα τέ C] ἔνθα δέ; cf. N 21 h. Vener. 59 ‖ 50 κατὰ] περὶ D, ut legitur loco parallelo E 776. — *πολλὸν nº 83] πουλὺν A, πολὺν D, πολλὴν C ‖ 52 εἰσοράων nº 191] -όων. — Inter vs. 52 et 53 Zen. inserebat versum 1 ‖ 53 κομάοντες nº 191] -όωντες ‖ 54 αὐτοῦ] l. a. τοὶ δ' αὐτόθι, fortasse praeferenda ‖ 55 ὡπλίζοντο] ὁπλ- Ar. ‖ 57 χρηό' nº 77 et 190] χρειοῖ ‖ 60 ἵκοντο] l. a. ἵκανον ‖ 61 σύν ῥ'] σὺν δ' D ‖ 64 *'πέλετ' nº 275] πέλεν ‖ 66 ἦν καὶ ἀέξετο] LMeyer ἦεν ἀέξετό θ' ‖ 68 *ἀμφεβεβήκει] ἀμφιβ. ‖ 69 καὶ τότε δὴ] αὐτὸς δὲ Clem. Alex. Strom. V 727 ‖ 72 *εἷλκε] ἕλκε ‖ 73 sq.] spurios esse cum ostendit dualis ἑζέσθην pro plurali (nam nihil est l. a. ἕζεσθεν), tum vero κῆρες, cum de *una* tantummodo *sorte* sermo esse possit. Nati sunt versiculi ex errore illorum qui κῆρας audiebant τὰς ψυχάς, in quorum numero Aeschylum fuisse apparet ex eius tragoedia quae Ψυχοστασία vocabatur ‖ 73 πολυβοτείρῃ D, cf. nº 21] πουλ.

VIII αὐτὸς δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δὲ
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν. οἳ δὲ Ϝιδόντες
'θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δϜέος εἷλε. 77b = χ 42
ἔνθ' οὔτ' Ἰδομενεὺς 'τλῆ μιμνέμεν' οὔτ' Ἀγαμέμνων,
οὔτ' Αἴαντε δύω 'μενέτην, θεράποντες Ἄρηος·
Νέστωρ οἶος ἔμιμνε γερήνιος, οὖρος Ἀχαιῶν,
οὔτι Ϝεκὼν, ἀλλ' ἵππος ἐτείρετο, τὸν 'βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 82 = Γ 329
ἄκρην κὰκ κορυφὴν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστι. 84b = 326
ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον 'δῦ,
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
φασγάνῳ ἀίσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι
ἦλθον ἀν' ἰωχμὸν, θρασὺν ἡνίοχον φορέοντες
Ἕκτορα. καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσε,
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε βοὴν ἀγαθὸς Διομήδης· 91a = Γ 374
σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
πῇ φεύγεις μετὰ νῶτα βαλὼν, κακὸς ὣς ἐν ὁμίλῳ;
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ. 95 cf. Χ 283
ἀλλὰ μέν', ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα."
ὣς ἔφατ', οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεὺς,
ἀλλὰ παρήιξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδεΐδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,
'στῆ δὲ πρόσθ' ἵππων Νηληιάδαο γέροντος,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταὶ,
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει,

---

77 εἷλε] l. a. ᾕρει, ut legitur *Η* 479 ‖ 78 μιμνέμεν Bekker] μίμνειν ‖ 79 οὔτ' Αἴαντε δύω C] οὔτε δύ' Αἴαντες A, οὐδὲ δύ' Αἴαντες D ‖ 80 γερήνιος] cf. *Β* 336 ‖ 81 ἐτείρετο] l. a. ἐδάμνατο in Ar. Commentariis ‖ 83 ὅθι] ἵνα Aristot. de anim. gen. V 5 ‖ 85 ἀνέπαλτο] cf. *Υ* 424 *Ψ* 692, 694 *Τ* 351. Ab ἀνα-πάλλομαι multi deducunt cum Eur. Orest. 322; cf. *Ο* 645. Alii ἀνεπᾶλτο scribunt, ab ἀνεπ-άλλομαι derivantes, coll. *Φ* 140; quae potior videtur ratio, nisi quod *ἀναῦλτο praeferimus, quo ducit ἐπι-άλμενος participium *Η* 15 alibi. Cf. *Δ* 94 ‖ 87 ὄφρ' ὁ] ὄφρα? ‖ 90 ἔνθ' ὁ] ἔνθα? ‖ 94 κακὸς ὣς] de syllaba -ὸς ante ὣς non producta cf. nº 101 ‖ 95 πήξῃ] nº 122 ‖ 103 ὀπάζει Ar. codd.] l. a. ἐπείγει, ἱκάνει. Cf. *Δ* 321

VIII ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα Ϝίδηαι 105-107 = Ε 221 sqq.
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν' ἠδὲ φέβεσθαι,
οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήστωρα φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι
Τρωσὶν ἐφ' ἱπποδάμοισ' ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
Ϝείσεται εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμηφι."
ὣς ἔφατ', οὐδ' ἀπίθησε γερήνιος ἱππότα Νέστωρ. 112 = Λ 516
Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντ' ἐκομείτην,
ἴφθιμος Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.
τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματ' ἐβήτην·
Νέστωρ δ' ἐν χείρεσσ' ἔλαβ' ἡνία σιγαλόεντα,
'μάστιξεν δ' ἵππους· τάχα δ' Ἕκτορος ἄγχ' ἐγένοντο.
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε Τυδέος υἱός·
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου Θηβαίοἰ' Ἠνιοπῆα,
ἵππων ἡνί' ἔχοντ' ἔβαλε στῆθος παρὰ μαζόν. 121$^{b}$-125 = 313 [sqq.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Ϝοι ἵπποι 122 = Ο 452
ὠκύποδες· τοῦ δ' αὖθ' ἐλύθη ψυχή τε μένος τε. 123 = Ε 296
Ἕκτορα δ' αἰνὸν ἄχος 'πύκασε φρένας ἡνιόχοιο. 124 = Ρ 83
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
κεῖσθαι, ὃ δ' ἡνίοχον μέθεπε θρασύν· οὐδ' ἄρ' ἔτι δϜὴν
ἵππω ἐδευέσθην σημάντορος, αἶψα γὰρ ηὗρε
Ϝιφιτίδην Ἀρχεπτόλεμον θρασὺν, ὅν ῥα τόθ' ἵππων
ὠκυπόδων ἐπέβησ', ἐδίδου δέ Ϝοι ἡνία χερσί.
ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα Ϝέργ' ἐγένοντο, 130 = Λ 310
καί νύ κ' ἐσήκασθεν κατὰ Ϝίλιον ἠύτε Ϝάρνες,

108 Ar. —

108 *μήστωρα* Plat. Lach. 191*b*, Eust.] *μήστωρε* Ar. codd. Vid. *Ε* 272 ‖ 109 *κομείτων* Ar. A] *κομείτην* Zen. CD. Vid. n° 116 ‖ 111 *εἰ*] l. a. *ἤ*, cf. n° 327. — *παλάμηφι*] -*μησι*, cf. ad *Ε* 594 ‖ 112 *γερήνιος*] cf. *Β* 336 ‖ 114 *ἴφθιμος* AD] -*οι* C. Vid. *Ψ* 511 ‖ 115 *ἅρματ' ἐβήτην* Bekker] *ἅρματα βήτην* ‖ 116 *-*εσσ' ἔλαβ'*] -*εσσι λάβ'*. — *σιγαλόεντα* CD] *φοινικόεντα* A ‖ 117 *Ἕκτορος*] **Ἕκτορι*? — **ἄγχ' ἐγένοντο*] *ἄγχι γένοντο* ‖ 120 *Θηβαίοἰ* n° 59] -*ου* ‖ 121 **ἔχοντ' ἔβαλε*] *ἔχοντα βάλε* ‖ 123 **αὖθ' ἐλύθη* n° 322] *αὖθι λύθη* ‖ 127 **ἐδευέσθην*] *δευέσθην* ‖ 128 *Ἀρχεπτόλεμον*] *'Ερασιπτόλεμον* Zen. h. l.; sed in vs. 312 vulgatam sequebatur ‖ 130 **Ϝέργ' ἐγένοντο*] *ἔργα γένοντο* ‖ 131] a quibusdam addebantur ieiuni versiculi duo: *Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον* | *χαλκῷ δηιόοντα* (*δῃωθέντα* LaRoche), *δάμασσε δέ μιν Διομήδης*. Eidem fonti ipse vs. 131 deberi videtur

VIII εἰ μὴ ἄῤ ὀξὺ 'νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε. 132a = Γ 374
βροντήσας δ' ἂρ δϜεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόσθ' ἵππων Διομήδεος ἧκε χαμᾶζε·
δϜεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ' ἵππω δϜείσαντε κατεπτήτην ὑπ' ὄχεσφι.
Νέστορα δ' ἐκ χειρῶν 'φύγον ἡνία σιγαλόεντα· 137b = Δ 128
'δϜεῖσε δ' ὅ γ' ἐν θυμῷ, Διομήδεα δὲ προσέϜειπε·
„Τυδεΐδη, ἄγε δ' αὖτε φόβονδ' ἔχε μώνυχας ἵππους.
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον· ὕστερον αὖτε καὶ ἥμισιν, αἴ κ' ἐθέλῃσι,
δώσει· ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι."
τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Διομήδης·
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔϜειπες· 146 = Δ 286
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει· 147 = Ο 208 Π 52 σ 274
Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων·
Τυδεΐδης ὑπ' ἐμεῖο φοβεύμενος ἵκετο νῆας. —
ὥς ποτ' ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών." 150b = Δ 182
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„ὤ μοι Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔϜειπες.
εἴ περ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φῇσι,
ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τάων ἐν κονίῃσ' ἔβαλες θαλεροὺς παρακοίτας."
ὣς ἄρα φωνήσας φύγαδ' ἔτραπε μώνυχας ἵππους 157 cf. 432
αὖτις ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ 158b sq. = Ο 589 sq.
Ϝηχῇ θεσπεσίῃ βέλεα στονόεντ' ἐχέοντο.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 160a = Ε 101
„Τυδεΐδη, περὶ μέν σ' ἔτιον Δαναοὶ ταχύπωλοι 161 cf. Δ 257
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοισι δέπασσι· 162 = Μ 311

---

133 *ἆρ] ἄρα ‖ 136 *κατεπτήτην] καταπτήτην ‖ 137 φύγον Ar. A[1] C] φύγεν D. — σιγαλόεντα] l. a. φοινικόεντα, cf. vs. 116 ‖ 139 δ' αὖτε] νῶι Zen., quod pro dativo habebat; cf. nº 52 ‖ 140 ὅ τοι] ὅτι C D ‖ 142 *ἥμισιν] ἡμῖν, cf. nº 93 ‖ 149 φοβεύμενος] nº 7 et 191 ‖ 151 γερήνιος] cf. Β 336 ‖ 152 ἔϜειπες] ἔειπας C, cf. nº 153 ‖ 153 φῇσι Cobet] φήσει. Cf. α 168 ‖ 156 *κονίῃσ' ἔβαλες] κονίῃσι βάλες ‖ 157 φύγαδ' ἔτραπε] φύγαδε τράπε Ar. ‖ 159 *στονόεντ' ἐχέοντο] -ντα χέοντο ‖ 162 πλείοισι δέπασσι Nauck] -οις δεπάεσσι

VIII νῦν δέ σ' ἀτιμάσσουσι· γυναικὸς ἄρ' ἀντ' ἐτέτυξο.
Ϝέρρε, κακὴ γλήνη, ἐπεὶ οὐ Ϝείξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι πότμον ἐφήσω."
ὣς 'φάτο, Τυδεΐδης δὲ διάνδιχα 'μερμήριξε, 167ᵇ = Λ 189
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
τρὶς μὲν ἐμερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν, 169 cf. Ε 671
τρὶς δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων 'κτύπε μητιέτα Ζεὺς
σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας· 172 = Ζ 110
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 172ᵇ-174 = Ρ 183 sqq.
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς· 173 = Λ 286 Ν 150 etc.
γιγνώσκω δ' ὅτι μοι πρόφρων κατένευσε Κρονίων 174 = Ζ 112
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα 'μηχανάοντο
ἀβλήχρ' οὐδενόσωρα· τὰ δ' οὐ μένος ἡμὸν ἐρύξει,
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηίοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς." 182 cf. Ξ 47
ὣς Ϝειπὼν ἵπποισιν ἐκέκλετο 'φώνησέν τε· 184 = Ψ 442
„νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, 187 = Ζ 395
ὗμιν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκε

---

183 Ἀργείους παρὰ νηυσίν, ἀτυζομένους ὑπὸ καπνοῦ.
185 Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε,

164—166 Aristoph. Ar. — || 185 Ar. —

---

163 ἀτιμάσσουσι Nauck] ἀτιμήσουσι. — ἀντ' ἐτέτυξο A] ἀντὶ τέτυξο Ar. D, ἀντετέτυξο C || 166 πότμον ἐφήσω Zen., cf. Δ 396] δαίμονα δώσω. Vulgatam Ar. fortasse utpote in spurio versiculo ferendam censuit, cf. Η 353; certe sensu caret. Naber λαιμὸν ἀμήσω (cf. Σ 34), Zenodoteam tamen lectionem praeferens || 168 στρέψαι] τρέψαι D. — Subiungebant olim nonnulli ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι. Vel talia igitur aliquando pro Homericis habita sunt! || 169 *ἐμερμήριξε] μερμήριξε || 170 ἀπ'] l. a. ἐπ' || 177 οἳ Ar. codd.] οἵ' grammaticus quidam. — 'μηχανάοντο nº 191] -όωντο || 178 *ἡμὸν] ἁμόν, ἀμὸν || 181 δηίοιο] nº 17 || 182 κτείνω] *κτενέω? || 183] deest in melioribus. — ὑπὸ καπνοῦ] l. a. περὶ καπνῷ; cf. Ι 243 || 185] sero natum esse hunc versum apparet ex duali numero in sequentibus adhibito; quadrigis non utitur Hector, neque ceteri heroes || 188 *ὗμιν] ὑμῖν

VIII [Ϝοῖνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,]
ἢ ἐμοί, ὅς πέρ Ϝοι θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ' ἐφομαρτέετον καὶ σπεύδετον, ὄφρα λάβωμεν — 191ᵃ = Ψ 414
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος 'κάμε τεύχων.
εἰ τούτω γε λάβοιμεν, ἐϜελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ νηῶν ἐπιβησέμεν' ὠκειάων."
ὣς ἔφατ' εὐχόμενος, 'νεμέσησε δὲ πότνια Ἥρη,
'σείσατο δ' εἰνὶ θρόνῳ, 'πελέμιξε δὲ μακρὸν Ὄλυμπον,
καί ῥα Ποσειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα·
„ὢ πόποι, ἐννοσίγαι' εὐρυσθενὲς, οὐδέ νυ σοί περ — 201ᵃ = H 455
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός;
οἳ δέ τοι ἐς Ϝελίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι 'βούλεο νίκην.
εἴ περ γάρ τ' ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί, — 205ᵃ = B 123
Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν' εὐρύϜοπα Ζῆν,
αὐτόθι κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἶος ἐν Ἴδῃ."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων ἐνοσίχθων·
„Ἥρη ἀπτοϜεπὲς, ποῖον τὸν μῦθον ἔϜειπες;
οὐ κεν ἐγώ γ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
ἥμας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·

189 Aristoph. Ar. —

189] verba absurda; quis enim cratera apponat equorum praesepibus! Non tamen spurium esse hunc versum, sed alieno loco insertum, cum de ipso Hectore olim diceretur, et totum igitur locum graviter esse corruptum, vere statuisse videntur Friedlaender Nauck || 191 ἐφομαρτέετον nº 191] -τεῖτον. — ὄφρα Ar. codd.] l. a. αἴ κε || 193] Nauck immerito damnasse videtur; vid. Helbig Hom. Epos p. 225 et 230 || 196 γε Thiersch] κε || 197 αὐτονυχὶ A] -χεὶ C D || 199 εἰνὶ] forma suspecta, quippe quam nulla protulerit metri necessitas; *ἐν θώκῳ? Cf. 439 β 14 ε 3. Redit locutio O 150; praeterea εἰνὶ θύρῃσι legitur ι 417 κ 310 μ 256. — *'πελέμιξε] ἐλέλιξε; cf. vs. 443. Vid. nº 41 || 201 εὐρυσθενὲς] vid. H 455 || 203 ἐς] εἰς || 205 *τ'] κ', cf. B 123 || 206 Ζῆν Hermann] Ζῆ | ν' Ar. codd., fortasse rectius, cf. nº 80 || 207 αὐτόθι nº 322] αὐτοῦ. An *αὐτίκα? — ἔνθ' ἀκάχοιτο καθήμενος] ἔνθα κάθοιτ' ἀκαχήμενος Zen.; cf. ad Α 299 || 209 ἀπτοϜεπὲς Ar. codd.] l. a. ἀπτοϜεπὲς. Vocabulum obscurum, quod aut corruptum est aut praefixum habuit Ϝ, teste syllaba praecedenti. Wackernagel ἀεπτοεπὲς „non dicenda dicens", sed adiectivum ἐπτός quis vidit unquam? Nauck ἀμετροεπὲς; *ἀναρτοϜεπὲς? cf. Γ 215 N 824 X 281 || 210 *οὔ κεν] οὐκ ἂν || 211 *ἥμας] ἡμέας. — φέρτερος] -τατος D

VIII *τῶν δ', ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔϜεργε,*
*'πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων*
*Ϝελλομένων· 'Ϝέλλεν δὲ θοῷ ἀτάλαντος Ἄρηι*
*Ἕκτωρ Πριαμίδης, ὅτε Ϝοι Ζεὺς κῦδος ἔδωκε.*
*καί νύ κ' ἐνέπρησεν πυρὶ κηλέῳ νῆας ἐϜίσας,*
*εἰ μὴ ἐνὶ φρέσ' ἔθηκ' Ἀγαμέμνονι πότνια Ἥρη*
*αὐτῷ ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.*
*'βῆ δ' ἴμεναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,* 220 = Ν 167, 208
*πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ,*
*'στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ,* 222-226 = Λ 5 sqq.
*ἥ ῥ' ἐν μεσσάτῳ ἧσκε γεγωνέμεν' ἀμφοτέρωσε,*
*ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·* 227 = Λ 275, 586 Μ 439 etc.
*„αἰδώς, Ἀργέιοι, κάκ' ἐλέγχεα, Ϝεῖδος ἀγητοί·* 228 = Ε 787
*πῆ ἔβαν εὐχωλαί, ὅτε δὴ 'φάμεν ἔμμεν' ἄριστοι,*
*ἃς τότ' ἐνὶ Λήμνῳ κενεαυχέες ἠγοράεσθε,*
*ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,*
*πίνοντες κρητῆρας ἐπιστεφέας Ϝοίνοιο,*
*Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε Ϝέκαστος*
*στήσεσθ' ἐν πολέμῳ· νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν.*
*Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων βασιλήων*
*τῇδ' ἀάτῃ ἄασας καί μιν μέγα κῦδος ἀπέϜρας;*

---

**224** *ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο*
*ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐϜίσας*
*εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν·*
**235** *Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.*

**231 Ar. — ‖ 235 Aristoph. Ar. —**

---

213 *ἀπὸ* Ar. codd.] *καὶ* Zen. — *πύργου τάφρος*] l. a. *τάφρου πύργος*. — *ἔϜεργε*] *ἔρυκε* Ar. in altera ed. ‖ 215 *Ϝελλομένων· Ϝέλλεν* Cobet] *εἰλομένων· εἴλει* ‖ 217 *κ' ἐνέπρησεν* C] *κεν ἔπρησεν* A D. Compositum commendant vs. 182, 235 etc.; simplex nonnisi *Β* 415 occurrit. — *κηλέῳ*] n° 8 ‖ 218 *ἐνὶ*] *ἐπὶ* codd.; vid. *Λ* 55. — **φρέσ' ἔθηκ'*] *φρεσὶ θῆκ'* ‖ 220 *ἴμεναι* n° 125] *ἰέναι* ‖ 223 **ἧσκε*] *ἔσκε* ‖ 224—226] addit Eustath., ex *Λ* desumtos ‖ 227 *γεγωνώς*] n° 260 ‖ 229 *'φάμεν*] *δὴ ἔφαμεν* per crasin (synizesin) pronunciari posse dicit Herodianus. Cf. n° 130. — *ἔμμεν'* n° 125] *εἶναι* ‖ 230 **τότ' ἐνὶ* cf. *Ι* 19, 131 (273)] *ὁπότ' ἐν*. Bentley *ἅσσα ποτ' ἐν*. — *ἠγοράεσθε* n° 191] *ἠγοράασθε*, l. a. *εὐχετάασθε* ‖ 231] ex verbis Aristonici ad hunc locum et *Υ* 84, Athenaei p. 39*d*, Eustathii ad *Υ* 84 apparet, satis levi de causa Aristarchum in suspicionem vocasse hunc versum, nempe quod non inter edendum sed inter potandum fieri soleant promissa inania et gloriosa ‖ 233 *ἄντ'*] i. e. *ἄντα*, Demetrius Herodianus; cf. *Ρ* 29, 167. Ar. *ἀντ'(ί)* minus recte ‖ 234 *δ'*] om. A ‖ 235 *κηλέῳ*] n° 8. — Futuri praescium male fingi Agamemnonem monuit Ar., addens poetam sine offensione e. g. scribere potuisse *ᾧ δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει* ‖ 236 *ἤδη*] cf. *Β* 699 ‖ 237 *ἀάτῃ* Nauck] *ἄτῃ*. — *ἄασας* C D²] *ἄσας*. — *ἀπέϜρας* n° 150] *ἀπηύρας*

VIII οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηὶ πολυκλήιδι παρελθέμεν ἐνθάδε Ϝέρρων·
ἀλλ' ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί' ἔκηα,
Ϝιέμενος Τροίην ἐυτειχέα ἐξαλαπάξαι. 241ᵇ = Δ 129
ἀλλά, Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐϜέλδωρ·
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέμεν καὶ ἀλύξαι,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς." 244 = Ο 376
ὣς 'φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα, 245 = Ρ 648
'νεῦσε δέ Ϝοι λαὸν σάον ἔμμεναι οὐδ' ἀπολέσθαι.
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν, 247 = Ω 315
νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέι κάββαλε νεβρὸν,
ἔνθα πανομφαίῳ Ζήν' ἐρρέζεσκον Ἀχαιοί.
οἱ δ' ὡς οὖν ἐϜίδονθ' ὅ τ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις,
μᾶλλον ἐπὶ Τρώεσσ' ἔθορον, 'μνήσαντο δὲ χάρμης. 252 = Ξ 441
ἔνθ' οὔ τις πρότερος Δαναῶν, πολλῶν περ ἐόντων,
ηὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους
τάφρου τ' ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν, 256ᵇ = Δ 457
Φραδμονίδην Ἀγέλαον. ὃ μὲν φύγαδ' ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε 258 sq. = Δ 447 [sq.
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 258ᵇ sq. = Ε 40 sq.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 260 = Ε 294
τὸν δὲ μετ' Ἀτρεΐδαι, Ἀγαμέμνων καὶ Μενέλαος·
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιϜειμένοι ἀλκήν· 262-265 = Η 164 sqq.
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδροφόντῃ·
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός·
Τεῦκρος δ' εἴνατος ἦλθε, παλίντονα τόξα τιταίνων,
'στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο.

---

240 ἔκηα] ἔκαιον Ambr. ‖ 241 ἐυτειχέα Nauck] -χεον ‖ 243 ὑπεκφυγέμεν nº 126] -γέειν ‖ 244] om. Ambr. ‖ 245 ὀλοφύρατο] -ρετο A¹ C ‖ 246 σάον nº 62] σόον. — ἀπολέσθαι] ἀπολεῖσθαι Ar., non recte; nam si praeferas futurum, ὀλέεσθαι erit scribendum; sed aoristus optime habet h. l. Cf. Ι 230 ‖ 249 κάββαλε] l. a. θήκατο ‖ 250 *Ζήν' ἐρρέζεσκον] Ζηνὶ ῥέζεσκον ‖ 252 *Τρώεσσ' ἔθορον] -σι θόρον ‖ 256 ἕλεν] *εἷλ'? ‖ 257 ἔτραπεν] ἔτρεπεν A² ‖ 260 ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ] l. a. ὑπερώησαν δέ οἱ ἵπποι (ut vs. 314) ‖ 264 *ἀνδροφόντῃ] ἀνδριφόντῃ D, ἀνδρειφόντῃ A C. Cf. Β 651 ‖ 267 δ' ἄρ' ὑπ'] δὲ παρ' A (non recte)

VIII ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ' ἥρως
παπτήνας, ἐπεὶ ἄρ τιν' ὀιστεύσας ἐν ὁμίλῳ
βεβλήκοι, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσε,
αὐτὰρ ὃ αὖτις ἰὼν, πάις ὣς ὑπὸ μητέρ', ἔδυσκε
εἰς Αἴανθ'· ὃ δέ μιν σάκε' ἐκρύψασκε φαεινῷ.
ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων; 273ª = Ε 703
Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ' Ὀφελέστην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.
τὸν δὲ Ϝιδὼν 'γήθησε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 278 cf. Δ 255
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας· 279ᵇ = Τ 152
'στῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔϜειπε· 280 cf. Η 46
„Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φάος Δαναοῖσι γένηαι 282ᵇ = Λ 797 cf. Π 39
πατρί τε σῷ Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
καί σε νόθον περ ἐόντ' ἐκομίσσατο Ϝῷ ἐνὶ Ϝοίκῳ·
τὸν καὶ τηλόθ' ἐόντα ἐυκλεΐης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐκϜερέω, ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κεν ἐμοὶ δώῃ Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
Ϝιλίου ἐξαλαπάξαι ἐὺ κτίμενον πτολίεθρον, 288 = Δ 33
πρώτῳ τοι μετ' ἐμὲ πρεσβήιον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφι
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι."
τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
„Ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστι,

---

277 *πάντας ἐπασσυτέρους 'πέλασε χθονὶ πολυβοτείρῃ.* 277 = *Μ* 194 *Π* 418
284 Zen. om., Aristoph. Ar. —

---

270 *βεβλήκοι* Ar. C] *βεβλήκει* A D; cf. nº 159 ‖ 271 *ὃ αὖτις*] de hiatu cf. nº 15 et ad *Γ* 379 *Ζ* 123; excidisse videtur *γ'*, item *Δ* 333 *Β* 105 *Ε* 142. — *πάις ὣς*] de syllaba *-ις* ante *ὣς* non producta cf. nº 101. — **μητέρ' ἔδυσκε*] *μητέρα δύσκε* ‖ 272 **σάκε' ἐκρύψασκε*] *σάκεϊ κρύπτασκε*. De *-ψασκε* pro *-πτασκε* cf. nº 146, aoristum requiri ex *ἔδυσκε* vs. 271 apparet ‖ 276 *Ἀμοπάονα*] l. a. *ἅμ' ὀπάονα* ‖ 277] om. meliores. — *πολυβοτείρῃ* nº 21] *πουλυβ.* ‖ 282 *φάος* nº 71] *φόως* ‖ 283 *ὅ σ'* A C] *ὅς* D ‖ 284] Ar. monebat Teucri genus neque tempestive neque urbane hic commemorari, et ex *Μ* 371 *Ο* 439 apparere eum non *νόθον* esse. Rationes parum validae; *νοθείας* nullum apud poetam est opprobrium. — **ἐόντ' ἐκομ.*] *ἐόντα κομ.* ‖ 287 *ἐμοὶ* Nauck] *μοι* ‖ 288 *Ϝιλίου*] *Ϝίλιον* Bekker, cf. vs. parall. ‖ 289 *θήσω*] *θείω* D ‖ 290 *ἵππους*] *ἵππω* Zen. Aristoph.

VIII πaύομαι, ἀλλ' ἐξ οὗ προτὶ Ϝίλιον ὠσάμεθ' αὐτοὺς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα ταννγλώχινας ὀιστοὺς,
πάντες δ' ἐν χρό' ἔπηχθεν ἀρηιθόων αἰζηῶν· 298 cf. O 315
τοῦτον δ' οὐ δύναμαι βαλέμεν κύνα λυσσητῆρα.''
ἦ ῥα, καὶ ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλε 300ᵇ sq. = 309 sq.
Ἕκτορος ἄντικρυς, βαλέμεν δέ Ϝε 'Ϝίετο θυμός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὃ δ' ἀμύμονα Γοργυθίωνα,
υἱὸν ἐὺν Πριάμοιο, κατὰ στῆθος 'βάλεν ἰῷ·
τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη 'τέκε μήτηρ,
καλὴ Καστιάνειρα, δέμας ϜεϜικυῖα θεῇσι.
μήκων δ' ὣς ἑτέρωσε κάρη 'βάλεν, ἥ τ' ἐνὶ κήπῳ,
καρπῷ βριθομένη νοτίῃσί τε Ϝεαρινῇσι·
ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι βαρυνθέν.
Τεῦκρος δ' ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλε 309ᵇ sq. = 300 sq.
Ἕκτορος ἄντικρυς, βαλέμεν δέ Ϝε 'Ϝίετο θυμός.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέσφηλεν γὰρ Ἀπόλλων·
ἀλλ' Ἀρχεπτόλεμον, θρασὺν Ἕκτορος ἡνιοχῆα,
Ϝιέμενον πόλεμόνδ' ἔβαλε στῆθος παρὰ μαζόν· 313ᵇ-317 = 121 sqq.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Ϝοι ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθ' ἐλύθη ψυχή τε μένος τε.
Ἕκτορα δ' αἰνὸν ἄχος 'πύκασε φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
Κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα
ἵππων ἡνί' ἑλεῖν· ὃ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ 'θόρε παμφανάοντος 320 = Ψ 509
σμερδαλέα ϜιϜάχων· ὃ δὲ χερμάδιον 'λάβε χειρὶ, 321 = E 302
'βῆ δ' ἰθὺς Τεύκρου, βαλέμεν δέ Ϝε θυμὸς ἄνωγε.

---

295 παύομαι] l. a. -σομαι. — αὐτούς] pronominis usus novicius. Ingeniose IMHoogvliet ὠσάμεθ' ἄνδρας, | ...αἰὲν ἐναίρω, quod recipiendum esset nisi tota haec pars Iliadis male consutus cento videretur potius quam carmen magno poeta dignum || 298 *χρό' ἔπηχθεν] χροὶ πῆχθεν. Notetur aor. ἐπήχθην hoc uno loco obvius || 299 βαλέμεν nº 126] βαλέειν. — λυσσητῆρα] l. a. λωβητῆρα || 301 ἄντικρυς Bentley] ἀντικρύ. — βαλέμεν nº 126] βαλέειν || 304 Αἰσύμηθεν codd.] Αἰσύμνηθεν Zen. Aristoph. Ar. || 305] corruptus exhibetur apud Athen. p. 632*f* Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα || 307 *Ϝεαρινῇσι nº 21] εἰαρινῇσι || 310 ἄντικρυς Bentley] ἀντικρύ. — βαλέμεν nº 126] βαλέειν || 311 καὶ τόθ'] τοῦ μὲν Ar. in altera ed. || 313 Ϝιέμενον] νισσόμενον D (male) || 315 *αὖθ' ἐλύθη nº 322] αὖθι λύθη || 320 παμφανάοντος nº 191] -όωντος || 322 βαλέμεν nº 126] βαλέειν. An Τεύκροιο (sic D), βαλεῖν? Sed obstant vss. 301, 310. — ἄνωγε(ν) Eust.] ἀνῶγεν D, ἀνώγει A C; cf. nº 225

VIII ἤ τοι ὃ μὲν φαρέτρης ἒξ εἵλετο πικρὸν ὀϊστόν,
'θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κόρυθ' αἰόλος Ἕκτωρ
ἀϝϝερύοντα παρ' ὦμον, ὅθι κληὶς ἀποϝέργει
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι, 326ᵇ = 84
τῇ ῥ' ἐπὶ ϝοὶ μεμαῶτ' ἔβαλεν λίθῳ ὀκριόεντι,
'ρῆξε δέ ϝοι νευρήν· 'νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ.
'στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ ϝοι ἔκπεσε χειρός. 329ᵃ = Λ 355
Αἴας δ' οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ θέων περίβη καί ϝοι σάκος ἀμφεκάλυψε. 331-334 = Ν 420 sqq.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς 'Εχίοιο πάις καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς 'φερέτην βαρέα στενάχοντα.
ἂψ δ' αὖτις Τρώεσσιν 'Ολύμπιος ἐν μένος ὦρσε·
οἳ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς·
Ἕκτωρ δ' ἐν πρώτοισ' ἔκιε σθένεϊ βλεμεαίνων. 337ᵇ cf. Ι 237
ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται κατόπισθε, ποσὶν ταχέεσσι διώκων,
ἰσχία τε γλουτούς τε, ϝελισσόμενόν τε δοκεύῃ,
ὣς Ἕκτωρ ὤπαζε κάρη κομάοντας Ἀχαιούς,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δ' ἐφέβοντο. 342 = Λ 178
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν 343 = Ο 1
φεύγοντες, πολλοὶ δ' ἔδαμεν Τρώων ὑπὸ χερσί, 344 sq. cf. Ο 2 sq.
οἳ μὲν δὴ παρὰ νηύσ' ἠρητύοντο μένοντες, 345ᵇ-347 = Ο 367 sqq.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' ηὐχετάοντο ϝέκαστος·
Ἕκτωρ δ' ἀμφιπεριστρόφαεν καλλίτριχας ἵππους,
Γοργόος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος. [431
τοὺς δὲ ϝιδοῦσ' ἐλέησε θεὰ λευκώλενος Ἥρη, 350ᵃ cf. Ο 12 Π
αἶψα δ' Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα· 351 = Τ 341 cf. Δ 69

325 *ἀϝϝερύοντα*] *αὐερύοντα* A, *αὖ ἐρύοντα* C D, cf. nº 40 || 327 **μεμαῶτ' ἔβαλεν*] *-ῶτα βάλεν* || 328 *χεὶρ*] l. a. *χεῖρ'* || 337 *δ' ἐν*] *δὲ* Ar. — **πρώτοισ' ἔκιε*] *-σι κίε* || 339 *διώκων*] *πεποιθώς* C D || 340 *ἑλισσόμενον* Ar. codd.] l. a. *-νος*. — *δοκεύῃ* Nauck] *-ει* || 341 *κομάοντας* nº 191] *-όωντας* || 345 **νηύσ' ἠρητύοντο*] *νηυσὶν ἐρητ.* || 347 *μεγάλ'*] *μέγα δ'* Nicanor maluit; vulgata in scholiis defenditur coll. *Γ* 80. — *ηὐχετάοντο* nº 191] *εὐχετόωντο* || 348 *-στρόφαεν* Nauck] *-στρώφα*, cf. nº 191 || 349 *Γοργόος* nº 77] *Γοργοῦς* Ar. codd., *Γοργόνος* Zen. — *ὄμματ'* Zen. codd.] *οἶματ'* Ar. Optime habere lectionem Zenodoti (cf. *Η* 211 sq. *Ο* 607 sq.), *οἶμα* autem vel *οἴματα* nonnisi de animalibus rapacibus dici (cf. *Φ* 252), monuit vHerwerden. — *ἠὲ* Zen.] *ἠδὲ* meliores

VIII „ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶι 352 cf. Β 157 Θ 427
ὀλλυμένων Δαναῶν κεκαδησόμεθ' ὑστάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται 354 = 34
ἀνδρὸς ἑνὸς ῥιπῇ· ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς 355ᵇ cf. ι 350
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ϝέϝοργε." 356ᵇ = Ε 175
τὴν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε,
χερσὶν ὕπ' Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ·
ἀλλὰ πατὴρ ἡμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι,
σχέτλιος, αἰὲν ἀλιτρὸς, ἐμῶν μενέων ἀπερωεύς·
οὐδέ τι τῶν μέμνηται, ὅ ϝοι μάλα πολλάκις υἱὸν
τειρόμενον 'σαόεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων.
ἦ τοι ὃ μὲν 'κλαίεσκε πρὸς οὐρανὸν, αὐτὰρ ἐμὲ Ζεὺς
τῷ ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλε.
εἰ γὰρ ἐγὼ τάδ' ἐϝείδε' ἐνὶ φρεσὶ πευκαλίμῃσι,
εὖτέ μιν εἰς Ἀϝίδαο πυλάρταο προέπεμψε
ἄξοντ' ἐξ ἐρέβεσφι κύνα στυγεροῖ' Ἀϝίδαο,
οὔ κεν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν στυγέει, Θέτιδος δ' ἐξήνυσε βουλὰς,
ἥ ϝοι γούνατ' ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον. 372 = Ο 77
ἔσται μὰν ὅτε μ' αὖτε φίλην γλαυκώπιδα ϝείπῃ.
ἀλλὰ σὺ μὲν νῦν νῶιν ἐπέντυε μώνυχας ἵππους,
ὄφρα κ' ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο
τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ϝίδωμαι
ἢ νῶι Πριάμοιο πάις, κόρυθ' αἰόλος Ἕκτωρ,

---

371 sq. Zen. om., Ar. —

---

353 *Δαναῶν*] l. a. *Ἀργείων* (? — Bekker *Ἀργείων Δαναῶν* a quibusdam lectum fuisse suspicatur, coll. ϑ 578). — *κεκαδησόμεθ'*] forma notabilis, cf. nº 213 ‖ 360 **ἡμός*] *οὑμός*, cf. nº 9. — *μαίνεται*] Naber *μάρναται* (coll. Α 257) et infra vs. 413 *δαίεται* ‖ 363 *σαόεσκον* Nauck] *σώεσκον* ‖ 366 **τάδ' ἐϝείδε'*] *τάδε ᾔδε'* ‖ 367 *προέπεμψε* Nauck] *προύπεμψε* ‖ 368 **ἄξοντ' ἐξ ἐρέβεσφι*] *ἐξ ἐρέβευς ἄξοντα*. Praeierat IMenrad *ἐξάξοντ' ἐρέβεσφι* corrigendo. Emendationem necessariam (cf. nº 71) commendat Ι 572; etiam in h. Cer. 350 *ἐρέβευσφιν* Franke in *-εσφιν* mutavit, et Hes. Theog. 669 inter *ἐρέβεσφιν* et *-βευσφιν* variant mss. — *στυγεροῖ'* nº 59] *-ροῦ* ‖ 369 **οὔ κεν*] *οὐκ ἄν*. — *αἰπὰ*] *αἰνὰ* Nauck, item Φ 9 ‖ 373 **ὅτε μ'*] *ὅταν*. Fortasse *ὅτε κ'* praestat; nam ne quis offendatur pronomine omisso, conferantur loci quales sunt Soph. Ai. 726 sq., Eur. Hipp. 587 sqq., Arist. Thesmoph. 392, Herodot. V 70 etc. ‖ 376 *ϝίδωμαι*] l. a. *-μεν* ‖ 377 *νῶι*] *νῶιν* Zen. D, pervulgato errore

VIII γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας, [241
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ' οἰωνοὺς 379 cf. Ν 831 Ρ
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν." 380 = Ν 832
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη. 381 = Ε 767
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἤντυεν ἵππους 382 sq. = Ε 720 sq.
Ἥρη, πρέσβα θεὰ, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο, 384-388 = Ε 733 sqq.
πέπλον μὲν κατέχευε Ϝεανὸν πατρὸς ἐπ' οὐδῷ,
ποικίλον, ὅν ῥ' αὐτὴ 'ποιήσατο καὶ 'κάμε χερσί,
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον 'θωρήσσετο δακρυόεντα.
ἐς δ' ὄχεα φλόγεα πόσ' ἐβήσετο, 'λάζετο δ' ἔγχος 389-396 = Ε 745 sqq.
βριθὺ μέγα στιβαρὸν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι 'μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇσ' ἐπιτετράφαται μέγας οὐρανὸς Οὔλυμπός τε, 394ᵇ cf. Δ 497
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ 'Ϝίδε, 'χώσατ' ἄρ' αἰνῶς,
Ϝῖριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν· 398 = Λ 185
„βάσκ' ἴθι, Ϝῖρι ταχεῖα, πάλιν τρέπε μηδ' ἔα' ἄντην
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐκϜερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 401 = Λ 212
γυιώσω μέν σφωιν ὑφ' ἅρμασιν ὠκέας ἵππους, 402 sq. cf. 416 sq.
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα Ϝάξω.
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς 404 sq. = 418 sq.

385—387 Zen. om., Aristoph. Ar. — ‖ 390 sq. Ar. —

378 προφανέντε Ar. A] προφανείσας (vitio metrico) C D², l. a. προφανείσα, προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων Zen. — Verum igitur videtur προφανέντε Ϝιδὼν ἐς δοῦπον ἀκόντων (cf. Δ 364 = Υ 451 et Π 361), nam γηθεῖν τινα προφανέντα non est formula loquendi homerica; subsimile est tantummodo τίς ἂν τάδε γηθήσειε Ι 77, ubi vide; cf. etiam ad Ε 682 ‖ 382 *ἤντυεν] ἔντυεν ‖ 383] om. D ‖ 385 *οὐδῷ] οὔδει; cf. Ε 734 ‖ 389 *πόσ' ἐβήσετο] ποσὶ βήσετο. — 'λάζετο] λάζυτο grammaticus quidam, ut h. Merc. 316 et apud Euripidem legitur ‖ 390 δάμνησι] δάμνῃσι A D, de qua lectione cf. Ε 746 ‖ 394 ἐπιτετράφαται Athen. 134 f] -πται codd. ‖ 399 ἔα' nº 191] ἔα ‖ 401 τὸ δὲ] ὡς A ‖ 404] κεν male abundat, δεκάτους autem pro δέκα nihil est. Spurios vs. 404 sq. et 417 sq. iudicavit vHerwerden; at talia ne interpolatori quidem tute imputes. Suspicamur οὐ δεκάκις δεκάτου περιτελλομένου ἐνιαυτοῦ vel simile quid fuisse olim (vid. Kaibel Epigr. 324, 7)

VIII ἕλκε' ἀπαλθήσοντ', αἴ κεν μάρπτῃσι κεραυνός·
ὄφρα Ϝίδῃ γλαυκῶπις, ὅτε Ϝῷ πατρὶ μάχηται. 406-408 cf. 420 sqq.
Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μ' εἴωθεν ἐνισσέμεν', ὅττι κε Ϝείπω."
ὣς ἔφατ', ὦρτο δὲ Ϝῖρις ἀελλόπος ἀγγελέουσα, 409 = Ω 77, 159
'βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον. 410 = Ο 79
πρώτῃσιν δὲ πύλῃσι πολύπτυχος Οὐλύμποιο
ἀντομένη κατέρυκε, Διὸς δέ σφ' ἔννεπε μῦθον·
„πῇ μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ ἐάει Κρονίδης ἐπαμυνέμεν' Ἀργείοισι.
ὧδε γὰρ ἠπείλησε Κρόνου πάις, ᾗ τελέει περ,
γυιώσειν μὲν σφῶιν ὑφ' ἅρμασιν ὠκέας ἵππους, 416 sq. cf. 402 sq.
αὐτὰς δ' ἐκ δίφρου βαλέειν κατά θ' ἅρματα Ϝάξειν.
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς 418 sq. = 404 sq.
ἕλκε' ἀπαλθήσοντ', αἴ κεν μάρπτῃσι κεραυνός." [202 Ω 188
ἡ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη πόδας ὠκέα Ϝῖρις, 425 = Λ 210 Σ
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔϜειπε· 426 sq. cf. Β 156 sq.
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτ' ἐγώ γε 427 cf. 352
νῶ' ἐάω Διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν.
τῶν ἄλλος μὲν ἀποφθίσθω, ἄλλος δὲ βιώτω,

420 ὄφρα Ϝίδῃς, γλαυκῶπι, ὅτ' ἂν σῷ πατρὶ μάχηαι. 420-422 cf. 406 sqq.
Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ Ϝ' εἴωθεν ἐνισσέμεν', ὅττι κε Ϝείπῃ.
ἀλλὰ σύ γ', αἰνοτάτη, κύον ἀδϜεὲς, εἰ ἐτεόν γε
τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.

420—424 Ar. —

405 *ἀπαλθήσοντ', αἴ κεν] codd. ἀπαλθήσεσθον, ἅ κεν, Ar. in altera ed. ἀπαλθήσονται. Vulgata debetur Zenodoti aliorumque noto errori (cf. nº 52); nam *subiectum* est ἕλκεα; cf. Ε 417. Praeterea nihil est ἕλκεα μάρπτειν. Vertatur: *non facile sanabuntur earum vulnera, si fulmine percussae fuerint* ‖ 406 ὄφρα Ϝίδῃ] ὄφρ' εἰδῇ codd. Correctionem, a Bentleio aliisque commendatam, tuetur Trypho in Rhet. Gr. VIII 757 (III 204 Spengel). — *ὅτε] ὅτ' ἄν ‖ 408 *μ' εἴωθεν] μοι ἔωθεν. — ἐνισσέμεν Nauck] ἐνικλᾶν, quod ἀντιλέγειν significare contendebat Aristophanes, ἐμποδίζειν alii. Si servaretur hoc verbum, *infringere* potius videretur vertendum et vulgata igitur ὅττι νοήσω esset recipienda. — κε Ϝείπω] κεν εἴπω Ar., νοήσω codd. ‖ 410 δ' ἐξ Ar.] δὲ κατ'. Aristarchi lectio servata est apud Aristonicum ad Λ 196 et in deterioribus aliquot ‖ 411 πολύπτυχος Naber] πολυπτύχου. Item Υ 5 Φ 449 Χ 171 ‖ 413 μαίνεται] vid. ad vs. 360 ‖ 414 ἐάει nº 191] ἐᾷ ‖ 415 ᾗ Ar.] εἰ codd. Ex vetusta literatura natus error satis notabilis ‖ 418—422] vid. ad vs. 404—408 ‖ 422 *Ϝ' εἴωθεν] Ϝοι ἔωθεν ‖ 423 σύ γ'] l. a. σοι (sine sensu) ‖ 428 *νῶ' ἐάω] νῶ ἐῶ D, νῶι ἐῶ Ar. A, νῶιν ἐῶ C, quam Zenodoti quoque fuisse lectionem ex similibus locis, e. g. vs. 377, apparet

VIII ὅς κε τύχῃ· κεῖνος δὲ ἑϝὰ φρονέων ἐνὶ θυμῷ
Τρωσί τε καὶ Δαναοῖσι δικαζέτω, ὡς ἐπιϝεικές."
ὣς ἄρα φωνήσασα πάλιν 'τράπε μώνυχας ἵππους. 432 cf. 157
τῇσιν δ' Ὧραι μὲν 'λῦσαν καλλίτριχας ἵππους·
καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσι, 434 cf. δ 40
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανάοντα· 435 = δ 42
αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι καθῖζον 435ᵇ = Ν 261 χ 121
μίγδ' ἄλλοισι θεοῖσι, φίλον τετιημέναι ἦτορ. 436ᵇ = Α 623 ρ 90
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππους
Οὔλυμπόνδ' ἐδίωκε, θεῶν δ' ἐξίκετο θώκους.
τῷ δὲ καὶ ἵππους μὲν 'λῦσε κλυτὸς ἐννοσίγαιος,
ἅρματα δ' ἂμ βωμοῖσ' ἐτίθει κατὰ λῖτα πετάσσας·
αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύϝοπα Ζεὺς
ἕζετο, τῷ δ' ὑπὸ ποσσὶ μέγας 'πελεμίζετ' Ὄλυμπος.
αἳ δ' οἶαι Διὸς ἀμφὶς Ἀθηναίη τε καὶ Ἥρη
ἥσθην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο. 445ᵇ sq. = Α 332 sq.
αὐτὰρ ὃ ἔγνω ϝῇσιν ἐνὶ φρεσί, 'φώνησέν τε·
„τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην 'καμέτην γε μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὔ κεν ἐμὲ τρέψειαν ὅσοι θεοί εἰσ' ἐν' Ὀλύμπῳ.
σφῶιν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε ϝιδεῖν πολέμοιό τε μέρμερα ϝέργα.
ὧδε γὰρ ἐκϝερέω, τὸ δέ κεν τετελεσμένον ἦεν· 454 cf. Α 212
οὔ κεν ἐφ' ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ,

---

430 ἑὰ Nauck] τὰ ἅ. Cf. ad Α 185 ‖ 432 τράπε C] τρέπε A D ‖ 433 τῇσιν δ'] metri gratia Christ τῇσι δέ θ' ‖ 435 ἔκλιναν] ἔγκλιναν Trypho Rhet. VIII 755 (III 203 Spengel). Cf. ad Δ 112. — παμφανάοντα n° 191] -όωντα ‖ 436 χρυσέοισιν] n° 61 ‖ 441 ἂμ βωμοῖσι Ar.] ἀμβωμοῖσι Chrysippus codd., ἀμβώνεσσι Diogenes, quod pro ἀναβαθμοῖς accipiebant. Pro *basi* βωμός etiam η 100 usurpatur ‖ 448 θην] τον Eustath. h. l. et ad μ 362, Cram. Anecd. Paris. III 42: particula scilicet enclitica pro τοι, „Argivae et Creticae dialectorum propria". Quae observatio ridiculo errori debetur, non enim de μέν θην vel μέν τον sed de (κάμε)τον sive (καμέ)την olim actum fuerat. — καμέτην Zen.] κάμετον Ar. codd. Cf. n° 115 ‖ 449 τοῖσιν] τοῖον Ar. ‖ 450 sq.] post 453 collocat Naber ‖ 451 *οὔ κεν] οὐκ ἄν. — ἐμὲ Nauck] με. — τρέψειαν] στρέψειαν Naber ‖ 452 σφῶιν] accusativum potius requiri et metrum ingratum esse monet vHerwerden ‖ 453 τε ἰδεῖν Eust.] τ' ἰδέειν ‖ 454 τὸ δέ κεν...ἦεν A] τὸ δὲ καὶ . . ἔσται C D, l. a. καί κεν ... ἔπλεν (male, cf. n° 275) ‖ 455 *οὔ κεν] οὐκ ἄν

VIII ἂψ ἐς Ὄλυμπον ἵκεσθε, ἵν' ἀθανάτων ἕδος ἐστί." 456 cf. Ε 360
ὣς ἔφαθ', αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη· 457-462 = Δ 20 sqq.
πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσ' ἐμεδέσθην.
ἦ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι ϝεῖπε,
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει·
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες.
εὖ νυ καὶ ἧμες ϝίδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν· 463 cf. 32
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων, 464 sq. = 33 sq.
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέλῃσθα, βοῶπις πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πολλὸν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα 474ᵇ = Π 281
ἤματι τῷ ὅτε χ' οἳ μὲν ἐπὶ πρύμνῃσι μάχωνται,
στείνε' ἓν αἰνοτάτῳ περὶ Πατρόκλοιο θανόντος.
ὣς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν' Ἰαπετός τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῇσ' Ὑπερίονος Ἠελίοιο
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφί.
οὐδ' εἴ κ' ἔνθ' ἀφίκηαι ἀλωμένη, οὐ σέ' ἐγώ γε
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο."
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη λευκώλενος Ἥρη.

---

466 ἀλλ' ἦ τοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις· 466 cf. 35
βουλὴν δ' Ἀργείοισ' ὑποθησόμεθ', ἥ τις ὀνήσει, 467 sq. = 36 sq.
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεεῖο.
475 sq. Ar. —

---

456 ἵκεσθε Cant.] ἵκεσθον. Elmsley (ad Ar. Ach. 733) ἵκησθον, sed subiunctivo non est locus. Cf. nº 115 ‖ 458] om. C. — *Τρώεσσ' ἐμεδέσθην] -εσσι μεδ. ‖ 459 ἦν] ἔεν LMeyer ‖ 463 *ἧμες] ἡμεῖς. — ἀλαπαδνόν A] ἐπιεικτόν C D, cf. vs. 32 ‖ 466—468] omittunt meliores ‖ 468 τεεῖο] cf. vs. 37 ‖ 470 ἠοῦς] ἄας (sic) Zen., quod Boeoticum esse pro ἐς αὔριον dicit Hesych. Redit ἠοῦς vs. 525, sed suspicionem movet genitivi et usus insolitus et forma, cf. nº 77. Hic *ἠῶθεν (καὶ) potest legi, sed vs. 525 fieri id nequit ‖ 471 αἴ κ'] l. a. ἦν ‖ 472 *πολλὸν nº 83] πουλὺν (πολὺν C) ‖ 474 ὄρθαι] ὦρθαι C D (male) ‖ 475 *ὅτε χ'] ὅτ' ἂν ‖ 476 *στείνε' nº 71] στείνει. — θανόντος A D] πεσόντος C ‖ 481 βαθὺς] πολὺς C. — *ἀμφί] ἀμφίς, cf. nº 316 ‖ 482 *εἴ κ'] ἦν. — *σέ'] σεῦ

ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Τρωσὶν μέν ῥ' ἀϝέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοὺς
ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή. 488ᵇ = *Ι* 474

Τρώων αὖτ' ἀγορὴν 'ποιήσατο φαίδιμος Ἕκτωρ,
νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος. 491 = *Κ* 199
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον,
τόν ῥ' Ἕκτωρ ἀγόρευε Διὶ φίλος· ἐν δ' ἄρα χειρὶ 493ᵇ-495 = *Ζ* 318 sqq.
ἔγχος ἔχ' ἐνδεκάπηχυ· πάροιθε δὲ 'λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος 'θέε πόρκης,
τῷ ὅ γ' ἐρεισάμενος ϝέπεα Τρώεσσι μετηύδα· 496 cf. *Β* 109
„κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, 497 = *Γ* 456
νῦν ἐφάμην νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ ϜΊλιον ἠνεμόεσσαν· 499 = *Μ* 115
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργεΐους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ 502 = *Ι* 65 *μ* 291
δόρπα τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους 503ᵃ = *Ι* 66 cf. *μ* 292
λύσαθ' ὑπ' ἐξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ϝίφια μῆλα 505-507 cf. 545 sqq.
καρπαλίμως, ϝοῖνον δὲ μελίφρονα ϝοινίζεσθε,
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠόος ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ,
μή πως καὶ διὰ νύκτα κάρη κομάοντες Ἀχαιοὶ 510ᵃ = *Κ* 101
φευγέμεν' ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης.

493—496 Zen. —

487 **Ἀχαιοὺς*] *-οῖς*, forma novicia, nº 60. Accusativum habes *δ* 793 *κ* 31 *ν* 282 (*μιν* vel *ἐμὲ* ... *ἐπήλυθεν ὕπνος*). Dissimiles sunt versus *Ι* 474 h. Cerer. 51 ‖ 489] post *Τρώων* meliores addunt *δ'* ‖ 494 *ἔχ' ἐνδεκάπηχυ*] cf. *Ζ* 319 ‖ 495 *χρύσεος*] nº 61 ‖ 496] *ϝέπεα πτερόεντ' ἀγόρευε* D ‖ 497 **μοι*] *μευ* ‖ 499 *ἠνεμόεσσαν*] cf. nº 21 ‖ 500 *πρὶν*] **πάρος*? ‖ 501 *ἐπὶ ῥηγμῖνι θαλάσσης*] *ἐπεὶ Διὸς ἐτράπετο φρήν* Zen. ‖ 503 *ἐφοπλισόμεσθα*] *-ζεσθον* Zen., noto errore ‖ 505 *ἄξεσθε* schol.] *ἄξασθε* codd. ‖ 507 *τ'*] *δ'* D ‖ 508 *μέσφ'*] vocabulum notabile, nº 318. — *ἠόος* nº 77] *ἠοῦς* ‖ 510 *κομάοντες* nº 191] *-όωντες* ‖ 511 *φευγέμεν* Nauck] *-ειν*. — *ὁρμήσωνται*] nº 122

VIII μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν ἕκηλοι, 512ª = Ο 476
ἀλλ' ὥς τις τούτων γε βέλος καὶ Ϝοίκοθι πέσσῃ,
βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
νηὸς ἐπιθρῴσκων, ἵνα τις στυγέῃσι καὶ ἄλλος
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα. 516 = Τ 318
κήρυκες δ' ἀνὰ Ϝάστυ Διὶ φίλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ Ϝάστυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισι Ϝεκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
μῦθος δ', ὃς μὲν νῦν ὑγιής, ϜεϜρημένος ἔστω·
Ϝέλπομαι εὐχόμενος Διί τ' ἄλλοισίν τε θεοῖσι
ἐξελάειν ἐνθένδε κύνας κηρεσσι φορητούς.
ἀλλ' ἦ τοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
πρῶι δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντες 530 sq. = Σ 303 [sq.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα· 530 = Σ 277
Ϝείσομαι ἤ κέ με Τυδεΐδης κρατερὸς Διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἤ κεν ἐγὼ τὸν
χαλκῷ δηώσας ἔναρα βροτόεντα φέρωμαι
ἠελίοι' ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὣς

525 τὸν δ' ἠοῦς Τρώεσσι μέθ' ἱπποδάμοισ' ἀγορεύσω. 525ᵇ = Η 361
528 οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
535 αὔριον ἣν ἀρετὴν διαϜείσεται, εἴ κ' ἐμὸν ἔγχος
μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀίω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι.

524 sq. Ar. — ‖ 528 Zen. om., Ar. — ‖ 535—537 Zen. om., Ar. —

512 ἀσπουδεί Ambr. CD] -δί A. — ἕκηλοι] sine Ϝ. Bentley ἐπιβῶσι, ex Scylla in Charybdin incidens, -βήωσι enim dicendum erat, neque subiunctivo suus esset locus ‖ 513 τούτων] κείνων Ar. (?). — πέσσῃ] πέσσοι Ar. ‖ 515 ἐπιθρῴσκων] l. a. ἀποθρ. ‖ 519 περί] προτί A (non recte) ‖ 524 ϜεϜρημένος nº 306] εἰρημένος ‖ 525 ἠοῦς] cf. vs. 470 ‖ 526 ἔλπομαι εὐχόμενος Zen.] εὔχομαι ἐλπόμενος Ar. meliores ‖ 527 ἐξελάειν nº 191] -άαν ‖ 529 νυκτί] l. a. νύκτα ‖ 532 ἤ Bekker] εἴ, l. a. αἴ. — με Vind.] μ' ὁ ‖ 534 δηώσας] notetur forma contracta. — φέρωμαι] l. a. φεροίμην ‖ 535 sqq.] acute observavit Ar. aut vs. 535—537 delendos esse aut 538, 539, 541; duplicis scilicet redactionis insigne hoc est exemplum. Versum autem 540, qui ab Ar. non commemoratur et ex Ν 827 male repetitus est, in Aristarchi editionibus ne lectum quidem fuisse statuit Pluygers ‖ 535 ἣν] neglecto Ϝ. — εἴ] αἴ D ‖ 536 μείνῃ] nº 122. — ἐπερχόμενον] -μένου Nauck ‖ 537 οὐτηθείς] nº 150 ‖ 538 ἠελίοι' nº 59] ἠελίου. — εἰ Ar. A] αἰ CD

VIII εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα, 539 cf. ε 136
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι.” 541 = Ν 828
ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες 'κελάδησαν. 542 = Σ 310
οἳ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγοῦ ἱδρώοντας, 543 = δ 39
'δῆσαν δ' ἱμάντεσσι παρ' ἅρμασι Ϝοῖσι Ϝέκαστος·
ἐκ πόλιος δ' ἤξοντο βόας καὶ Ϝίφια μῆλα 545-547 cf. 505 sqq.
καρπαλίμως, Ϝοῖνον δὲ μελίφρονα 'Ϝοινίζοντο
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πόλλ' ἐλέγοντο,
['Ϝέρδον δ' ἀθανάτοισι τεληέσσας ἑκατόμβας. 548 cf. Α 315
κνίσην δ' ἐκ πεδίου ἄνεμοι 'φέρον οὐρανὸν εἴσω
Ϝηδεῖαν· τῆς δ' οὔ τι θεοὶ μάκαρες 'δατέοντο,
οὐδ' ἔθελον· μάλα γάρ σφιν ἀπήχθετο Ϝίλιος ἱρὴ 551ᵇ sq.ᵃ = Ω 27 sq.
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο.] 552 = Δ 47
οἳ δὲ μέγα φρονέοντες ἀνὰ πτολέμοιο γεφύρας
ἥατο παννύχιοι, πυρὰ δέ σφισι 'καίετο πολλά.
ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ,
πάντα δὲ Ϝείδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν·
τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πύρ' ἐφαίνετο Ϝιλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πύρ' ἐκαίετο, πὰρ δὲ Ϝεκάστῳ

540 τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, 540 = Ν 827
557 ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι 557 sq. = Π 299 sq.
καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ, 557 cf. h. Ap. 22
557 sq. Zen. om., Aristoph. Ar. —

539 ἀγήραος C D] ἀγήρως Ar. A, cf. nº 62. Vera lectio -αος superest etiam Hes. Theog. 305, 955 et Epigr. Kaibel 320, 7 ‖ 540] cf. ad vs. 535 sqq. ‖ 543 ἔλυσαν Bekker] λῦσαι Ar. (Didym. ad δ 39) codd. — ἱδρώοντας] sine Ϝ ‖ 545 *ἤξοντο] ἄξοντο schol., ἄξαντο meliores ‖ 547 *πόλλ' ἐλέγοντο] πολλὰ λέγοντο ‖ 548 et 550—552] desunt in codd., leguntur apud Plat. Alcib. II 149 *d*; neque sine illis vs. 549 apte servari potest, κνίση enim non de quovis nidore dicitur sed tantummodo in sacris ferendis commemoratur (cf. tamen Φ 363). Sed potius 548—552 semovendi videntur, quod fecit Bekker ‖ 552 *ἐυμμελίης] -λίω; vid. Δ 47 ‖ 553 ἀνὰ schol. Ι 88] ἐπί. Cf. vs. 378. — γεφύρας] -ρη C ‖ 554 ἥατο nº 220] εἵατο ‖ 555 φαεινὴν] absurdam lectionem apud Apionem et Herodorum inventam φάει νῆν (= νέην! *luce novam*) commemorant schol. et Eust. ‖ 557 sq.] ex Π 299 sq. male repetitos esse apparet ex vocabulo αἰθήρ bis deinceps posito; praeterea ὑπερράγη in hoc contextu sensu caret ‖ 559 δὲ Ar.] δέ τ' meliores ‖ 560 τόσσα Ar. codd.] l. a. ὡς τὰ et τοῖα ‖ 561 *πύρ' ἐφαίνετο] πυρὰ φαίνετο ‖ 562 *πύρ' ἐκαίετο] πυρὰ καίετο ‖ 562 χίλι'] μύρι' Zen. — πὰρ] l. a. ἐν (male)

VIII *ἥατο πεντήκοντα πυρὸς σέλα' αἰθομένοιο.*
*ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας* 564$^{b}$ = *E* 196
*ἑσταότες παρ' ὄχεσφιν ἐύθρονον 'Ηό' ἔμιμνον.*

---

563 *ἥατο* n° 220] *εἵατο.* — *πυρὸς σέλα'* Roehl] *σέλαι πυρός*, cf. n° 71. Possis etiam tentare *πεντήκονθ' ἕατο σέλαϊ*, nisi *πεντήκοντα* constanter fere (unus versus suspectus *ξ* 15 discrepat) ante caesuram collocatum inveniretur: *B* 509, 556, 685 *υ* 49 *ω* 342 ‖ 565 *'*Ηό' ἔμιμνον*] *'Ηῶ μίμνον*; de *'Ηῶ* cf. n° 2 et 77

## *ΙΛΙΑΔΟΣ Ι.*

*Πρεσβεία.*

---

IX ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ 'βεβολήατο πάντες ἄριστοι.
ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης καὶ Ζέφυρος, τώ τε Θρηίκηθεν ἄητον,
ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρ' ἐξ ἅλα φῦκος ἔχευε·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν. 8 = Ο 629
Ἀτρεΐδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ
'φοίταε κηρύκεσσι λιγυφθόγγοισι κελεύων 10 cf. Β 50
κλήδην εἰς ἀγορὴν κικλησκέμεν' ἄνδρα Ϝέκαστον
μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισ' ἐπονεῖτο.
ἷζον δ' ἐν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων
ἵστατο δάκρυ χέων ὥς τε κρήνη μελάνυδρος, 14ᵇ sq. = Π 3 sq.
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·

---

15 sq. Zen. om.

---

3 *βεβολήατο* Ar. codd.] *βεβλήατο* Zen. Hanc formam, quae nonnisi h. l. et vs. 9 legitur, de ***animi*** affectibus adhiberi observavit Ar. || 4 *ἄνεμοι*] *ἀνέμω* Aristoph. || 5 ***Βορέης***] corruptum, cf. nº 22 et 58. Parum prodest ***Βορρῆς*** substituisse. Redit vitium Ψ 195. — *Θρηίκηθεν*] cf. nº 17 || 6 *ἄμυδις* Ar. codd.] *ἅμυδις* grammatici nonnulli praeferebant || 7 *κορθύεται*] a substantivo *κόρθυς* ***acervus*** Theocrit. X 46. Apud Hesiod. Theog. 853 *κορθύνειν* legitur. — *ἔχευεν* Ambr. A] *ἔχευαν* C D, utramque lectionem videtur novisse Ar.; *ἔχευαν* legit Theocritus VII 58 || 9 *βεβολημένος*] vid. ad vs. 3 || 10 ***'φοίταε*** nº 191] *φοίτα* || 11 *κικλησκέμεν* Bekker] *-κειν* || 12 ****πρώτοισ' ἐπονεῖτο***] *-τοισι πονεῖτο* || 13 **ἐν* nº 315] *εἰν* || 14 *ὥς τε κρήνη μελάνυδρος*] *μετ' Ἀργείοισιν ἔειπε* Zen. (? — Heyne *μετὰ δ'*, sic vel *δὲ μετ'* LaRoche)

IX ὣς ὃ βαρὺ στενάχων Ϝέπε᾽ Ἀργείοισι μετηύδα·
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 17 = *B* 79
Ζεύς με μέγα Κρονίδης ἀάτῃ ἐνέδησε βαρείῃ, 18-25 = *B* 111 sqq.
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε
Ϝίλιον ἐκπέρσαντ᾽ ἐυτειχέα ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην ᾽βουλεύσατο, καί με κελεύει
δυσκλέε᾽ Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
ἀλλ᾽ ἄγεθ᾽, ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες· 26-28 = *B* 139 sqq.
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 29 = *Γ* 95
δϜὴν δ᾽ ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν· 30 sq. = 695 sq.
ὀψὲ δὲ δὴ μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης· 31 = *H* 399
„Ἀτρεΐδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστί, Ϝάναξ, ἀγορῇ· σὺ δὲ μή τι χόλωσαι.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
φὰς ἔμεν᾽ ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
Ϝίσασ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες. 36 cf. 258; 36ᵇ = *B* 789
σοὶ δὲ διάνδιχ᾽ ἔδωκε Κρόνου πάις ἀγκυλόμητις·
σκήπτρῳ μέν τοι ἔδωκε τετιμῆσθαι περὶ πάντων,
ἀλκὴν δ᾽ οὔ τοι ἔδωκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. 39ᵇ = *N* 484
δαιμόνι᾽, οὕτω που μάλα Ϝέλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ᾽ ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

---

23 *οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,*
*ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα*
*ἠδ᾽ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.*

**23—25 Zen. om., Aristoph. Ar. —— || 26—29 Zen. om.**

---

16 *ὃ βαρὺ στενάχων*] l. a. *ὅ γε δάκρυ χέων* || 18 *μέγα* meliores] *μέγας* Ar. teste Didymo; cf. *B* 111. — *ἀάτῃ* Nauck] *ἄτῃ* || 19 *πρὶν* meliores] *τότε* Ar.; cf. ad *Θ* 230 || 20 *ἐυτειχέα* Nauck] *-χεον* || 22 *δυσκλέε᾽* vHerwerden] *δυσκλέα* || 26 **ὥς κεν*] *ὡς ἂν* || 30 sq.] pro his versibus Zen., apud quem 23—29 omittebantur, haec habebat: *ἤτοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο* (*ἐκαθέζετο*? cf. *Α* 68), *θυμὸν ἀχεύων,* | *τοῖσι δ᾽ ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης.* Praecedentes versus ex *B* 139 sqq. male repetitos censebat Zen. (teste Aristonico in scholio quod ad vs. 23 legitur sed **ad vs.* 26—29 *pertinet*) || 32 *μαχέσσομαι*] *μαχήσομαι* Ar. meliores || 33 **χόλωσαι*] *χολωθῇς*, forma novicia pro *-θήῃς*, cf. nº 122. Legitur *μή* cum 2ª pers. imperativi aoristi *Δ* 410 *ω* 248; vid. praeterea *π* 301 || 36 *ἠμὲν νέοι ἠδὲ γέροντες* Ar. codd.] Zen. *ἡγήτορες ἠδὲ μέδοντες*, quae lectionis varietas ex vetustis literarum figuris nata est; cf. *Α* 299 || 37 *διάνδιχ᾽ ἔδωκε* D] *διάνδιχα δῶκε.* — *ἀγκυλόμητις* Nauck] *-τεω* || 39 sq. *ἔδωκε(ν)* Nauck] *δῶκε(ν)*

IX *εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ἀπονέεσθαι,*
*ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης*
*ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.*
*ἀλλ' ἄλλοι μενέουσι κάρη κομάοντες Ἀχαιοί,*
*εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοί,*
*φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·* 47 cf. *B* 140
*νῶι δ', ἐγὼ Σθένελός τε, μαχεσσόμεθ', εἰς ὅ κε τέκμωρ* 48 sq. cf. *H* 30 sq.
*Ϝιλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλυθμεν."*
*ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐϜίϜαχον υἷες Ἀχαιῶν,* 50 sq. = *H* 403 sq.
*μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.*
*τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·*
*„Τυδεΐδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,*
*καὶ βουλῇ κατὰ πάντας ὁμήλικας ἔπλε' ἄριστος·*
*οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,*
*οὐδὲ πάλιν Ϝερέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.*
*ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης*
*ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις.*
*ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,*
*ἐκϜείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι*
*μῦθον ἀτιμάσσῃ, οὐδὲ κρείων Ἀγαμέμνων.*
*ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ* 65 sq.ᵃ = *Θ* 502 sq.
*δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ Ϝέκαστοι*
*λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.* 67ᵇ = *Y* 49

---

59 *Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔϜειπες.*
63 *ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος*
*ὃς πολέμοι' ἔραται ἐπιδημίοο κρυόεντος.*

44 Ar. —

---

42 *ἀπονέεσθαι* Lehrs] *ὥς τε νέεσθαι*. Particulae *ὥστε* non iungitur infinitivus finalis apud Homerum. Redit vitium *ρ* 21, quem versum Lehrs (Aristarch.² 158) spurium censet, et praeterea h. Ap. 530 ‖ 43 *ἄγχι θαλάσσης*] l. a. *ἀμφιέλισσαι* ‖ 44 *τοι ἕποντο*] **θ' εἵποντο*? cf. *Δ* 91 ‖ 45 *κομάοντες* nº 191] *-όωντες* ‖ 48 *μαχεσσόμεθ'* Nauck] *-ησόμεθ'* ‖ 49 *εἰλήλυθμεν* Naber] *-λουθμεν*, cf. nº 160 ‖ 50 *ἐϜίϜαχον* Bentley] *ἐπίαχον* ‖ 54 *κατὰ* Nauck] *μετά*. — **ἔπλε'* nº 117] *ἔπλευ* ‖ 57 *μὲν* Ar.] *μήν*; cf. nº 18 ‖ 58 *ὁπλότατος* A] *-τερος* C D ‖ 59] sensu vacat; notavit Heyne ‖ 62 *ἀτιμάσσῃ*] *ἀτιμήσει*. Nauck *-άσσ-*; de *-ῃ* cf. nº 122, Bentley *ἀτιμήσει'*, sed praestat subiunctivus ‖ 63 *ἀνέστιος*] *ἀνήμερος* Philodem. de ira 144 (male; ex vetusta literatura natum videtur vitium). — *ἐκεῖνος* pro *κεῖνος* (cf. nº. 97) recentis originis indicium; nam gnomicus hic versus et sequens postea inserti sunt; cf. Friedlaender Anal. Hom. p. 16. Citantur ab Aristoph. Pac. 1097 sq. ‖ 64 *πολέμοι'*] *-μου*. — *ἐπιδημίοο κρυόεντος* Payne-Knight] *ἐπιδημίου ὀκρυόεντος*. Cf. *Z* 344 ‖ 66 *φυλακτῆρες*] *-ρας* Ar., male, cf. nº 232; quem in errorem duxisse videtur *Θ* 519

IX κούροισιν μὲν ταῦτ᾽ ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα, 68ª = θ 40
Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα γέρουσι· ϝέϝοικέ τοι, οὔ τοι ἀϝεικές.
πλεῖαί τοι ϝοίνου κλισίαι, τὸν νῆες Ἀχαιῶν 71ª cf. Β 226
ἠμάτιαι Θρηίκηθεν ἐπ᾽ εὐρέα πόντον ἄγουσι·
πᾶσά τοί ἐσθ᾽ ὑποδεξίη, πολέσιν δὲ ϝανάσσεις.
πολλῶν δ᾽ ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
νὺξ δ᾽ ἥδ᾽ ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν ᾽κλύον ἠδ᾽ ἐπίθοντο. 79 = Η 379
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
ἀμφί τε Νεστορίδην Θρασυμήδεα, ποιμένα λαῶν,
ἠδ᾽ ἀμφ᾽ Ἀσκάλαφον καὶ Ἰάλμενον, υἷας Ἄρηος, 82 cf. Β 512
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηίπυρόν τε
ἠδ᾽ ἀμφὶ Κρείοντος υἱὸν, Λυκομήδεα δῖον.
ἕπτ᾽ ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ϝεκάστῳ
κοῦροι ἅμ᾽ ἔστειχον, δολίχ᾽ ἔγχεα χερσὶν ἔχοντες·
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες·
ἔνθα δὲ πῦρ ᾽κήαντ᾽, ἐτίθεντο δὲ δόρπα ϝέκαστοι.
Ἀτρεΐδης δὲ γέροντας ἀϝολλέας ἦγεν Ἀχαιῶν
ἐς κλισίην, παρὰ δέ σφ᾽ ἐτίθει μενοϝεικέα δαῖτα.
οἳ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 91 sq. = 221 sq. Ω 627 sq. etc.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο, 92-95 = Η 323 sqq.
τοῖσ᾽ ὁ γέρων πάμπρωτος ὑφαινέμεν᾽ ἤρχετο μῆτιν,

---

70 *δαίνυ*] *δαίνυθι* vHerwerden ‖ 72 *Θρηίκηθεν*] nº 17 ‖ 73 *πολέσιν δὲ* Heyne] *πολέσιν γὰρ* Ar., *πολέεσσι δ᾽* codd. ‖ 75 *βουλεύσῃ*] nº 122. — *χρεὼ*] nº 8. Ecquid **χρηὼ Παναχαιούς*? cf. vs. 301 ‖ 76 *ὅτι* Ar. codd.] l. a. *ὅτε* ‖ 77 *ἂν*] pro *κεν* novicium, emendatio incerta; cf. ad Θ 378 ‖ 84 *υἱὸν*] nº 17 ‖ 86 *ἅμ᾽ ἔστειχον* A (*ἔστιχον* CD)] *ἅμα στεῖχον* Ar. ‖ 88 **᾽κήαντ᾽, ἐτίθεντο*] *-ντο, τίθ.* — *᾽κήαντ᾽(ο)* nº 177] *κείαντο.* — *δόρπα* Ar.] *δόρπον* meliores. — *ἕκαστοι* Lehrs] *ἕκαστος.* Pluralis requiritur propter *δόρπα* quod praecedit; neque vero *δόρπον* scribendum esse apparet ex litera Ϝ in vulgata lectione neglecta. Nihil autem est *δόρπα (Ϝ)έκαστος*, neque credibile videtur sic scripsisse Aristarchum; cf. vs. 66. — Zen. *τίθεντο δὲ δαῖτα θαλεῖαν*, de moestis anxiisque minus apte ‖ 89 *ἀϝολλέας*] *ἀριστέας* aut *ἀριστῆας* Ar.(?); illud vitium foret contra linguam (cf. nº 76), hoc contra metrum. Scribi vero poterat sic fere: **ἀριστῆας Παναχαιῶν | ἐς κλισίην ἄγε, πὰρ δ᾽ ἐτίθει μ. δ.*; cf. Β 404 ‖ 90 **σφ᾽ ἐτίθει*] *σφι τίθει* ‖ 92 **εἷντο*] *ἕντο* ‖ 93 *τοῖσ᾽ ὁ*] *τοῖσι?* — *ὑφαινέμεν* Bekker] *-νειν*

IX *Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη 'φαίνετο βουλή·*
*ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·*
*„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,* 96 = *B* 434
*ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν*
*λαῶν ἐσσι ϝάναξ, καί τοι Ζεὺς ἠγγυάλιξε*
*σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησθα.* 99 cf. *B* 206
*τῷ σε χρὴ περὶ μὲν φάσθαι ϝέπος ἠδ' ἐπακοῦσαι,* 100ᵇ = *ϱ* 584
*κρηῆναι δὲ καὶ ἄλλῳ ὅ κέν τινα θυμὸς ἀνώγῃ*
*ϝειπέμεν' εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ.*
*αὐτὰρ ἐγὼ ϝερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα,* 103 = 314 *N* 735 cf. *M* 215 *ν* 154 *ψ* 130
*οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,*
*οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,*
*ἐξ ἔτι τοῖ' ὅτε, διογενὲς, Βρισηίδα κούρην*
*χωομένοἰ Ἀχιλῆος ἔβης κλισίηθεν ἀποϝρὰς*
*οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἐγώ γε*
*πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ*
*ϝείξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,*
*ἠτίμασσας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν* 111 cf. *A* 356
*φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν*
*δώροισίν τ' ἀγανοῖσι ϝέπεσσί τε μειλιχίοισι."*
*τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν 'Αγαμέμνων·*
*„ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἀάτας κατέλεξας.*
*ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν*
*λαῶν ἐστιν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ·*
*ὡς νῦν τοῦτον ἔτισ', ἐδάμασσε δὲ λαὸν 'Αχαιῶν.*
*ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,* 119ᵃ = *T* 137

---

98 *ἠγγυάλιξε] ἐγγ. ‖ 100 ἐπακοῦσαι] sensu caret; vHerwerden ἐπανύσσαι, coll. ε 243 π 373 Hes. Scut. 311; Christ ἠδὲ νοῆσαι, coll. Hes. Oper. 293. Vulgatam non defendit versus ϱ 584 ‖ 101 *ὅ κεν] ὅτ' ἄν codd., id est ὅ τ' ἄν, non enim *cum* sed *quidquid* requiritur ‖ 102 ειπέμεν Nauck] εἰπεῖν ‖ 103 ἔμμεν' nº 125] εἶναι. Sed suspectum est δοκεῖ pro δοκέει, cf. nº 191; potius *ὥς περ δοκέει μοι ἄριστα vel simile quid poeta videtur dedisse; IMenrad ὡς καὶ δοκέει μοι ἄριστον ‖ 104 ἄλλος] ἄλλον C ‖ 106 τοῖ' nº 59] τοῦ. — διογενὲς C] διογενεῦς A D schol. Eust. Cf. nº 73 ‖ 107 χωομένοἰ nº 59] -νου. — ἀποϝρὰς nº 150] ἀπουρὰς ‖ 109 ἀπεμυθεόμην Ar. codd.] l. a. ἐπεμ. Neque hoc neque illud alibi in homericis legitur ‖ 111 ἠτίμασσας Nauck] -μησας ‖ 112 πεπίθωμεν Ar. D] πεπίθοιμεν A C ‖ 115 ἀάτας Nauck] ἄτας. Cf. vs. sequens ‖ 117 φιλήσῃ] -σει C, cf. nº 122 ‖ 118 ἔτισ', ἐδάμασσε] ἔτισεν, ὄλεσσε A ‖ 119] subiungebat Dioscurides quidam Isocratis discipulus ἢ οἴνῳ μεθύων ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί (quae ex *A* 225 fluxerunt), teste Athen. I 11*a*

IX ἄψ ἐθέλω Ϝ' ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα. — 120 = Τ 138
ὕμι δέ κ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω·
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, — [sqq. 122-126 = 264
αἴθωνας δὲ λέβητας ἐϜείκοσι, δώδεκα δ' ἵππους. — 122ᵇ = δ 129; 123 = Τ 244
οὐ κεν ἀλήιος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο
ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι. — [sqq. 127-132 cf. 269
δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονα Ϝέργα Ϝιδυίας, — 128ᵇ = Τ 245 ω
Λεσβίδας, ἅς, ὅτε Λέσβον ἐϋ κτιμένην ἕλεν αὐτός, — 278 cf. Ψ 263
ἐξελόμην, αἳ κάλλε' ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν Ϝοι δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπέϜραν,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, — 133 = 275 Τ 176
ἣ θέμις ἀνθρώπων πέλετ', ἀνδρῶν ἠδὲ γυναικῶν. — 134 cf. 276 Τ 177
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε — 135 sq. = 277 sq.
Ϝάστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα Ϝάλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω — 137 cf. 279
εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί, — 138 = 280
Τρωιάδας δὲ γυναῖκας ἐϜείκοσιν αὐτὸς ἑλέσθω, — 139 cf. 281
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσι. — 140 sq. = 282 sq.
εἰ δέ κεν Ἄργος ἱκώμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρης,

---

124 *πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.*
126 *οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,*

---

120] *Ϝ' ‖ 121 *ὕμι δέ κ'] ὑμῖν δ'. Cf. vs. 262 ‖ 124 ἀθλοφόρους] vid. ad *Η* 453. Sero insertus videtur versus; sine dubio autem spurius est vs. 126, quo correlativa τόσσα - ὅσσα male divelluntur. — ποσσὶν ἄροντο] *πόσσ' ἤροντο? ‖ 128 ἀμύμονα] ἀμύμονας Ar. secundum Didymum h. l. et ad vs. 270; Aristonicus vero dicit, Aristarcheam esse lectionem ἀμύμονα; item in schol. V Aristarcho tribuitur -να, Zenodoto autem -νας. Pro Aristarchi igitur nomine apud Didymum ter legendum esse *Aristophanem*, statuit Cobet; errasse Aristonicum (ut *Β* 111) putant Lehrs Friedlaender Ludwich. Mala est lectio ἀμύμονας, cuiuscunque fuit, nam et metro repugnat et sententiae; nihil enim est ἔργα ἰδυίας nisi adiectivum addatur: id quod Aristarchum latuisse minus videtur credibile quam ter in scholia eius nomen irrepsisse scribarum culpa. Cf. *Ζ* 289. — Ϝέργα Ϝιδυίας] ἔργ' εἰδυίας ‖ 130 ἐξελόμην Ar. codd.] ἐξ ἑλόμην Zen., septimam esse Briseidem ratus. Cf. *Τ* 245. Similis discrepantia est *Κ* 561. — *κάλλε' nº 71] κάλλει. — φῦλα γυναικῶν] πᾶσαν ἐπ' αἶαν D ‖ 131 ἀπέϜραν nº 150] ἀπηύρων ‖ 132 κούρη Ar. C] κούρην A D; versu vero parallelo 274 -η A, -ην C. — ἐπὶ δὲ Ar.] καὶ ἐπὶ codd. — ὀμοῦμαι] nº 147 ‖ 133 τῆς] Ϝῆς vHerwerden, item *Τ* 176 *β* 206; at vid. nº 95. Probabiliter vero eadem ratione restituit *Λ* 763 ‖ 134 *πέλετ'] πέλει, cf. nº 275 ‖ 137 χαλκοῦ] χαλκόο? cf. nº 59 ‖ 140 ieiunus olim a quibusdam subiungebatur versiculus τὴν γὰρ ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ ‖ 141 ἱκώμεθ' Naber] ἱκοίμεθ'

IX γαμβρός κέν μοι ἔῃ· τίσω δέ ϝε ϝῖσον Ὀρέστῃ, 142-144 cf. 284 sqq.
ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐ πηκτῷ,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ϝιφιϝάνασσα· 145 = 287
τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνέϝεδνον ἀγέσθω 146 sq. cf. 288
πρὸς ϝοῖκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑϝῇ ἐπέδωκε θυγατρί. 148 = 290
ἑπτὰ δέ ϝοι δώσω εὐ ναιόμενα πτολίεθρα, 149 cf. 291
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν 150-154 = 292 sqq.
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος· 153ᵇ cf. Λ 712 sqq.
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ ϝε δωτίνῃσι θεὸν ὣς τιμήσωσι 155-157 cf. 297 155 cf. ε 36
καί ϝοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέσωσι θέμιστας.
ταῦτά κέ ϝοι τελέσαιμι μεταλλήξαντι χόλοιο.
δμηθήτω — Ἀϝίδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος·
τούνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων —
καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι
ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι."
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ· 162 sq. = Κ 102 sq.
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 163 = Β 433
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆι ϝάνακτι·
ἀλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' ἐς κλισίην Πηληιάδα' Ἀχιλῆος.
εἶ' ἄγε, τοὺς μὲν ἐγὼν ἐπιόψομαι, οἳ δὲ πιθέσθων.

---

142 ἔῃ Eustath.] ἔοι. — ϝε ϝῖσον Heyne] μιν ἶσον. Commendat emendationem versus 155, certam reddit 284 || 146 ἀνέϝεδνον Bentley] ἀνάεδνον libri vitio manifesto, quasi prior nominis pars esset praepositio ἀνά. Certa emendatio immerito a nonnullis adhuc spernitur || 147 ἐπὶ μείλια Alexio Apollodorus] ἐπιμείλια, uno vocabulo, Ar. codd. minus recte || 153 νέαται] l. a. κέαται, νάεται. Vulgatam Ar. tuebatur, sed pro verbo (= ναίονται!) perperam habebat. Cf. Λ 712 || 155 τιμήσωσι nº 122] τιμήσουσι codd., τιμήσονται Ar. || 156 *τελέσωσι] τελέουσι codd. Vix apte subiungitur futurum coniunctivo cum κε. De -σωσι cf. nº 122 || 158 δμηθήτω] καμφθήτω Zen. Aristoph. || 159] nonnulli olim addebant versiculum οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ (?— λάβῃσιν ἕλωρ Nauck) ἔχει οὐδ' ἀνίησιν, merito spretum ab Ar. || 162 γερήνιος] cf. Β 336 || 164 διδοῖς] sic Ar. || 166 Πηληιάδα' nº 55] -δεω || 167 εἶ'] εἰ δ'. Cf. Λ 302. — *μὲν] κεν. Vulgatam defendit vHerwerden, monens -όψομαι pro forma subiunctivi aoristi mixti accipi posse, cf. nº 152

IX Φοῖνιξ μὲν πρώτιστα Διὶ φίλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
φέρτε δὲ χερσὶν ὕδωρ ἐυφημῆσαί τε κέλεσθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρησόμεθ', αἴ κ' ἐλεήσῃ."
ὣς 'φάτο, τοῖσι δὲ πᾶσι ϜεϜαδότα μῦθον ἔϜειπε. 173 = σ 422
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, 174ᵇ-176 = γ 338 sqq.
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο, 175 cf. Α 470
'νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι. 176 = Α 471 cf. η 183
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμὸς, 177 = γ 342, 395
ὡρμῶντ' ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρεΐδαο. η 184, 228 σ 427
τοῖσι δὲ πόλλ' ἐπέτελλε γερήνιος ἱππότα Νέστωρ,
δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆι δὲ μάλιστα,
πειρᾶν, ὡς πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.

τὼ δ' ἐβάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης, 182 cf. Α 34
πολλὰ μάλ' εὐχομένω γαιηόχῳ ἐννοσιγαίῳ
ῥηιδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην, 185 = Α 328
τὸν δ' ηὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν· 187 cf. Σ 390, 612
τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέε' ἀνδρῶν.
Πάτροκλος δέ Ϝοι οἶος ἐναντίος ἧστο σιωπῇ,
δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων.
τὼ δ' ἐβάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεὺς, 192ᵃ = Κ 469
'στὰν δὲ πάροιθ' αὐτοῖο. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς 193ᵇ = Λ 777 Ψ 101
αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος ἔνθ' ἐθάασσε.
ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ 'Ϝίδε φῶτας, ἀνέστη.

---

168] cf. ad vs. 182 ‖ 170 ἑπέσθων Ar. A C] ἑπέσθω D ‖ 172 ἐλεήσῃ] nº 122 ‖ 177 τ' ἔπιον] l. a. (Ar.?) τε πίον ‖ 179 γερήνιος] cf. Β 336 ‖ 180 ἕκαστον] sine Ϝ, δενδίλλειν autem non legitur alibi. Sero natus versus; vid. ad vs. 182 ‖ 182] ex duali numero hoc versu et saepius in sequentibus vs. 183—198 adhibito non apparet, quod olim putabant grammatici, confusos fuisse a poetis numeros dualem et pluralem, sed *duos* missos esse tantummodo legatos, et omnia igitur quae de Phoenice vel a Phoenice dicuntur postmodo esse inserta ‖ 185 ἱκέσθην] ἵκοντο C ‖ 189 κλέε' Nauck] κλέα ‖ 191 δέγμενος] l. a. δέχμενος ‖ 193 *πάροιθ'] πρόσθ'. Correctionem, quam suadet metrum, tuentur versus Α 360, 500 Γ 162 π 166 etc. ‖ 194 *ἔνθ' ἐθάασσε] ἔνθα θάασσε

IX τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 196a = δ 59
„χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ,
οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον."
ὣς ἄρα φωνήσας προτέρω σφ' ἄγε δῖος Ἀχιλλεύς,
εἷσε δ' ἐνὶ κλισμοῖσι τάπησί τε πορφυρέοισι,
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα· 201 cf. Λ 346
„μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα,
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνε Ϝεκάστῳ·
οἳ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ."
ὣς 'φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ. 205 = Λ 345
αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄιος καὶ πίονος αἰγός,
ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ' εἶχ' Αὐτομέδων, 'τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ 'μίστυλλε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε, 210 cf. Λ 465
214 'πάσσε δ' ἁλὸς θείοιο, κρατευτάων ἀπαείρας·
211 πῦρ δὲ Μενοιτιάδης 'δαῖεν μέγα, Ϝισόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθ' ἐτάνυσσε.
αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ ἐν ἐλεοῖσιν ἔχευε,
Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ 216b sq. = Ω 625 sq.
καλοῖσ' ἐν κανέοισιν, ἀτὰρ κρέα 'νεῖμεν Ἀχιλλεύς.
αὐτὸς δ' ἀντίον ἷζεν 'Οδυσσῆος θείοιο 218 = π 53

---

196 τώ] l. a. τούς || 197 ἦ τι μάλα χρεώ] l. a. ἡμέτερόνδε, quam Aristarcho Parmeniscus tribuisse, Didymus abiudicasse videtur. — χρεώ] n° 8; aut ἦ τι μάλα χρή (LMeyer) aut *ἦ μάλα χρηώ corrigendum videtur || 198 φίλτατοι Ar. C D] -τω A. Sed satis certum videtur, dedisse poetam *ἦ φίλω ἄνδρε ἱκάνετον . . ., ὤ μοι . . . φιλτάτω ἐστόν || 199 *σφ'] addidimus pronomen, quod vix apte potest omitti || 200 *εἷσε δ' ἐνί] εἷσεν δ' ἐν, numero ingrato. Cf. vs. 193 || 202 καθίστα] καθίστη Naber Nauck; at vid. n° 191 || 203 κέραιε Ar. A D[1]] κέραιρε C D[2], quae lectio absurda extat etiam apud Athenaeum 10*c* 423*e* et ab Eustathio commemoratur. — ἔντυνε Bentley] ἔντυνον || 209 *εἶχ'] ἔχεν || 212] l. a. αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ (cf. Ψ 228), ab Ar. reiecta. Cum πυρὸς ἄνθος cf. Aesch. Prom. 7, *flos flammaï* Lucret. I 900. Alii legebant κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ || 214 ἀπαείρας Ar.] ἐπαείρας. Difficilior est locus, cum ignoremus quid sint κρατευταί; quo tamen vocabulo, alibi non obvio, fulcra quaedam significari veruum igni superimpositorum, contextus videtur docere. Transposuimus autem hunc versum, ut Aristarchea lectio ἀπ- posset servari. Vulgata vero sana esse nequit, sal enim carnibus adspergi debet priusquam assentur; itaque si traditus versuum ordo servaretur, pro ἀπαείρας scribendum esset δ' ἐπάειρε || 215 *ἐν n° 315] εἰν. — ἔχευε] l. a. ἔθηκε

IX τοίχου τοῖ' ἑτέροιο, θεοῖσι δὲ θῦσαι ἄνωγε
Πάτροκλον, ϝὸν ἑταῖρον· ὃ δ' ἐν πυρὶ 'βάλλε θυηλάς.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 221 sq. = I 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
'νεῦσ' Αἴας Φοίνικ'. ἐνόησε δὲ δῖος Ὀδυσσεύς,
πλησάμενος δ' οἴνοιο δέπας 'δέδϝεκτ' Ἀχιλῆα·
„χαῖρ', Ἀχιλεῦ. δαιτὸς μὲν ἐϝίσης οὐκ ἐπιδευεῖς
ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοϝεικέα πολλὰ
δαίνυσθ'. ἀλλ' οὐ δαιτὸς ἐπήρατα ϝέργα μέμηλε,
ἀλλὰ λίην μέγα πῆμα, διοτρεφές, εἰσορόωντες
δέδϝιμεν· ἐν δοιῇ δὲ σάας ἔμεν' ἢ ἀπολέσθαι
νῆας ἐυσσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν.
ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι, 233 = Z 111
κηάμενοι πυρὰ πολλὰ κατὰ στρατόν, οὐδ' ἔτι φασὶ
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι. 235 = M 107, 126 P 639

---

219 *τοῖ'* nº 59] *τοῦ*. Libenter careremus articulo; redit tamen hemistichium Ω 598 ψ 90. — **ἄνωγε* nº 225] *ἀνώγει* ‖ 222 **εἷντο*] *ἕντο*. — Aristarcho offensioni erant iteratae epulae, cum satiati modo venissent legati ab Agamemnonis mensa (vs. 177 sq.); melius igitur, inquit, poeta scripsisset *ἂψ ἐπάσαντο*, *cum aliquantulum ciborum oblatorum degustavissent*. Nimis cautum fuisse Aristarchum qui non sic refingeret textum, censet Didymus; hodie aliter iudicamus. De notabili hoc scholio cf. Lehrs Aristarch.[2] 359, Ludwich Aristarch. II 84, Cobet Miscell. 232 ‖ 223 **Φοίνικ'. ἐνόησε*] *Φοίνικι. νόησε* ‖ 224 *δ' οἴνοιο*] neglecto ϝ. Cum Heynio corrigi posset *δὲ δέπας ϝοίνου*; sed particula *δὲ* simul cum Phoenice (vid. ad vs. 182) in textum irrepsisse videtur, olim autem sic fere lectum fuisse: *'νεῦσ' Αἴας Ὀδυσῆι· ὃ δ' ὡς φρεσὶ ϝῆσ' ἐνόησε, | πλησάμενος ϝοίνοιο δέπας 'δ. Ἀ.* — *'δέδϝεκτο* nº 139] *δείδεκτο* ‖ 225 *ἐπιδευεῖς*] vocabulum corruptum, cf. nº 73; neque praestat *ἐπιδεύει*, quae Aristarchi erat lectio, cf. nº 117. Redit vocabulum N 622. Hic requiri substantivum sensu *penuria* monuit Naber coll. Π 43 ζ 208 ρ 451, audacius tamen *ἐπίδευσις*, novam vocem, proponens ‖ 226 *ἠμὲν*] l. a. *ἦμεν, εἰμὲν* ‖ 228 *ἐπήρατα* Bentley] *-του* ‖ 229 *εἰσορόωντες* nº 191] *-όωντες* ‖ 230 *δέδϝιμεν*] *δείδιμεν*. — *σάας ἔμεν* Nauck] *σόας ἔμεν* Bekker, *σαωσέμεν* codd. Egregiam emendationem tuetur Θ 246, cf. O 502 sq. ‖ 234 *κηάμενοι*] *κειάμενοι* meliores. — *οὐδ' ἔτι*] *οὐδέ τι* D ‖ 235] Ex usu Homerico (M 106 sq., 125 sq. O 63 P 639 Λ 824 B 175) vertenda haec sunt *putant Argivos non amplius constituros sed in castra se coniecturos*. Ar. vero de *Troianis* dictum censebat *ἐμπεσεῖσθαι* I 235 Λ 824 M 107 P 639, et versum O 63 damnabat. Sic I 235 optimum sane praebet sensum, sed loco parallelo M 107 id contra poetae mentem esse ex versu vicino M 126 apparet. Christ censet a poeta libri I male intellectum esse versum M 107; id quod parum credibile videtur. Itaque vix aliud superest quam ut statuamus I 234 sq. aut spurios esse aut olim sic fere lectos fuisse: *κηάμενοι πυρὰ πολλά, Ἀχαιοὺς δ' οὐκέτι φασὶ | σχήσεσθ'* etc.

IX *Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων*
*ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων* 237ᵇ cf. Θ 337
*μαίνεται ἐκπάγλως, πίσυνος Διὶ, οὐδέ τι τίει*
*ἀνέρας οὐδὲ θεοὺς, κρατερὴ δέ Ϝε λύσσα δέδυκε.*
*ἀράεται δὲ τάχιστα φανήμεναι ἠόα δῖαν·*
*στεῦται γὰρ νηῶν ἀποκοψέμεν᾽ ἄκρα κόρυμβα*
*αὐτάς τ᾽ ἐμπρήσειν μαλεροῦ πυρὸς, αὐτὰρ Ἀχαιοὺς*
*δηώσειν παρὰ τῇσιν, ὀρινομένους ὑπὸ καπνοῦ.*
*ταῦτ᾽ αἰνῶς δέδϜοικα κατὰ φρένα, μή Ϝοι ἀπειλὰς*
*ἐκτελέσωσι θεοὶ, ἧμιν δὲ δὴ αἴσιμον εἴη*
*φθίσθαι ἐνὶ Τροίῃ, Ϝεκὰς Ἄργεος ἱπποβότοιο.* 246ᵇ = δ 99
*ἀλλ᾽ ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν*
*τειρομένους ῥύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.*
*αὐτῷ τοι μετόπισθ᾽ ἄχος ἔσσεται, οὐδέ τι μῆχος* 249ᵃ = χ 345
*ῥεχθέντος κακοῦ ἔστ᾽ ἄκος εὑρέμεν᾽· ἀλλὰ πολὺ πρὶν*
*φράζε᾽ ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.*
*ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς* 252 cf. Λ 765
*ἤματι τῷ, ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνον᾽ ἔπεμπε·* 253 = 439 Λ 766
*τέκνον ἐμὸν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη*
*δώσουσ᾽, αἴ κ᾽ ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν*
*ἰσχέμεν᾽ ἐν στήθεσσι, φιλοφροσύνη γὰρ ἀμείνων. —*
*ὣς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ᾽ ἔτι καὶ νῦν* 259 = Λ 790
*παύε᾽, ἔα δὲ χόλον θυμαλγέα· σοὶ δ᾽ Ἀγαμέμνων*
*ἄξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.*
*εἶα, σὺ μέν με᾽ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω*
*ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ᾽ Ἀγαμέμνων·*

---

257 *ληγέμεναι δ᾽ ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον*
*τίωσ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.* 258 cf. 36

---

236 *σφι* Ar. D] *σφιν* A C ‖ 238 *Διὶ*] *βίῃ* Bentley (sine causa) ‖ 240 *ἀράεται* nº 191] *ἀρᾶται.* — *ἠόα* nº 77] *ἠῶ* ‖ 241 *ἀποκοψέμεν* Bekker] *-ειν* ‖ 242 *ἐμπρήσειν*] *ἐμπλήσειν* Ar.; cf. Β 415 ‖ 243 *δηώσειν*] notetur forma contracta. — *ὀρινομένους*] l. a. *ἀτυζομένους* et *ὑπὸ* (*περὶ*?) *καπνῷ*; cf. Θ 183 ‖ 244 *δέδϜοικα*] *δείδοικα* ‖ 245 *ἐκτελέσωσι*] nº 122. — **ἧμιν*] *ἡμῖν.* — *εἴη* Hermann] *εἴῃ* ‖ 248 *ῥύεσθαι* Heyne] *ἐρύεσθαι* ‖ 249 sq. *μῆχος … ἔστ᾽*] *μῆχαρ … οὔτ᾽* schol. Pind. Ol. 2, 31 ‖ 250 *εὑρέμεν* Bekker] *εὑρεῖν* ‖ 251 **φράζε᾽* nº 117] *φράζευ* ‖ 253 **Ἀγαμέμνον᾽ ἔπεμπε*] *-νι πέμπε* ‖ 256 *ἰσχέμεν* Nauck] *ἴσχειν* ‖ 257 sq.] ut iram *deponeret* nondum susceptam pater non poterat hortari filium; quapropter Heyne versus notavit, Bekker eiecit ‖ 259 *ἐπέτελλ᾽ ὁ*] *ἐπέτελλε*? ‖ 260 *παύε᾽*] sic recte h. l. est traditum; cf. nº 117 ‖ 262 *εἶα*] *εἰ δὲ.* Cf. Λ 302. Hoc uno loco pro *εἶα* non *εἰ δ᾽* sed *εἰ δὲ* reperitur. — **με᾽*] *μευ*

IX ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, 264-268 = 122 sqq.
αἴθωνας δὲ λέβητας ἐϜείκοσι, δώδεκα δ' ἵππους.
οὔ κεν ἀλήιος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο,
ὅσσ' Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο. 269-274 cf. 127 sqq.
δώσει δ' ἑπτὰ γυναῖκας, ἀμύμονα Ϝέργα Ϝιδυίας,
Λεσβίδας, ἅς, ὅτε Λέσβον ἐυ κτιμένην ἕλες αὐτός,
ἐξέλεθ', αἳ τότε κάλλε' ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπέϜρα,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, 275 sq. = T 176 sq. 275 = 133
ἣ θέμις ἐστί, Ϝάναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν. 276 cf. 134
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε 277 sq. = 135 sq.
Ϝάστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα Ϝάλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι 279 cf. 137
εἰσελθών, ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοί, 280 = 138
Τρωιάδας δὲ γυναῖκας ἐϜείκοσιν αὐτὸς ἑλέσθαι, 281 cf. 139
αἵ κε μετ' Ἀργεΐην Ἑλένην κάλλισται ἔωσι. 282 sq. = 140 sq.
εἰ δέ κεν Ἄργος ἱκώμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν Ϝοι ἔῃς· τίσει δέ σε Ϝῖσον Ὀρέστῃ, 284-286 cf. 142 sqq.
ὅς Ϝοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ Ϝοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ ἐυ πηκτῷ,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ ΙφιϜάνασσα· 287 = 145
τάων ἥν κ' ἐθέλησθα φίλην ἀνέϜεδνον ἄγεσθαι 288 sq. cf. 146 sq.
πρὸς Ϝοῖκον Πηλῆος· ὃ δ' αὖτ' ἐπὶ μείλια δώσει
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑϜῇ ἐπέδωκε θυγατρί. 290 = 148
ἑπτὰ δέ τοι δώσει ἐυ ναιόμενα πτολίεθρα, 291 cf. 149
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν 292-296 = 150 sqq.
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσωσι 297-299 cf. 155 sqq.
καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέσωσι θέμιστας.

266 πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
268 οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,

266—298] de his versibus vid. ad vs. 124—156

IX ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
αὐτὸς καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους περ Παναχαιοὺς
τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὣς
τίσουσ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο.
νῦν γάρ χ' Ἕκτορ' ἕλοισθα, ἐπεὶ μάλα τοι σχεδὸν ἦλθε,
λύσσαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον
Ϝοὶ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποϜειπεῖν, 309b cf. α 373
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος. 311b = σ 231
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἈϜίδαο πύλῃσι, 312 = ξ 156
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ Ϝείπῃ.
αὐτὰρ ἐγὼ Ϝερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα· 314 = 103
οὔτ' ἐμέ γ' Ἀτρεΐδην πείσειν Ἀγαμέμνον' ὀίω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν 316b sq. = Ρ 147 sq.
μάρνασθαι δηίοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
Ϝίση μοῖρα μένοντι καὶ εἰ μάλα τις πολεμίζῃ,
ἐν δὲ μιῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
οὐδέ τί μοι περίκειται, ἐπεὶ 'πάθον ἄλγεα θυμῷ, 321b = Π 55
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα Ϝοι πέλετ' αὐτῇ,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον, 325b = ι 340

---

320 κάτθαν' ὁμῶς ὅ τ' ἀϜεργὸς ἀνὴρ ὅ τε πολλὰ ϜεϜοργώς.

---

304 *ἕλοισθα, ἐπεὶ μάλα τοι σχεδὸν ἦλθε] ἕλοις, ἐπεὶ ἂν ... ἔλθοι A D, ἔλθῃ C. Novicium est ἄν et a contextu alienum, nam non *si veniat* sed *quoniam venit* dicere vult Ulixes || 310 ᾗ Ar.] l. a. ὥς, εἴ (non recte). — φρονέω Ar.] κρανέω meliores, Plat. Hipp. min. 364 *e*. — τετελεσμένον ἔσται] τελέεσθαι ὀίω Plato l. l. Eadem varietas est *Α* 204, unde suspiceris Aristarcheam lectionem in Platonis textu superesse || 314 ἔμμεν' n° 125] εἶναι; sed vid. ad vs. 103 || 315 *πείσειν Ἀγαμέμνον' ὀίω] Ἀγαμέμνονα πεισέμεν οἴω || 316 ἦεν] ἐστι schol. Plat. Reip. 468 *c* (non recte) || 317 δηίοισιν] n° 17. — δηίοισιν ἐπ' Ar. C] δηίοισι μετ' A D || 318 πολεμίζῃ A] -ζει D, -ζοι C || 319 μιῇ Heyne] ἰῇ, hiatu intolerabili. Nauck τ' ἴῃ || 320] versum gnomicum, hinc alienum, eiecimus, Heynii iudicium cum plerisque criticis secuti; fortasse autem simul vs. 318 sq. erant expungendi, ut Bekker Friedlaender Christ voluerunt || 322 αἰὲν Hermann] αἰεί. — πολεμίζειν] sic Ar.; alii igitur -ζων? || 324 δ' ἄρα Ar.] δέ τε. — *πέλετ'] πέλει, cf. n° 275

IX ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων
ἀνδράσι μαρναμένοισ' ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων πασάων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνον' ἔδοσκον
Ἀτρεΐδῃ· ὃ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι
δεξάμενος διὰ παῦρ' ἐδασάσκετο, πολλὰ δ' ἔχεσκε.
ἅσσα δ' ἀριστήεσσ' ἐδίδου γέρα καὶ βασιλεῦσι,
τοῖσι μὲν ἔμπεδα κεῖτ', ἐμέθεν δ' ἀπὸ μούνου Ἀχαιῶν
εἷλετ', ἔχει δ' ἄλοχον θυμαρέα. τῇ παριαύων
τερπέσθω· τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσι
Ἀργεΐους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠυκόμοιο;
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
Ϝὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
ἐκ θυμοῦ 'φίλεον, δουρὶ κτητήν περ ἐοῦσαν.
νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτησε,
μή μεο πειραέτω ἐὺ Ϝειδότος· οὐδέ με πείσει.
ἀλλ', Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήιον πῦρ. 347b = 674
ἦ μὲν δὴ μάλα πόλλ' ἐπονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξε· 350 cf. *H* 441

---

327 *μαρναμένοισ'* Aldus Heyne] *μαρνάμενος*. Hac emendatione substantivum *ἀνδράσι*, quod in vulgata satis ieiune positum est, aptum recuperat epitheton, simulque pronomini possessivo redditur vis reflexiva, qua hoc uno loco homerico carere videbatur. Cf. nº 95 et l. a. Σ 210. — *ὀάρων* Ar. codd.] l. a. *ὀρέων* vel *ὠρέων* (? — *ἀόρων* fuisse l. a. censet Cobet); cf. *E* 486 ‖ 328 *πόλις* Bekker] *πόλεις* ‖ 330 *πασάων* Fick] *ἐκ πασέων*, cf. nº 56 ‖ 331 **Ἀγαμέμνον' ἔδοσκον*] *-νι δόσκον* ‖ 333 *παῦρ' ἐδασάσκετο*] *παῦρα δασ.* ‖ 334 *ἅσσα* Bekker] *ἄλλα*. Emendatio egregia. — **ἀριστήεσσ' ἐδίδου*] *-σι δίδου* ‖ 335 **κεῖτ', ἐμέθεν*] *κεῖται, ἐμεῦ* ‖ 336 *εἷλετ', ἔχει δ'*] l. a. *εἷλετ' ἔχειν* male, nam *ἄλοχος* non de *Briseide* h. l. dicitur sed de *Clytaemnestra*; nunquam *ἄλοχος* de concubina usurpatur. Cf. ψ 232 ‖ 337 *δεῖ*] impersonale alibi non obvium et ipsa forma (pro *δέει*) suspectum; vHerwerden *τί χρή*, JMenrad *τί δέει* coll. Φ 360 ‖ 342 **Ϝὴν αὐτοῦ*] *τὴν αὐτοῦ*, l. a. *τὴν αὑτοῦ* ‖ 345 **μεο*] *μευ*. — *πειραέτω* nº 191] *πειράτω* ‖ 347 *δήιον*] nº 17 ‖ 348 **πόλλ' ἐπονήσατο*] *πολλὰ πονήσατο* ‖ 349 sq.] l. a. *ἤλασεν ἔκτοθι τάφρον ...., περὶ δέ*, ab Aristarcho commemorata

IX *ἀλλ' οὐδ' ὧς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο*
*ἰσχέμεν᾽. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν 'πολέμιζον,*
*οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν' Ἕκτωρ,*
*ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανε·* 354 cf. Z 237
*ἔνθα ποτ' οἶον ἔμιμνε, μόγις δέ με' ἐξέφυγ' ὁρμήν.*
*νῦν δ', ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν' Ἕκτορι δίῳ,*
*αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσι*
*νηήσας ἐῢ νῆα ἐμὴν ἅλαδε προϝερύσσω.*
*ὄψεαι, αἴ κ' ἐθέλησθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,* 359 = Δ 353
*ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας*
*νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·*
*εἰ δέ κ' ἐυπλοΐην δώῃ κλυτὸς ἐννοσίγαιος,*
*ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.*
*ἔστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον ἐνθάδε ϝέρρων·*
*ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν*
*ἠδὲ γυναῖκας ἐυζώνους πολιόν τε σίδηρον* 366 = Ψ 261
*ἄξομαι, ἅσσ' ἔλαχόν γε· γέρας δέ μοι, ὅς περ ἔδωκε,*
*αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων*
*Ἀτρεΐδης. τῷ πάντ' ἀγορευέμεν' ὡς ἐπιτέλλω,* 369ᵇ = B 10
*ἀμφαδὸν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοὶ,*
*εἴ τινά που Δαναῶν ἔτι ϝέλπεται ἐξαπατήσειν,*
*αἰὲν ἀναιδείην ἐπιϝειμένος. οὔ κεν ἐμοί γε*
*τετλαίη, κύνεός περ ἐὼν, εἰς ὦπα ϝιδέσθαι·*
*οὐδέ τί ϝοι βουλὰς συμφράσσομαι, οὐδέ τι ϝέργον·*
*ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν· οὔ κεν ἔτ' αὖτις*
*ἐξαπάφοιτο ϝέπεσσι· ϝάλις δέ ϝοι. ἀλλὰ ϝέκηλος*
*ϝερρέτω· ἐκ γάρ ϝοι φρένας εἵλετο μητιέτα Ζεύς.*
*ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ.*

---

351 *ἀνδροφόνοιο*] *ἱπποδάμοιο* D ‖ 352 *ἰσχέμεν* Nauck] *-ειν* ‖ 355 **με'*] *μευ.* — **ἐξέφυγ'*] *ἔκφυγεν* ‖ 356 *πολεμιζέμεν* A D] *-ζειν* C ‖ 358 **νῆα ἐμὴν*] *νῆας, ἐπὴν*; cf. vs. 137 et 279. In fine versus clausimus sententiam, quae invita grammatica cum verbis sequentibus coaluerat ‖ 359 *αἴ κ'* Vind. Plat. Hipp. min. 370*b*] *ἦν* ‖ 362 *κ' ἐυπλοΐην* nº 54] *κεν εὐπλοίην* ‖ 367 *ἅσσ' ἔλαχόν γε*] l. a. *ἄσσα λέλογχα.* — *ὅς*] *ὥς* C D ‖ 368 *ἐφυβρίζων*] l. a. *ἐνυβρίζων* ‖ 372 **οὔ κεν*] *οὐδ' ἂν*, Eust. *οὐκ ἂν* ‖ 374 *τι* Bekker] *μὲν* ‖ 375 **οὔ κεν*] *οὐδ' ἂν* ‖ 376 *ἐξαπάφοιτο ϝέπεσσι* Heyne] *-φοιτ' ἐπέεσσι* ‖ 377 *οἱ* D] *εὐ* A C male, cf. nº 92. Dativum commendat Z 234 ‖ 378 *καρὸς*] vox ignota. Perperam componi cum proverbio *ἐν τῷ Καρὶ κινδυνεύειν* (Eur. Cycl. 654, Plat. Euthyd. 285*c*, Lach. 187*b*, ubi vid. schol., Cic. pro Flacc. § 65) cum syllaba prior correpta docet tum vero temporum ratio; quapropter reicienda

IX οὐδ᾽ εἴ μοι δεκάκις καὶ ἐϜεικοσάκις τόσα δοίη, 379 cf. X 349
οὐδ᾽ εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε,
οὐδέ κεν ὧς ἔτι θυμὸν ἐμὸν πείσει᾽ Ἀγαμέμνων,
πρίν γ᾽ ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο,
οὐδ᾽ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ϝέργα δ᾽ Ἀθηναίῃ γλαυκώπιδι Ϝισοφαρίζοι·
οὐδέ μιν ὧς γαμέω· ὃ δ᾽ Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅς τίς Ϝοί τε ϜέϜοικε καὶ ὃς βασιλεύτερός ἐστι.
αἴ κ᾽ ἐμὲ γὰρ σαόωσι θεοὶ καὶ Ϝοίκαδ᾽ ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκά γε μάσσεται αὐτός.
πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν᾽ Ἑλλάδα τε Φθίην τε,
κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ᾽ ἐθέλωμι φίλην ποιήσομ᾽ ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
γήμαντι μνηστὴν ἄλοχον, ϜεϜικυῖαν ἄκοιτιν,
κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς·
οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ᾽ ὅσα φασὶ
Ϝίλιον ἐκτῆσθαι, εὖ ναιόμενον πτολίεθρον, 402 cf. B 133
τὸ πρὶν ἐπ᾽ εἰρήνης, πρίν γ᾽ ἐλθέμεν᾽ υἷας Ἀχαιῶν, 403 = X 156

---

380 ὅσσα τέ Ϝοι νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο, 380 cf. χ 62
οὐδ᾽ ὅσ᾽ ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ᾽ ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοισ᾽ ἐν κτήματα κεῖται, 382 cf. δ 127
αἵ θ᾽ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ᾽ ἀν᾽ ἑκάστας
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφι·

---

est Bentlei coniectura *τίω δέ Ϝε Καρὸς ἐν αἴσῃ*. Perridicule veteres quidam statuebant *τὸν ἔγκαρα* dici *pediculum* (vid. Eust.); absurdius etiam alii *τὸ ἔγκαρ* intellegebant *cerebrum*, cf. Lycophr. 1104. Lysanias Aristoph. Ar. pro correpta forma vocis *κηρὸς* habebant, optime quod ad sensum, vid. vs. 312 *Γ* 454, sed grammatica invita; ecquid igitur **τίω δέ Ϝε κηρὸς ἐν αἴσῃ*? ‖ 379 *καὶ ἐϜεικοσάκις* Bentley] *τε καὶ εἰκ.* ‖ 381 *οὐδ᾽*] *ἠδ᾽* meliores; cf. ad *O* 511. — *Ὀρχομενὸν*] l. a. *Ἐρχομενόν*, cf. *B* 511 ‖ 382 *Αἰγυπτίας*] nº 28. — *ὅθι*] l. a. *ᾗ* ‖ 383 *δ᾽ ἀν᾽*] *δὲ* Bekker, ut *Ϝεκάστας* scribi posset; sed literam Ϝ in novicio hoc loco (nam vs. 380—384 et 401—405 eiusdem poetae esse vix possunt) quis miretur neglectam? — *ἑκάστας* Ar. A C] *ἑκάστῃ* D, l. a. *ἑκάστην* ‖ 384 *ἐξοιχνεῦσι*] cf. nº 7 et 191 ‖ 386 *πείσει᾽* Wolf] *πείσει* ‖ 392 *τε ϜέϜοικε* Heyne] *τ᾽ ἐπέοικε* ‖ 393 **αἴ κ᾽ ἐμὲ γὰρ σαόωσι*] *ἢν γὰρ δή με σόωσι*, l. a. *σοῶσι*, *σάωσι*. De *σαόωσι* cf. nº 191 ‖ 394 *γε μάσσεται* Ar.] *γαμέσσεται*. Medium *γαμέομαι* de patre dictum coll. *φ* 214 defendit Cobet; restat tamen caesura post quartum trochaeum vitiosa. Spurium censet versum vHerwerden ‖ 397 *ἐθέλωμι* Ar.] *ἐθέλοιμι* meliores ‖ 399 *γήμαντι* Ar. codd.] l. a. *γήμαντα*, fortasse praeferenda ‖ 401 *ἐμοὶ* Ar. meliores] l. a. *ἐμῆς* ‖ 403 *πρίν γ᾽* Nauck] *πρὶν*, cf. ad *Z* 81. — *ἐλθέμεν*] *ἐλθεῖν* meliores. — Versum deletum malles

IX οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐϜέργει,
Φοίβου Ἀπόλλωνος, Πυθῶν' ἔνι πετρηέσσῃ.
ληιστοὶ μὲν γάρ τε βόες καὶ Ϝίφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθέμεν' οὔτε ληιστὴ
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεά, Θέτις ἀργυρόπεζα,
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κε Ϝοίκαδ' ἴωμι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δϜηρὸν δέ μοι αἰών.
καὶ δέ κε τοῖσ' ἄλλοισιν ἐγὼ παραμυθησαίμην — 417 cf. 684
Ϝοίκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ — 418-420 = 685 sqq.
Ϝιλίου αἰπεινῆς· μάλα γάρ Ϝεθεν εὐρύϜοπα Ζεὺς
χεῖρα ἑϜὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ' ὕμες μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων — — $422^{b}$ = *Δ* 323
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆας σαόῃ καὶ λαὸν Ἀχαιῶν — 424 cf. 681
νηυσὶν ἔπι γλαφυρῇσ', ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο, ἐμεῖ' ἀπομηνίσαντος. — $426^{b}$ = *Τ* 62
Φοῖνιξ δ' αὖθι παρ' ἧμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται — 428 sq. cf. 691 sq.
αὔριον, αἴ κ' ἐθέλησιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξω."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ, — 430-432 cf. *Θ* 28 sqq.

---

416 *ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχήῃ.* — $416^{b}$ cf. *ρ* 476
416 Zen. om., Ar. —

---

405 *Φοίβου*] *νηοῦ* Zen., cum glossographis vocem *ἀφήτορα* vs. 404 *ianuae cardinem* (*στροφέα*) ridicule interpretatus, quam alii pro *thesauro defosso* accipiebant, alii *omnibus vaticinantem* (*ὁμο-φήτορα*) explicabant, alii denique *obscura vaticinia edentem* (*ἀ-* = *δυσ-*). Est autem subst. verbale verbi *ἀφιέναι*. — *Πυθῶν'* Bekker] *Πυθοῖ*. Cf. *B* 519 || 408 *ἐλθέμεν* Bekker] *ἐλθεῖν*. Ceterum mire adhibitus est infinitivus. — *ληιστή* nº 17] *λεϊστή* codd., minus recte || 414 *ἴωμι* Nauck] *ἵκωμι* A, *ἵκωμαι* C D. Spreta Nauckii emendatione Brugmann *ἵκωμαι ἑήν*, quod *meam* significare posse contendit. Bentley *ἵκωμαι ἐμὴν* || 416 *κιχήῃ* nº 122] *κιχείῃ* A, *κιχείη* C D || 417 **δέ κε*] *δ' ἂν* || 420 *ἑήν*] *σεϜήν*? cf. nº 44. Bentley (Heyne) *χεῖρά θ' ἑὴν ... τεθαρσήκασί τε*; Fick *χεῖρα φίλαν* (-*ην*) || 421 **ὕμες*] *ὑμεῖς* || 423 *ἀμείνω*] nº 85 || 424 *σαόῃ* Nauck] *τε σόῃ* C D, *τε σόω* A || 426 **ἐμεῖ'*] *ἐμεῦ* || 427 **ἧμι*] *ἄμμι* || 428 *ἕπηται*] *ἕποιτο* D || 429 **αἴ κ'*] *ἢν*

IX μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέϝειπε.
ὀψὲ δὲ δὴ μετέϝειπε γέρων ἱππηλάτα Φοίνιξ
δάκρυ᾽ ἀναπρήσας, περὶ γὰρ ᾽δϝίε νηυσὶν Ἀχαιῶν· 433ᵃ = β 81
„εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ᾽ Ἀχιλλεῦ, 433ᵇ = Λ 557
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
πῦρ ἐθέλεις ἀίδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ, 436ᵇ = Ξ 207, 306
πῶς κεν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην
οἶος; σοὶ δέ μ᾽ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
ἤματι τῷ ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνον᾽ ἔπεμπε 439 = 253
νήπιον, οὔ πω ϝειδόθ᾽ ὁμοιίοο πτολέμοιο
οὐδ᾽ ἀγορῆς, ἵνα τ᾽ ἄνδρες ἀριπρεπέες τελέθουσι.
τούνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ᾽ ἔμεναι πρηκτῆρά τε ϝέργων.
ὣς ἄρ᾽ ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, οὔ κ᾽ ἐθέλοιμι
λείπεσθ᾽, οὐδ᾽ εἴ πέρ μοι ὑποσταίη θεὸς αὐτὸς
γῆρας ἀποξύσας θήσειν νέον ἡβάοντα, 446ᵃ cf. h. Ven. 225
οἷον ὅτε πρῶτον ᾽λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος πέρι ᾽χώσατο καλλικόμοιο,
τὴν αὐτὸς ᾽φιλέεσκεν, ἀτιμάζεσκε δ᾽ ἄκοιτιν,
μητέρ᾽ ἐμήν· ἣ δ᾽ αἰὲν ἔμ᾽ ἐλλισσέσκετο γούνων
παλλακίδι προμιγήμεν᾽, ἵν᾽ ἐχθήρειε γέροντα.
τῇ ᾽πιθόμην καὶ ἔρεξα· πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀισθεὶς
πολλὰ κατηράετο, στυγερὰς δ᾽ ἐπεκέκλετ᾽ ἐρινῦς,

---

437 *κεν] ἂν || 438 σοὶ] pro *tecum* ferri vix potest; Duentzer σοὶ δ᾽ ἄμ᾽ ἔπεμπε γέρων μ᾽, qui parum aptus foret verborum ordo; σὺν δέ μ᾽ Jacobs. Veri videtur similius οἶος vocabulum esse insiticium, et poetam igitur sic fere scripsisse: *σοὶ δέ μ᾽ ὀπάον᾽ ἔπεμπε, quod de sene apte dici posse ex Ω 368 patet || 439 *Ἀγαμέμνον᾽ ἔπεμπε] -νι πέμπε || 440 ὁμοιίοο πτολέμοιο nº 59] ὁμοιίου πολέμοιο || 441 *ἀγορῆς] ἀγορέων, cf. nº 56. Melius singulari opponitur singularis; conferantur loci simillimi Λ 490 Β 370 Δ 400 Ι 33 Ο 283 Σ 106. Neque ἵνα plurali numero in Homericis iungitur || 444 *ἄρ᾽ ... οὔ κ᾽] ἂν ... οὐκ || 445 περ Nauck] κεν || 446 ἡβάοντα nº 190 et 191] ἡβώοντα Ar. codd., l. a. ἡβώωντα || 447 οἷον] τοῖον Zen., noto Alexandrinorum errore correlativa confundens. — Ἑλλάδα καλλιγύναικα] Ὀρμένιον πολύμηλον grammaticus apud Strab. IX 439 et Eustath. ad hunc vs. (Ὀ. πολύπυρον ad Β 734). Cf. Β 734 || 451 *ἔμ᾽ ἐλλισσέσκετο] ἐμὲ λισσέσκετο || 452 προμιγήμεν᾽ nº 125] -γῆναι || 453] male sanam pudicitiae curam Aristodemus quidam ostendit grammaticus, τῇ οὐ πιθόμην οὐδ᾽ ἔρξα scribens, de metro non magis sollicitus quam de sensu; vid. schol. et Eustath., et cf. l. a. Ν 658. Praeiverat quodammodo Euripides, insontem fingendo Phoenicem; cf. Valcken. Diatr. 262 sqq. || 454 κατηράετο nº 191] -ρᾶτο

IX μή ποτε γούνασ' ἐμοῖσιν ἐφέσσεσθαι φίλον υἱὸν
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαράς,
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια. 457ᵇ cf. 569
[τὸν μὲν ἐγὼ 'βούλευσα κατακτάμεν' ὀξέι χαλκῷ· 458ᵃ = ι 299
ἀλλά τις ἀθανάτων 'τρέψε φρένας, ὅς μ' ἐνὶ θυμῷ
δήμου ἔθηκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην.]
ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸς
πατρὸς χωομένοιο κατὰ μέγαρα στροφάεσθαι.
ἦ μὲν πολλὰ Ϝέται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
αὐτόθι λισσόμενοι κατερήτυον ἐν μεγάροισι,
πολλὰ δὲ Ϝίφια μῆλα καὶ εἰλίποδας Ϝέλικας βοῦς 466 = Ψ 166
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ 466ᵇ = α 92 ι 46
εὑόμενοι 'τανύοντο διὰ φλογὸς Ἡφαίστοιο, 467ᵇ sq. = Ψ 32 sq.
πολλὸν δ' ἐκ κεράμων μέθυ 'πίνετο τοῖο γέροντος.
εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ' ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ ἐυερκέος αὐλῆς,
ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή, 474ᵇ = Θ 488
καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς
ῥεῖα λαθὼν φύλακάς τ' ἄνδρας δμῳάς τε γυναῖκας.
'φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐς Πηλῆα Ϝάναχθ'· ὃ δέ με πρόφρων ὑπέδεκτο,

455 *γούνασ' ἐμοῖσιν* quidam ap. Ariston.] *γούνασιν οἷσιν*. — *ἐφέσσεσθαι* Ar. A] *-σασθαι* D, *-ζεσθαι* C Strabo XIII 601 || 457 *ἐπαινὴ*] l. a. *ἐπ' αὐτῷ* (absurde) || 458—461] in libris non extant, sed afferuntur et tractantur a Plutarcho Mor. 26*f*, vs. 459 sq.ᵇ etiam Coriolan. 229*b*, vs. 461 Mor. 72*b*. Contendit ab Aristarcho eiectos esse ne quid detrimenti inde caperent mores iuventutis; quod credibile esse post alios negavit Ludwich Aristarch. I 73. Molesti autem sunt potius quam necessarii, quamquam per se non vituperandos esse iure monuit Plutarchus || 459 *'τρέψε φρένας*] *παῦσεν χόλον* Plut. Mor. 26*f*. — **μ'*] *ῥ'* Plut. Cor. 229*b*, *γ'* Mor. 26*f* || 460 **ἔθηκε*] *θῆκε* || 462 *ἔνθ' ἐμοὶ* A D] *ἔνθα μοι* C || 463 *στροφάεσθαι* nº 191] *στρωφᾶσθαι*, l. a. *στροφάασθαι* || 464 *ἀμφὶς ἐόντες* Ar. codd.] l. a. *ἐγγὺς ἐόντες*, *ἀντιόωντες*. Suspicionem vero movet *ἀμφὶς* (i. e. *χωρὶς*) pro *ἀμφὶ* (ut vs. 470); **ἀμφιέποντες*? cf. **B** 525 **E** 667 et praesertim *γ* 118 || 465 *αὐτόθι* nº 322] *αὐτοῦ* || 472 *ὑπ'*] *ἐν* Ar. || 477 *φύλακάς τ'*] omittitur *τ'* in D et schol. *α* 1. Verum videtur **φυλάκους* (*τ'*?), cf. nº 63 || 480] verba a poeta sic potius videntur fuisse ordinata: **Ϝάνακτα, ὃ δὲ πρόφρων μ' ὑπέδεκτο*

IX *καί μ' ἐφίλησ' ὡς εἴ τε πατὴρ ϝὸν παῖδα φιλήσῃ*
*μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι,*
*καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·*
*'ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσι ϝανάσσων.*
*καί σε τοσοῦτον ἔθηκα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,*
*ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκον ἅμ' ἄλλῳ*
*οὔτ' ἐς δαῖτ' ἴμεναι οὔτ' ἐν μεγάροισι πάσασθαι,*
*πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας*
*ὄψου τ' ἄσαιμι προταμὼν καὶ ϝοῖνον ἐπισχών.*
*πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα*
*ϝοίνου ἀποβλύζων ἐν νηπιίῃ ἀλεγεινῇ.*
*ὣς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα,* 492 cf. Ψ 607
*τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον* 492ᵇ = ε 223 ϑ 155
*ἐξ ἐμέ'· ἀλλὰ σὲ παῖδα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,*
*'ποιεόμην, ἵνα μοί ποτ' ἀϝεικέα λοιγὸν ἀμύνῃς.*
*ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ*
*νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,*
*τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.*
*καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇσ' ἀγανῇσι*
*λοιβῇ τε κνίσῃ τε παρατροπάουσ' ἄνθρωποι*
*λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.*
*καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,*
*χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,*
*αἵ ῥά τε καὶ μετόπισθ' Ἀάτης ἀλέγουσι κιοῦσαι.*
*ἡ δ' Ἀάτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας*
*πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν*
*βλάπτουσ' ἀνθρώπους· αἳ δ' ἐξακέονται ὀπίσσω.*

---

481 *φιλήσῃ*] *-σει* C D, cf. nº 122 ‖ 485 *ἔθηκα*] Nauck *ἔθρεψα*; at optime habere videtur vulgata: *quod talis evasisti qualem nunc te cerno, mihi id debes* ‖ 486 *ἐθέλεσκον* Brosin] *-σκες* ‖ 487 *ἴμεναι* nº 125] *ἰέναι* ‖ 488 *γούνεσσι* Ar. A] *γούνασσι* C D ‖ 489 *τ'*] om. A C D ‖ 490 *στήθεσσι*] *-σφι* Vind., cf. ad *M* 401 ‖ 491 **νηπιίῃ*] *νηπιέῃ* ‖ 492 *πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα*] *πολλὰ πάθον καὶ πολλὰ μόγησα* Ar. ‖ 494 **ἐμέ'*] *ἐμεῦ* ‖ 495 *'ποιεόμην* nº 191] *ποιεύμην*. — *ἀμύνῃς*] nº 122 ‖ 499 *μὲν τοὺς θυέεσσι*] *τοὺς μὲν θυσίαισι* Plat. Reip. II 364*d* ‖ 500 *λοίβῃ . . . κνίσῃ*] l. a. *-ης . . . -ης*. — *παρατροπάουσ'* nº 191] *-τρωπῶσ'* ‖ 501 *λισσόμενοι*] verbum contra usum poetae adhibitum; cf. nº 220. Fortasse spurius est versus ‖ 503 *παραβλῶπες*] vox notabilis propter radicem *βλεπ*, nonnisi hoc uno loco Homerico obviam. — *ὀφθαλμώ* C] *-μῶν* A D, vitio manifesto. H. l. et *N* 474 legitur *ὀφθαλμώ* pro *ὄσσε*; vid. etiam *E* 659 ‖ 504 *Ἀάτης* Nauck] *Ἄτης*. Item vs. 505 et 512 ‖ 506 *φθάνει*] *φθανέει* Zen.

IX ὅς μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο·
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποFείπῃ,
λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι
τῷ Ἀάτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
ἀλλ' Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
τιμὴν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ἀτρεΐδης, ἀλλ' αἰὲν ἐπιζαφέλως χαλεπαίνοι,
οὔ κεν ἐγώ γέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
Ἀργεΐοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπης·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη,
ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους
κρινάμενος κατὰ λαὸν Ἀχαιικὸν, οἵ τε σοὶ αὐτῷ
φίλτατοι Ἀργείων· τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι. 523ᵇ = χ 59
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέε' ἀνδρῶν
ἡρώων, ὅτε πέρ τιν' ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί τ' ἐπέλοντο παράρρητοί τε Fέπεσσι.
μέμνημαι τόδε Fέργον ἐγὼ πάλαι, οὔ τι νέον γε,
ὡς ἦν· ἐν δ' ὔμιν Fερέω πάντεσσι φίλοισι.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ διαπραθέμεν μεμαῶτες Ἄρηι.
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε,
χωσαμένη ὅ Fοι οὔ τι θαλύσια γουνῷ ἀλωῆς

---

509 *εὐξαμένοιο* meliores] *εὐχομένοιο* Ar. (an l. a. ab Ar. commemorata?); at cf. *Α* 381, 453 *Π* 236, 531 *φ* 211 ‖ 510 *ἀνήνηται*] cf. nº 122 ‖ 512 *ἀποτίσῃ*] cf. nº 122; l. a. *-τίνῃ* ‖ 514] non Litae debent *ἐπιγνάμπτεσθαι* sed Achilles; ingeniose igitur Christ *αἵ τ' ἄλλων περ ἐπίγναμψαν νόον ἐσθλῶν* ‖ 516 *ἐπιζαφέλως* Bekker] *-λῶς*. Cf. vs. 525 ‖ 517 **οὔ κεν*] *οὐκ ἂν* ‖ 522 *ἐλέγξῃς*] cf. nº 122 ‖ 523] melius abesset. Sed totus qui sequitur de Meleagro excursus et hinc alienior (vid. ad vs. 182) et ingrata quadam ubertate inflatus est ‖ 524 *κλέε'* Nauck] *κλέα* ‖ 525 **πέρ*] *κέν* ‖ 526 *τε Fέπεσσιν* Heyne] *τ' ἐπέεσσι* ‖ 528 *ἦν*] *ἔεν* LMeyer. — **ὔμιν*] *ὑμῖν* ‖ 531 *ἐραννῆς*] pro *ἐρατεινῆς* praeter hunc versum et vs. 577 nonnisi *η* 18 extat, ubi vid. ‖ 532 *διαπραθέμεν* nº 126] *-έειν* ‖ 534 *θαλύσια*] *messis primitias*; *ἑορτῆς* unicum hoc in Iliade vestigium; vid. praeterea *υ* 156 *φ* 258

IX Ϝοινεὺς ᾿Ϝέρξ᾿· ἄλλοι δὲ θεοὶ ᾿δαίνυνθ᾿ ἑκατόμβας,
οἴῃ δ᾿ οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο,
ἢ ᾿λάθετ᾿ ἢ οὐκ ἐνόησεν· ἀάσσατο δὲ μέγα θυμῷ.
ἣ δὲ χολωσαμένη, δῖον γένος, ἰοχέαιρα,
ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,
ὃς κακὰ πόλλ᾿ ἔρδεσκε Ϝέθων Ϝοινῆος ἀλῳήν· 540ª cf. h. Ap. 355
πολλὰ δ᾿ ὅ γε προθέλυμνα χαμαὶ ᾿βάλε δένδρεα μακρὰ
αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖσ᾿ ἄνθεσι μήλων.
τὸν δ᾿ υἱὸς Ϝοινῆος ἀπέκτεινεν Μελέαγρος,
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
καὶ κύνας· οὐ μὲν γάρ κ᾿ ἐδάμη παύροισι βροτοῖσι·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ᾿ ἀλεγεινῆς.
ἣ δ᾿ ἀμφ᾿ αὐτῷ ἔθηκε πολὺν κέλαδον καὶ ἀυτήν,
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγρος Ἄρηι φίλος ᾿πολέμιζε,
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδ᾿ ἐδύναντο
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες·
ἀλλ᾿ ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
ἦ τοι ὃ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
᾿κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ,
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης
Ἴδεώ θ᾿, ὃς κάρτιστος ἐπιχθονίων ᾿γένετ᾿ ἀνδρῶν
τῶν τότε, καί ῥα Ϝάνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.

537 ἢ ᾿λάθετ᾿ ἢ οὐκ] ἐκλάθετ᾿ οὐδ᾿ Zen. In vulgata displicet ἢ οὐκ, cf. nº 8; nec tamen Zenodoti lectio vera videtur; ecquid *ἢ ᾿λάθετ᾿ ἢ οὐκ ὤθετ᾿ *sive oblitus sive non curans?* ‖ 538 δῖον] θεῖον Duentzer, ad *aprum* referens ‖ 539] hunc versum Aristot. Hist. an. VI 28 ita exhibet mutatum et ex ι 191 sq. inepte auctum: θρέψεν ἐπὶ χλούνην σῦν ἄγριον, οὐδὲ ἐῴκει | θηρί γε σιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι ‖ 540 ἔρδεσκε] neglecto Ϝ. Ammonius ἔρρεξεν (vel potius ἔρρεζεν). Vulgatam tuentur h. Apoll. 303 et 355, qui versus ad nostrum locum sunt expressi. Eadem est varietas X 380. — Ϝέθων] nº 218; absurde glossographi ἔθων per βλάπτων interpretabantur ‖ 544 πολλέων] cf. nº 56. In recenti hac narratiuncula ferendus videtur genitivus ionicus (aut atticus); cf. vs. 566. Possis tamen conicere πολλάων πολίων, cf. *B* 131 ‖ 547 ἔθηκε Eustath.] θῆκε ‖ 551 ἦν] ἔεν LMeyer. — ἐδύναντο] ἐθέλεσκον Aristoph. ‖ 552 τείχεος] suae urbis, *Pleuronis* igitur, ut recte explicat Heyne ‖ 554 στήθεσσι] -σφι Apoll. lex.; cf. ad *M* 401 ‖ 558 Ἴδεω] nº 55

IX *τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ*
*Ἀλκυόνην 'καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς*
*μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα*
*'κλαῖ', ὅτε μιν ϝεκάϝεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.*
*τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,* 565ᵇ cf. Δ 513
*ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι*
*πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο,*
*πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία*
*κικλήσκουσ' Ἀϝίδην καὶ ἐπαινὴν Περσεφόνειαν,* 569ᵇ cf. 457 κ 534 λ 47
*πρόχνυ καθεζομένη, 'δεύοντο δὲ δάκρυσι κόλποι,*
*παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις ἐρινὺς*
*ἔκλυεν ἐξ ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα·*
*τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει*
*πύργων βαλλομένων· τὸν δ' ἐλλίσσοντο γέροντες*
*Αἰτωλῶν, 'πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,*
*ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·*
*ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,*
*ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι*
*πεντηκοντάγυον, τὸ μὲν ἥμισυ ϝοινοπέδοιο,*
*ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.*
*πολλὰ δέ μιν 'λιτάνευε γέρων ἱππηλάτα ϝοινεὺς*
*οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,*
*σείων κολλητὰς σανίδας, γουνώμενος υἱόν·*
*πολλὰ δὲ τόν γε κασίγνηται καὶ πότνια μήτηρ*
*ἐλλίσσονθ'· ὃ δὲ μᾶλλον ἀνήνετο· πολλὰ δ' ἑταῖροι,*
*οἵ ϝοι κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·*
*ἀλλ' οὐδ' ὧς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,* 587 cf. η 258
*πρίν γ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων*
*'βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ϝάστυ.*
*καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις*

---

562 *αὐτῆς*] pro *τῆς* novicium ‖ 564 *κλαῖ' ὅτε* Zen. codd.] *κλαῖεν ὃ* Ar. ‖ 566 *ἀρέων*] cf. nº 56; vid. ad vs. 544. Possis tamen conicere *ἀρῆς*, cf. *Ο* 598 *δ* 767 et ad *Λ* 495 ‖ 568 *πολυφόρβην*] ceteris locis *γαῖα πολύφορβος* dicitur (*Ξ* 200, 301 h. Ap. 365). — *χερσὶν ἀλοία*] **χέρσ' ἠλοία?* ‖ 571 *δόμεν*] forma brevior infinitivi sine necessitate adhibita; **παιδὶ μόρον δόμεναι?* cf. nº 125 ‖ 572 *ἐρέβεσφιν* Anecd. Ox. II 160] *ἐρέβευσφιν*, cf. ad *Θ* 368 ‖ 574 *δ' ἐλλίσσοντο*] *δὲ λίσσοντο* Ar. ‖ 577 *ἐραννῆς*] cf. ad vs. 531 ‖ 579 *πεντηκοντάγυον* Nauck] *-τόγυον* ‖ 580 *ψιλὴν*] *ψιλῆς* (sc. *γῆς*) Ar. ‖ 583 **γουνώμενος*] *-νούμενος*, cf. nº 144 ‖ 584 *κασίγνηται* Ar. codd.] l. a. *-τοι*. Cf. *Β* 641 ‖ 585 **ἀνήνετο*] *ἀναίνετο*

IX ’λίσσετ’ ὀδυρομένη, καί Ϝοι κατέλεξεν ἅπαντα
κήδε’, ὅσ’ ἀνθρώποισι πέλονθ’ ὧν Ϝάστυ Ϝαλώῃ·
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ’ ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.
τοῦ δ’ ὠρίνετο θυμὸς ἀκούοντος κακὰ Ϝέργα, 595ᵃ = υ 9 ω 318
’βῆ δ’ ἴμεναι, χροΐ δ’ ἔντε’ ἐδύσετο παμφανάοντα.
ὣς ὃ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
Ϝείξας Ϝῷ θυμῷ· τῷ δ’ οὐκέτι δῶρ’ ἐτέλεσσαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ’ ἤμυνε καὶ αὔτως.
ἀλλὰ σὺ μή τοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
ἐνταῦθα τρέψειε, φίλος· χαλεπὸν δέ κεν εἴη
νηυσὶν καιομένῃσιν ἀμυνέμεν’· ἀλλ’ ἐπὶ δώρῳ
ἔρχεο· Ϝῖσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί·
εἰ δέ κ’ ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς,
οὐκέθ’ ὁμῶς τιμῆς ἔσεαι πόλεμόν περ ἀλαλκών.”
τὸν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Φοίνιξ, ἄττα γεραιέ, διοτρεφές, οὔ τί με ταύτης 607ᵃ = P 561
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ.
[ἥ μ’ ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ’ ἀυτμὴ
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ’ ὀρώρῃ.] 610 = K 90
ἄλλο δέ τοι Ϝερέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσι· 611 = A 297
μή μοι σύγχεε θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδῃ ἥρωι φέρων χάριν· οὐδέ τί σε χρὴ

---

592 κήδε’ ὅσ’] ὅσσα κάκ’ Aristot. Rhet. I 7. — *πέλονθ’ ὧν] πέλει τῶν, cf. nº 275 || 593 ἄνδρας μὲν κτείνουσι] λαοὶ μὲν φθινύθουσι Aristot. l. l. (cf. Z 327) || 594 τ’ ἄλλοι Ar. codd.] δῇοι Zen., male; quae ex dittographia nata esse videtur lectio. Neque probanda est Nauckii coniectura δὲ λαοί: satis defenditur ἄλλοι versu Γ 301 || 596 ἴμεναι nº 125] ἰέναι. — παμφανάοντα nº 191] -νόωντα || 599 αὔτως] αὕτως A || 600 τοι ταῦτα] *τοιαῦτα? || 601 χαλεπὸν] κάκιον C || 602 δώρῳ Cobet] δώροις A C D, δώρων Ar. In vulgata vitiosum est -οις pro -οισι (cf. nº 60), in Aristarchi lectione explicari nequit genitivus. Dativum requiri patet ex K 304; singularem numerum recte habere ex vss. 576 et 598 inter se comparatis colligitur || 605 τιμῆς] non adiectivum esse hanc vocem (pro τιμῆς = τιμήεις, cf. Σ 475 et ad M 201, nº 69), ex vs. 607 sq. satis apparet; sin vero cum Aristarcho pro genitivo habeas, genitivus ille vix potest explicari. Coniecimus *τιμήσε’ ἄρα πτόλεμόν περ ἀλαλκών || 608 χρεὼ] nº 8; *χρηώ | τῆς τιμῆς? || 609 sq.] non sine causa expunxerunt Heyne Duentzer || 610 στήθεσσι] -σφι? cf. ad M 401 || 612 σύγχεε nº 191] σύγχει. — ὀδυρόμενος καὶ ἀχεύων] ἐνὶ στήθεσσι(ν ἀχεύων) Ar., ὀδυρόμενος κινυρίζων Zen., quod ex μινυρίζων corruptum esse censet Spitzner; cum vero καί vix abesse possit, in Zenodoti lectione potius latere suspicamur ἀχεύων κ(αὶ μ)ινυρίζων

IX τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κηδέμεν᾽ ὅς κ᾽ ἐμὲ κήδῃ.
οὗτοι δ᾽ ἀγγελέουσι, σὺ δ᾽ αὐτόθι λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ᾽ ἠόι φαινομένηφι
φρασσόμεθ᾽, ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽ ἤ κε μένωμεν."
ἦ, καὶ Πατρόκλῳ ὅ γ᾽ ἐπ᾽ ὀφρύσι ᾽νεῦσε σιωπῇ
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα 621 cf. 659
ἐκ κλισίης νόστοιο μεδοίατο. τοῖσι δ᾽ ἄρ᾽ Αἴας
ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔϝειπε·
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἴομεν, οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ᾽ ὁδῷ κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ ποθι νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺς
ἄγριον ἐν στήθεσσ᾽ ἔθετο μεγαλήτορα θυμόν,
σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων
τῆς ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων,
νηλής· καὶ μέν τίς τε κασιγνήτοιο φονῆος
ποινὴν ἢ ϝοῦ παιδὸς ἐδέξατο τεθνηῶτος·
καί ῥ᾽ ὃ μὲν ἐν δήμῳ μένει αὐτόθι, πόλλ᾽ ἀποτίσας,
τῷ δέ τ᾽ ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
ποινὴν δεξαμένῳ. σοὶ δ᾽ ἄλληκτόν τε κακόν τε
θυμὸν ἐνὶ στήθεσσι θεοὶ ᾽θέσαν εἵνεκα κούρης
οἴης. νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ᾽ ἀρίστας
ἄλλα τε πόλλ᾽ ἐπὶ τῇσι· σὺ δ᾽ ἵλαον ἔνθεο θυμόν,
αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων

616 *ϝῖσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.*

615 *κηδέμεν* Bekker] *κήδειν* ‖ 616] rhapsodo hunc versum iure suo tribuit Heyne; notabilis est forma *μείρεο*, cf. nº 271 ‖ 618 *ἠόι* nº 77] *ἠοῖ* ‖ 627] additur in quibusdam *εἰπέμεν Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ* (= *H* 373) ‖ 628 **ποθι* nº 322] *που* ‖ 629 *ἄγριον ἐν στήθεσσ᾽ ἔθετο*] *δεινὸν ἐνὶ στήθεσσιν ἔχει* Galenus V 297 (memoriter citans). — **στήθεσσ᾽ ἔθετο*] *-σσι θέτο* ‖ 632 *νηλής*] nº 73. — *τε*] *γε* Ar. — *φονῆος* (Ar.?) A] *φόνοιο* C D ‖ 633 *τεθνηῶτος* Ar.] *τεθνειῶτος* ‖ 634 *αὐτόθι* nº 322] *αὐτοῦ* ‖ 635 sq. **τῷ … δεξαμένῳ*] *τοῦ … δεξαμένου* deteriores, *τοῦ … δεξαμένῳ* A C¹ D¹ schol. Soph. El. 210. Manifesto vitiosus est dativus iunctus genitivo, licet conferri possint *K* 188 *Ξ* 141 *ρ* 555 *ψ* 205 sq.; aptior autem videtur duplex dativus, quem igitur in textum recepimus ‖ 641 *πληθύος*] *ἀθρόοι* Zen.

IX κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 644 = Η 234
πάντα τί μοι κατὰ θυμὸν ἐϝείσαο μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξε
Ἀτρεΐδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην. 648 = Π 59
ἀλλ' ὕμες ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, 651ᵇ = Δ 197
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι 652 cf. Δ 328
κτείνοντ' Ἀργείους, κατά τε σμύξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηὶ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀίω." 655ᵇ = Ν 747
ὣς ἔφαθ', οἳ δὲ ϝέκαστος ἑλὼν δέπας ἀμφικύπελλον
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν ἰδὲ δμῳῇσ' ἐκέλευσε 658ᵇ = Ω 643
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα. 659 cf. 621
αἳ δ' ἐπιπειθόμεναι 'στόρεσαν λέχος ὡς ἐκέλευσε,
κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ ἠόα δῖαν ἔμιμνε. 662 cf. τ 50
αὐτὰρ Ἀχιλλεὺς ηὗδε μυχῷ κλισίης ἐυπήκτου, 663 = Ω 675
τῷ δ' ἄρα παρκατέλεκτο γυνὴ τὴν Λεσβόθεν ἦγε,
Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο, πὰρ δ' ἄρα καὶ τῷ
Ϝῖφις ἐύζωνος, τήν ϝοι 'πόρε δῖος Ἀχιλλεὺς
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.

---

645 ἐείσαο Ar. in Commentariis] ἐείσω meliores; cf. nº 117 ‖ 646 ὁππότε κείνων C] ὁππότ' ἐκείνων, l. a. -νου ‖ 647 ἀσύφηλον] ex Ω 767 apparet idem quod *contumeliosum* valere hoc adiectivum ignotae originis, quod non nisi his duobus locis occurrit. Ex mala autem interpretatione fluxit l. a. ἐκείνου | ὅς μ' ἀσύφηλον ἔθηκεν, quasi diceret poeta *illius qui inhonoratum me reddidit* ‖ 649 *ὕμες] ὑμεῖς ‖ 653 σμύξαι Ar. codd.] φλέξαι l. a. ab Ar. reiecta, in Plat. Hipp. min. 371*c* servata ‖ 654 τοι] μιν Plat. l. l. — ἐμῇ] 'μῇ A C D ‖ 657 σπείσαντες] λείψαντες vetus lectio ab Ar. in alteram editionem recepta ‖ 658 *δμῳῇσ' ἐκέλευσε] -ῇσι κέλ. ‖ 660 ὡς ἐκέλευσε] ἐγκονέουσαι Zen., quam lectionem commendant Ω 648 η 340 ψ 291 ‖ 662 ἔνθ' ὁ] ἔνθα? — ἠόα nº 77] ἠῶ ‖ 664 τῷ δ' ... τὴν] τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ', ἣν Zen., quae lectio videtur fluxisse ex mire turbatis literis vulgatae *ΡΑπαρΚΑΤέλεκτο γυνή*, ita ut *ΚΑΤΡΑ* in *ΚΑΙΡΑ* abierit

IX οἳ δ' ὅτε δὴ κλισίῃσιν ἒν Ἀτρεΐδα' ἐγένοντο, 669 = Η 313
τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοισ' υἷες Ἀχαιῶν
'δεδϝέχατ' ἄλλοθεν ἄλλος ἀνασταδὸν ἔκ τ' ἐρέοντο·
πρῶτος δ' ἐξερέεινε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ϝείπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, 673 = Κ 544
ἤ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήιον πῦρ, 673ᵇ = μ 184, 674ᵇ = 347
ἦ ἀπέϝειπε, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;"
τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 677 = Β 434
κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται μένεος, σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
αὐτόν σε φράζεσθαι ἐν Ἀργεΐοισιν ἄνωγε
ὅππως κεν νῆας σαόῃς καὶ λαὸν Ἀχαιῶν· 681 cf. 424
αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠόι φαινομένηφι
νῆας ἐυσσέλμους ἅλαδ' ἑλξέμεν' ἀμφιϝελίσσας.
καὶ δέ κε τοῖσ' ἄλλοισιν ἔφη παραμυθήσασθαι 684 cf. 417
ϝοίκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ 685-687 = 418 sqq.
ϝιλίου αἰπεινῆς· μάλα γάρ ϝεθεν εὐρύϝοπα Ζεὺς
χεῖρα ἑϝὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί. —
ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τὰ ϝειπέμεν', οἵ μοι ἕποντο,
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοίνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣς γὰρ ἄνωγε,
ὄφρα ϝοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται 691 sq. cf. 428 sq.
αὔριον, αἴ κ' ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξει."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ· 693 sq. = Θ 28 sq.
δϝὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν. 695 sq. = 30 sq.

694 *μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε.*

688—692 Aristoph. Ar. —, 692 etiam Zen. — ‖ 694 Zen. om., Aristoph. Ar. —

669 **Ἀτρεΐδα' ἐγένοντο*] *-δαο γένοντο* ‖ 670 *χρυσέοισι*] nº 61 ‖ 671 *'δεδϝέχατ'* nº 139] *δειδέχατ'* ‖ 674 *ἀλεξέμεναι*] l. a. *ἀμυνέμεναι*. — *δήιον*] nº 17 ‖ 679 *πιμπλάνεται*] forma inaudita et suspecta; audacius Nauck *οἰδάνεται μένεϊ* ‖ 681 *σαόῃς* Nauck] *τε σαφῶς* Ar. in ed. altera; *τε σόῃς, σώῃς, σόοις* etc. codd. ‖ 682 *ἠόι* nº 77] *ἠοῖ* ‖ 683 **ἑλξέμεν'*] *ἑλκέμεν* ‖ 684 **δέ κε*] *δ' ἄν*. Versus notabilis propter particulam *κεν* [*ἄν*] hoc uno loco Homerico adiunctam infinitivo (cf. vs. 417); si qua praeterea afferuntur exempla correctione indigent ‖ 687 *ἑϝὴν*] *σεϝὴν*? cf. nº 44 ‖ 688 *τὰ* Heyne] *τάδ'*. — *μοι ἕποντο*] **μ' εἵποντο*? ‖ 690 *αὖθ' ὁ*] *αὖθι*? — **ἄνωγε*] i. e. *iubebat* (ut vs. 680); *ἀνώγει* codd.; cf. nº 225 ‖ 692 **αἴ κ'*] *ἤν* ‖ 694 *ἀγασσάμενοι*] l. a. *φρασσάμενοι*

IX ὀψὲ δὲ δὴ μετέϝειπε βοὴν ἀγαθὸς Διομήδης·
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 697 = *B* 434
μηδ' ὄφελες λίσσεσθαι ἀμύμονα Πηλεΐωνα,
μυρία δῶρα διδούς· ὃ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίηφιν ἐνῆκας.
ἀλλ' ἦ τοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσι 701 cf. ξ 183
ἤ κε μένῃ· τότε δ' αὖτε μαχέσσεται, ὁππότε κέν μιν
θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
ἀλλ' ἄγεθ', ὡς κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντες· 704 = *B* 139
νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
σίτου καὶ ϝοίνοιο, τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή· 706 = *T* 161
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς,
καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
ὀτρύνων, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι." 709 cf. *M* 324
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνεσσαν βασιλῆες, 710 = *H* 344
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο. 711 = *H* 404
καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ϝέκαστος,
ἔνθα δ' ἐκοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο. 713 cf. *H* 482

---

698 *μηδ'* Ar. (*μὴ δ'* C)] *μὴ* A D ‖ 699 *ἄλλως*] l. a. *αὔτως* ‖ 700 *ἀγηνορίηφιν*] *-ῃσιν* codd. — *ἐνῆκας*] *ἀνῆκας* l. a. in Ar. Commentariis inventa; cf. *Π* 691 ‖ 702 *μαχέσσεται* Nauck] *-ήσεται* ‖ 703 *ὄρσῃ*] nº 122 ‖ 704 **κεν*] *ἂν* ‖ 707 *φανῇ*] pro *φανήῃ* novicium, cf. nº 122 ‖ 710 *ἐπήνεσσαν* nº 295] *-νεσαν* D, *-νησαν* A C

# *ΙΛΙΑΔΟΣ Κ.*

*Δολώνεια.*

---

X ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν 1-4 cf. *B* 1 sq.
ηὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ· 2 = *Ω* 678
ἀλλ' οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα,
ὡς δ' ὅτε κ' ἀστράπτῃ πόσις Ἥρης ἠυκόμοιο,
τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο,
ὣς πυκίν' ἐν στήθεσσιν ἀνεστενάχιζ' Ἀγαμέμνων
νειόθεν ἐκ κραδίης, 'τρομέοντο δέ Ϝοι φρένες ἐντός.
ἦ τοι ὅτ' ἐς πεδίον τὸ Τρωικὸν ἀθρήσειε,
'θαύμαζεν πυρὰ πολλά, τὰ 'καίετο Ϝιλιόθι πρό.
[αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων.]
αὐτὰρ ὅτ' ἐς νῆάς τε Ϝίδοι καὶ λαὸν Ἀχαιῶν,
πολλὰς ἐκ κεφαλῆς προθελύμνους εἵλκετο χαίτας

---

Librum hunc integrum efficere carmen in scholiis Dion. Thrac. Bekk. Anecd. p. 768 observatur, ubi *Νυκτεγερσία* audit. Fuisse qui contenderent a Pisistrato Iliadi insertam esse hanc rhapsodiam referunt schol. V et Eustathius

1 *ἄλλοι* (Ar.) codd.] *ὧλλοι* Zen., cf. *B* 1. — Aristot. Poet. 26 (memoriae lapsu) *ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες* (= *B* 1) ‖ 5 **ὅτε κ'*] *ὅτ' ἄν*. — *πόσις Ἥρης*] *Ἥρης πόσις* scriptum malles ‖ 9 *ἐν στήθεσσιν*] *ἐκ στήθεσφιν* Nauck ‖ 10 *'τρομέοντο*] *φοβέοντο* Zen., quod repugnare usui homerico nec cum vs. 25 convenire observabat Ar. ‖ 11 *τὸ*] articulus molestus; fortasse olim lectum fuit *ἐς πεδίον τε καὶ ἐς πόλιν* vel eiusmodi aliquid ‖ 13] uncinis incluserunt Duentzer Nauck; defendi nequit asyndeton. *Fistulae* praeter *Σ* 526 (h. Merc. 512), *tibiae* praeter *Σ* 495 h. Merc. 452 XIII 3 non occurrunt ‖ 15 **εἵλκετο*] *ἕλκετο*

X ὑψόθ' ἐόντι Διί, μέγα δ' ἔστενε κυδάλιμον κῆρ. 16ᵇ = φ 247
ἧδε δέ Ϝοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή, 17 = Β 5
Νέστορ' ἔπι πρῶτον Νηλήιον ἐλθέμεν' ἀνδρῶν,
εἴ τινά Ϝοι σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
ἥ τις ἀλεξίκακος πᾶσιν Δαναοῖσι γένοιτο.
ὀρθωθεὶς δ' ἐνέδυνε περὶ στήθεσσι χιτῶνα, 21 cf. Β 42; 21ᵇ sq. = 131 sq.
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα, 22 = Β 44
ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἐϜέσσατο δέρμα λέοντος 23ᵇ sq. = 177 sq.
αἴθωνος μεγάλοιο ποδηνεκές· εἵλετο δ' ἔγχος.
ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος, οὐδὲ γὰρ αὐτῷ
ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε, μή τι πάθοιεν
Ἀργέιοι, τοὶ δὴ Ϝέθεν εἵνεκα πολλὸν ἐφ' ὑγρὴν
ἤλυθον ἐς Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες. 28 cf. δ 146
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ 'κάλυψε
ποικίλῃ, αὐτὰρ ἐπὶ στεφάνην κεφαλῆφιν ἀείρας
'θήκατο χαλκείην, δόρυ δ' εἵλετο χειρὶ παχείῃ.
'βῆ δ' ἴμεν' ἀνστήσων Ϝὸν ἀδελφεόν, ὃς μέγα πάντων
Ἀργείων ἐϜάνασσε, θεὸς δ' ὣς 'τίετο δήμῳ. 33ᵇ = Ε 78
τὸν δ' ηὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλὰ
νηὶ πάρα πρυμνῇ· τῷ δ' ἀσπάσιος 'γένετ' ἐλθών.
τὸν πρότερος προσέϜειπε βοὴν ἀγαθὸς Μενέλαος·
„τίφθ' οὕτως, ἠθεῖε, κορύσσεαι; ἦ τιν' ἑταίρων
ὀτρυνέεις Τρώεσσιν ἔπι σκοπόν; ἀλλὰ μάλ' αἰνῶς
δέδϜια μὴ οὔ τίς τοι ὑπόσχηται τόδε Ϝέργον,
ἄνδρας δυσμενέας σκοπιαζέμεν' οἶος ἐπελθὼν
νύκτα δι' ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται." 41ᵃ = 142 Ω 363 ι 404 ο 8
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„χρεὼ βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε,
κερδαλέης, ἥ τίς κε Ϝερύσσεται ἠδὲ σαώσῃ
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.

---

19 σὺν μῆτιν] συμμῆτιν CD, quasi a nominativo συμμῆτις. Cf. Ε 178. — ἀμύμονα] ἀμείνονα C ‖ 21 *ἐνέδυνε] ἔνδυνε. — στήθεσσι] -σφι? cf. ad Μ 401 ‖ 25 αὐτῷ] αὖ τῷ A, quod nonnulli malebant ‖ 27 *πολλὸν nº 83] πουλὺν A, πολλὴν CD ‖ 33 ἐϜάνασσε Bentley] ἤνασσε ‖ 34 τιθήμενον] forma notabilis, cf. nº 195 ‖ 38 ὀτρυνέεις Ar.] ὀτρύνεις meliores; difficilis est optio. — ἔπι σκοπόν Nicias] ἐπίσκοπον Ar. codd.; cf. vs. 342 ‖ 39 δέδϜια nº 168] δείδω ‖ 41 τις ... ἔσται] l. a. κεν ... εἴη ‖ 43 χρεὼ] nº 8 ‖ 44 Ϝερύσσεται] vix sanum; cf. nº 164 et 293. — σαώσῃ nº 122] -σει

X *Ἑκτορέοισ' ἄρα μᾶλλον ἐπὶ φρένα 'θῆχ' ἱεροῖσι.*
*οὐ γάρ πω 'Ϝιδόμην οὐδ' ἔκλυον αὐδήσαντος*
*ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἕν' ἤματι μητίσασθαι*
*ὅσσ' Ἕκτωρ ἔρρεξε Διὶ φίλος υἷας Ἀχαιῶν,*
*αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.*
*Ϝέργα δ' ἔρεξ' ὅσα φημὶ μελησέμεν' Ἀργεΐοισι*
*δϜηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ 'μήσατ' Ἀχαιούς.*
*ἀλλ' ἴθι νῦν, Αἴαντα καὶ 'Ιδομενῆα κάλεσσον*
*ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ' ἐπὶ Νέστορα δῖον*
*εἶμι, καὶ ὀτρυνέω Ϝ' ἀνστήμεναι, αἴ κ' ἐθέλῃσι*
*ἐλθέμεν' ἐς φυλάκων ἱερὸν τέλος ἠδ' ἐπιτεῖλαι.*
*κείνῳ γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱὸς*
*σημαίνει φυλάκεσσι καὶ 'Ιδομενῆος ὀπάων*
*Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα."*
*τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·*
*„πῶς τ' ἄρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις;*
*αὖθι μένω μετὰ τοῖσι, δεδεγμένος εἰς ὅ κεν ἔλθῃς,*
*ἦε θέω μετὰ σ' αὖτις, ἐπεί κ' ἐὺ τοῖσ' ἐπιτείλω;"*
*τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·*
*„αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν*
*ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.*
*φθέγγεο δ' ᾗ κεν ἴησθα, καὶ ἐγρηγόρθαι ἄνωχθι,*
*πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα Ϝέκαστον,*
*πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ,*
*ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ ποθ' ἧμιν*
*Ζεὺς ἐπὶ γιγνομένοισιν ἱεῖ κακότητα βαρεῖαν."*
*ὣς Ϝειπὼν ἀπέπεμπεν ἀδελφεὸν, εὖ Ϝ' ἐπιτείλας.*

51 sq. Aristoph. Ar. —

46 *'θῆχ'*] l. a. *εἶχ'* in quibusdam exemplaribus Commentariorum Aristarcheorum inventa || 48 *ἕν'* Barnes] *ἐν* Ar., *ἐπ'* codd.; Barnesii emendationem certam reddit paraphrasis apud Hesych. et Suid. *ἐν μιᾷ ἡμέρᾳ*, neque veri est dissimile ipsum Aristarchum non *ἐν* sed *ἕν'* legisse || 53] utrum *Αἴαντα* (cum codd.) legerit Ar. an *Αἴαντε* (sic Eust.) non constat. Cf. *M* 342 *O* 301 *P* 626 || 54 *παρὰ* Ar. D] *ἐπὶ* A C || 55] *Ϝ'. — *κ' ἐθέλῃσι*] *κε πίθηται* A D || 56 *ἐλθέμεν* Nauck] *ἐλθεῖν* || 57 *κείνῳ*] *κείνου* meliores || 58 *φυλάκεσσι*] *-*κοισι*? cf. nº 63 || 61 *τ' ἄρ* Duentzer Cobet] *γάρ*. Cf. *Σ* 182 || 63 **ἐπεί κ'*] *ἐπὴν* || 65 *ἀβροτάξομεν*] nº 149 || 67 *ἐγρηγόρθαι*] nº 161 || 70 **ποθ'* nº 322] *που*. — **ἧμιν*] *ἡμῖν* Eustath., *ἄμμι* A C D || 71 *γιγνομένοισιν* Vind.] *γ(ε)ινομένοισι*. — *ἱεῖ*] si *imperfectum* est, scribatur *γιγνομένοισ' ἵει* || 72] *Ϝ'

X αὐτὰρ ὁ ’βῆ ῥ’ ἴμεναι μετὰ Νέστορα, ποιμένα λαῶν,
τὸν δ’ ηὗρεν παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ 74 cf. Δ 329 Ν 267
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ’ ἔντεα ποικίλ’ ἔκειτο,
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
πὰρ δὲ ζωστὴρ ’κεῖτο παναίολος, ὅν ῥ’ ὁ γεραιὸς
’ζώννυθ’, ὅτ’ ἐς πόλεμον φθισήνορα θωρήσσοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.
ὀρθωθεὶς δ’ ἄρ’ ἐπ’ ἀγκῶνος κεφαλὴν ἐπαείρας
Ἀτρεΐδην προσέϝειπε καὶ ἐξερεείνετο μύθῳ·
„τίς δ’ οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος 82 cf. 141, 385 [363
νύκτα δι’ ὀρφναίην, ὅτε θ’ εὕδουσι βροτοὶ ἄλλοι; 83 = 386 cf. Ω
φθέγγεο, μηδ’ ἀκέων ἐπ’ ἔμ’ ἔρχεο· τίπτε δέ σε χρεώ;“ 83ᵃ = 276 ι 143
τὸν δ’ ἠμείβετ’ ἔπειτα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 87 = 555 Λ 511 Ξ 42 γ 79, 202
γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ’ ἀυτμὴ
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ’ ὀρώρῃ. 90 = Ι 610
πλάζομαι ὧδ’, ἐπεὶ οὔ μοι ἐπ’ ὄμμασι ϝήδυμος ὕπνος
ἱζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε’ Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδέδϝια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ’ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στήθεος ἐκθρῴσκει, τρομέει δ’ ὑπὸ φαίδιμα γυῖα.
ἀλλ’ εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ’ ὕπνος ἱκάνει,
δεῦρ’ ἐς τοὺς φύλακας καταβήομεν, ὄφρα ϝίδωμεν,
μὴ τοὶ μὲν καμάτῳ ϝεϝαδηκότες ἠδὲ καὶ ὕπνῳ

---

84 ἠέ τιν’ οὐρήων διζήμενος ἤ τιν’ ἑταίρων;
84 Ar. —

---

73 ἴμεναι nº 125] ἰέναι ‖ 77 ὃν schol. L] ᾧ, cf. Ε 857. — ῥ’ ὁ] ῥα? ‖ 79 ἐπέτρεπε Ar. C] ἐπέτραπε A D ‖ 84] in versu, quem merito damnavit, vocem οὐρεύς non *mulum* sed *custodem* (= οὖρον) significare contendit Ar., sive iure sive iniuria, non facile enim dixeris utrum minus sit ineptum. Cf. Lehrs Aristarch.² 151 ‖ 85 χρεώ] nº 8; *τίπτε σε χρηώ? ‖ 90 στήθεσσι] -σφι? cf. ad Μ 401 ‖ 91 ϝήδυμος nº 41] νήδυμος ‖ 93 περιδέδϝια] περιδείδια ‖ 95 στήθεος Christ] στηθέων. Singularem numerum sententiae vel aptiorem esse quam pluralem, propter synizesin (nº 8) suspectum, vere observavit IMenrad; cf. Γ 221 Δ 24 etc. et ad Μ 401 ‖ 96 δραίνεις] vox notabilis ‖ 97 τούς] articulus incommodus. — φύλακας] *-κους? cf. nº 63. — καταβήομεν A] -βείομεν C D, cf. nº 122 ‖ 98 ϝεϝαδηκότες] ἀδηκότες Ar. A, ἀδηκότες Zen. C D. Redit vocabulum vs. 312, 399, 471 μ 281 h. Ap. 460. — ἠδὲ καί] ἠδέι Zen., metro et sensu invitis

X κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται.
δυσμενέες δ' ἄνδρες σχεδὸν ἥαται, οὐδέ τι Ϝίδμεν
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι." 101* = Θ 510
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ· 102 sq. = Ι 162 sq.
„Ἀτρεΐδη κύδιστε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητιέτα Ζεὺς
ἐκτελέει, ὅσα που νῦν Ϝέλπεται· ἀλλά Ϝ' ὀίω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδεΐδην δουρὶ κλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειε,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα Ϝάνακτα·
τῶν γὰρ νῆες ἔασι Ϝεκαστάτω οὐδὲ μάλ' ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὕδει, σοὶ δ' οἴῳ ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρηὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός." 118 cf. Λ 610
τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάεσθαι ἄνωγα·
πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
οὔτ' ὄκνῳ Ϝείκων οὔτ' ἀφραδίηφι νόοιο,
ἀλλ' ἐμέ τ' εἰσοράων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
νῦν δ' ἐμέο πρότερος μάλ' ἐπήγρετο καί μοι ἐπέστη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾷς.
ἀλλ' ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων

---

99 κοιμήσωνται] -σονται deteriores; cf. nº 122. Vitium sonat caesura post 2um trochaeum; neque tamen κοιμήσωντ' αὐτὰρ praestat, vid. nº 18 et ad Δ 542 ‖ 100 ἥαται nº 220] εἴαται ‖ 101 μενοινήσωσι] nº 122 ‖ 102 γερήνιος] cf. Β 336 ‖ 105 ἐκτελέει] -σει D. — Ϝέλπεται] ἐέλπεται meliores; ecquid *νῦν ποθ' ἐϜέλπεται? — *Ϝ' ὀίω] μιν οἴω ‖ 107 μεταστρέψῃ] nº 122 ‖ 113 Ϝεκαστάτω] vox notabilis, nº 89 ‖ 115 νεικέω Vind.] νεικέσω. — πέρ Ar. codd.] l. a. καί. — νεμεσήσεαι] l. a. -σεται ‖ 118 χρηὼ nº 190] χρειὼ ‖ 120 αἰτιάεσθαι nº 191] -άασθαι. — σε] Ϝε Nauck, vix recte; magis placet *ἄλλοτέ μέν σε ‖ 122 ἀφραδίηφι] -ῃσι codd. ‖ 123 εἰσοράων nº 191] -όων ‖ 124 μάλ'] l. a. μέγ' fortasse ab Aristarcho recepta; mala tamen lectio, cuiuscunque fuit. — *ἐπήγρετο] ἐπέγρετο ‖ 125 καλήμεναι] nº 195

X ἐν φυλάκεσσ᾽· ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι.”
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„οὕτως οὔ τίς ϝοι νεμεσήσεται οὐδ᾽ ἀπιθήσει
Ἀργείων, ὅτε κέν τιν᾽ ἐποτρύνῃ καὶ ἀνώγῃ.”
ὣς ϝειπὼν ἐνέδυνε περὶ στήθεσσι χιτῶνα, 131ᵇ sq. = 21 sq.
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἄρα χλαῖναν ᾽περονήσατο φοινικόεσσαν
διπλῆν, ἐκταδίην, ϝούλη δ᾽ ἐπενήνοθε λάχνη. 134ᵇ = Β 219
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ, 135 = Ξ 12 Ο 482 α 99 ο 551 υ 127
᾽βῆ δ᾽ ἴμεναι κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
πρῶτον ἔπειτ᾽ Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον, 137ᵇ = Β 169
ἐξ ὕπνοι᾽ ἀνέγειρε γερήνιος ἱππότα Νέστωρ
φθεγξάμενος· τὸν δ᾽ αἶψα περὶ φρένας ἤλθε ϝιωή,
ἐκ δ᾽ ἦλθε κλισίης καί σφε πρὸς μῦθον ἔϝειπε·
„τίφθ᾽ οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἶοι ἀλᾶσθε 141 cf. 82
νύκτα δι᾽ ἀμβροσίην; τί δὲ δὴ χρηὼ τόσον ἵκει;” 142ᵃ = 41
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς. 145 = Π 22
ἀλλ᾽ ἔπε᾽, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τε ϝέϝοικε.”
ὣς ᾽φάθ᾽, ὃ δὲ κλισίηνδε κιὼν πολύμητις Ὀδυσσεὺς
ποικίλον ἀμφ᾽ ὤμοισι σάκος ᾽θέτο, ᾽βῆ δὲ μετ᾽ αὐτούς.
᾽βὰν δ᾽ ἐπὶ Τυδεΐδην Διομήδεα· τὸν δ᾽ ἐκίχανον

---

147 *βουλὰς βουλεύειν, ἢ φευγέμεν᾽ ἠὲ μάχεσθαι.* 147 = 327

---

127 *φυλάκεσσ᾽*] *-*κοισ᾽*? cf. nº 63. — *ἵνα γάρ*] notabilis est relativo iuncta particula *γάρ*. Bentley *ἵνα τ᾽ ἄρ*, Barnes *φυλάκεσσιν, ἵνα*, GHermann et Naber *ἵνα περ*; nos suspicati fueramus *ἵν᾽ ἄφαρ* (cf. vs. 54); sed vulgata lectio videtur servari posse, cf. nº 101. — *σφιν*] *μιν* Zen., mirifico igitur errore pro *αὐτοῖς* id accipi posse ratus. — *ἠγερέθεσθαι* Ar.] *ἠγερέεσθαι* codd. ‖ 128 *γερήνιος*] cf. *Β* 336 ‖ 129 *οἱ* Ar. A D] *σοι* C, l. a. *τοι* ‖ 131 *ἐνέδυνε* Stuttg.] *ἔνδυνε*. — *στήθεσσι*] -*σφι*? cf. ad *Μ* 401 ‖ 133 *φοινικόεσσαν*] Nauck *σιγαλόεσσαν*; cf. l. a. *Θ* 116, 137 ‖ 134 *διπλῆν*] de forma contracta h. l. et *τ* 226 vid. nº 58; ecquid **δίπλακα*? cf. *Γ* 126 *Ψ* 243 alibi, et *τρίπλακα* *Σ* 480. — *ἐκταδίην*] vox aliunde non cognita; ad *ἐκτείνειν* referenda? ‖ 136 *ἴμεναι* nº 125] *ἰέναι* ‖ 138 *ὕπνοι᾽* nº 59] *ὕπνου*. — *γερήνιος*] cf. *Β* 336 ‖ 139 *ἦλθε ϝιωὴ* Bentley] *ἤλυθ᾽ ἰωὴ* ‖ 140 **σφε*] *σφεας*. Quia binos alloquitur Ulixes, *σφε* scripsimus pro vitioso *σφεας*; quamquam etiam *σφας* potuit adhibere poeta ‖ 141 *κατὰ* C D] *ἐπὶ* A (male) ‖ 142 *ἀμβροσίην*] l. a. *ὀρφναίην* ut saepius in hoc libro (vs. 83, 276, 386). — **τί δὲ*] *ὅ τι*. — *χρηὼ* nº 190] *χρειὼ* ‖ 143 *γερήνιος*] cf. *Β* 336 ‖ 146 *ἔπε᾽* Ar.] *ἔπευ* codd. Admodum notabilis est forma elisa, h. l. Aristarchi auctoritate munita; cf. nº 117. — *τε ϝέϝοικε* Heyne] *τ᾽ ἐπέοικε* ‖ 147] ex vs. 327 huc male invectum esse vidit vHerwerden

X ἐκτὸς ἀπὸ κλισίης σὺν τεύχεσιν· ἀμφὶ δ' ἑταῖροι
ηὗδον, ὑπὸ κρασὶν δ' ἔχον ἀσπίδας· ἔγχεα δέ σφι
ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς
'λάμφ' ὥς τ' ἀστεροπὴ πατρὸς Διός. αὐτὰρ ὅ γ' ἥρως 154a = Λ 66
ηὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο,
αὐτὰρ ὑπὸ κράτεσφι τάπης 'τετάνυστο φαεινός.
τὸν παρστὰς ἀνέγειρε γερήνιος ἱππότα Νέστωρ,
λὰξ ποδὶ κινήσας, ὤτρυνέ τε 'νείκεσέ τ' ἄντην·
„ὄρσεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;
οὐκ ἀίεις ὡς Τρῶες ἐπὶ θρῳσμῷ πεδίοιο
ἥαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;"
ὣς 'φάθ', ὃ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσε,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„σχέτλιός ἐσσι, γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις.
οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν,
οἵ κεν ἔπειτα Ϝέκαστον ἐγείρειαν βασιλήων
πάντῃ ἐποιχόμενοι; σὺ δ' ἀμήχανός ἐσσι, γεραιέ."
τὸν δ' αὖτε προσέϜειπε γερήνιος ἱππότα Νέστωρ·
„ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔϜειπες. 169 cf. Λ 286
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειε·
ἀλλὰ μάλα μεγάλη χρηὼ βεβίηκεν Ἀχαιούς·
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖσ' ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν, Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον — σὺ γάρ ἐσσι νεώτερος — εἴ μ' ἐλεαίρεις."
ὣς 'φάθ', ὃ δ' ἀμφ' ὤμοισιν ἐϜέσσατο δέρμα λέοντος 177b sq. = 23 sq.
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
'βῆ δ' ἴμεναι, τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἥρως.

---

153 *σαυρωτῆρος*] *-ρας* Aristoph. ‖ 154 *τ' ἀστεροπὴ* D] *τε στεροπή*. Cf. Λ 184 ‖ 157 *γερήνιος*] cf. Β 336 ‖ 159 *ὄρσεο* A D] *ἔγρεο* C, utrumque Ar., neque facile dixeris utrum praestet. — Fuisse qui adderent versum *μή τίς τοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ*, ex Eustath. ad Ε 40 (519, 32) et Diog. Laert. VI § 53 efficias; qui tamen versiculus Cynico potius philosopho deberi videtur, ioci causa verba poetae, quae leguntur Θ 95 Χ 283, suum in usum detorquenti ‖ 161 *ἥαται* n° 220] *εἴαται*. — *δ' ἔτι χῶρος ἐρύκει*] l. a. *δ' ἀπὸ χῶρος ἐέργει*. — *δ' ἔτι* A] *δέ τι* CD, *δέ τε* Ar. ‖ 162 *κραιπνῶς*] *σφοδρῶς* C, cf. μ 124 ‖ 168 *αὖτε προσέϜειπε*] l. a. *ἠμείβετ' ἔπειτα*. — *γερήνιος*] cf. Β 336 ‖ 169 *φίλος*] l. a. *τέκος* ‖ 171 *ἐποιχόμενος*] *ὑποσχόμενος* Ambr. ‖ 172 *χρηὼ* n° 190] *χρειώ* ‖ 179 *ἴμεναι* n° 125] *ἰέναι*

X οἱ δ' ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
οὐδὲ μὲν εὕδοντας φυλάκων ἡγήτορας ηὗρον,
ἀλλ' ἐγρηγορτὶ σὺν τεύχεσιν ἥατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωσιν ἐν αὐλῇ
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην
ἔρχηται δι' ὄρεσφι· πολὺς δ' ὀρυμαγδὸς ἐπ' αὐτῷ
ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλε·
ὣς τῶν Ϝήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει
νύκτα φυλασσομένοισι κακήν· πεδίονδε γὰρ αἰεὶ
'τετράφατ', εἴ ποτ' ἐπὶ Τρώων αἴοιεν ἰόντων.
τοὺς δ' ὁ γέρων 'γήθησε Ϝιδὼν 'θάρσυνέ τε μύθῳ
[καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα]·
„οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος
αἱρεέτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσι."
ὣς Ϝειπὼν τάφροιο διέσσυτο· τοὶ δ' ἅμ' ἕποντο
Ἀργείων βασιλῆες, ὅσοι 'κεκλήατο βουλήν.
τοῖς δ' ἅμα Μηριόνης καὶ Νέστορος ἀγλαὸς υἱὸς
ἤισαν· αὐτοὶ γὰρ 'κάλεον συμμητιάεσθαι.
τάφρον δ' ἐκδιαβάντες ὀρυκτὴν ἡδριάοντο
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος 199 = Θ 491
πεπτεότων· ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ
ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψε.
ἔνθα καθεζόμενοι Ϝέπε' ἀλλήλοισ' ἐπίφαυσκον.
τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ·
„ὦ φίλοι, οὔ κεν δή τις ἀνὴρ πεπίθοιθ' ἑϜῷ αὐτοῦ
θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους
ἐλθέμεν; εἴ τινά που δηίων ἕλοι ἐσχατάοντα,

---

180 φυλάκεσσιν] *-κοισιν? nº 63. — Bentley, ἐν male abundare ratus (cf. *E* 134 infra vs. 365 alibi) φυλάκεσσι συναγρομένοισι coniecit (vid. *Λ* 687). — ἔμιχθεν A D] γένοντο C ‖ 182 ἐγρηγορτὶ forma notabilis; cf. nº 161. — ἥατο nº 220] εἵατο ‖ 183 δυσωρήσωσιν Apoll. lex.] δυσωρήσονται codd. Verbum non nisi h. l. obvium; de -σωσιν (-σονται) cf. nº 122 ‖ 187 τῶν] genitivus suspectus; cf. ad *I* 635. — Ϝήδυμος nº 41] νήδυμος Ar. codd. ‖ 189 εἴ ποτ' Naber] ὁππότ'. Cf. *B* 794 ‖ 190 δ' ὁ] δὲ? ‖ 191 *σφας] σφεας. — Versum om. A D[1] ‖ 193 αἱρεέτω nº 191] αἱρείτω ‖ 196 τοῖς] nº 60; *τοῖσ' ἅμα? ‖ 197 συμμητιάεσθαι nº 191] -άασθαι ‖ 198 *ἡδριάοντο nº 191] ἑδριόωντο ‖ 200 πεπτεότων Christ] πιπτόντων codd.; cf. *Φ* 503 *χ* 384. Etiam Naber perfectum requiri monuit, conferri iubens schol. *Ξ* 5 ‖ 202 *ἀλλήλοισ' ἐπίφαυσκον] -οισι πίφ. ‖ 203 μύθων ἦρχε] l. a. καὶ μετέειπε. — γερήνιος] cf. *B* 336 ‖ 204 *οὔ κεν] οὐκ ἄν ‖ 206 ἐλθέμεν Nauck] ἐλθεῖν. — δηίων] nº 17. — ἐσχατάοντα nº 191] -όωντα

X ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
ἅσσα τε μητιάουσι μετὰ σφίσιν, ἢ μεμάασι 208-210 = 409 sqq.
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ 'δαμάσαντό γ' Ἀχαιοὺς, —
ταῦτ' εἰ πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθὴς, μέγα κέν Ϝοι ὑπουράνιον κλέος εἴη
πάντας ἐπ' ἀνθρώπους, καί Ϝοι δόσις ἔσσεται ἐσθλή."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 218 = Γ 95
τοῖσι δὲ καὶ μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης·
„Νέστορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ 220ᵇ = 319 cf. σ 61
ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων,
Τρώων· ἀλλ' εἴ τίς μοι ἀνὴρ ἅμ' ἕποιτο καὶ ἄλλος,
μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται.
σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῖ' ἐνόησε,
ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴ πέρ τε νοήσῃ,
ἀλλά τέ Ϝοι βράσσων τε νόος λεπτὴ δέ τε μῆτις." 226 cf. Ψ 590
ὣς ἔφαθ', οἳ δ' ἔθελον Διομήδεϊ πολλοὶ ἕπεσθαι·
ἠθελέτην Αἴαντε δύω, θεράποντες Ἄρηος,
ἤθελε Μηριόνης, μάλα δ' ἤθελε Νέστορος υἱὸς,
ἤθελε δ' Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος,
ἤθελε δὲ τλήμων Ὀδυσεὺς καταδύμεν' ὅμιλον
Τρώων· αἰεὶ γάρ Ϝοι ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα.
τοῖσι δὲ καὶ μετέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ, 234 = Ε 243

---

214 ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι, 214 cf. α 245
τῶν πάντων Ϝοι ἕκαστος ὄϊν δώσουσι μέλαιναν,
θῆλυν ὑπόρρηνον· τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρέσται.

---

208 μητιάουσι nº 191] -όωσι ‖ 211 *ταῦτ' εἰ] ταῦτά τε Ambr. A, ταῦτά κε CD ‖ 215 ἕκαστος ... δώσουσι] pro Ϝέκαστος ... δώσει facile ferimus; nam vs. 214—217 alienae manui deberi iure contenderunt Geppert Hoffmann Bergk, et dubitanter Heyne. — Cur nigram eamque fetam ovem singuli ei sint oblaturi, olim quaerebatur; ridiculam λύσιν refert schol. ‖ 221 δῦναι] nº 125 ‖ 224 ἐρχομένω Ar. codd.] l. a. -νων. — πρὸ ὃ] hiatus vix ferendus, neque ipsum poetam sic balbutivisse credibile videtur. — τοῖ' nº 59] τοῦ ‖ 225 τε Ar. meliores] τι Vind. — νοήσῃ] -σει C, cf. nº 122 ‖ 226 βράσσων] forma notabilis, quam recte glossographi interpretabantur ἐλάσσων, cf. nº 86; Aristarchus vero miro errore id verum esse negabat et pro participio accipiebat, ut βράσσων esset = βρασσόμενος = ταρασσόμενος! ‖ 231 δὲ] δ' ὁ codd. — καταδύμεν' nº 125] -δῦναι ‖ 232 θυμὸς ἐτόλμα] *'τόλμαε θυμός?

τὸν μὲν δὴ ἕταρόν γ' αἱρήσεαι, ὅν κ' ἐθέλησθα,
φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.
μηδὲ σύ γ' αἰδόμενος σῇσι φρεσὶ τὸν μὲν ἀρείω
καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι αἰδόι Ϝείκων,
ἐς γενεὴν ὁράων, μηδ' εἰ βασιλεύτερός ἐστι."
ὣς ἔφατ', ἔδϜεισεν δὲ περὶ ξανθῷ Μενελάῳ.
τοῖσ' αὖτις μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης·
„εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέσθαι,
πῶς κεν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην, 243 = α 65
οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ
ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ Ϝε Παλλὰς Ἀθήνη. 245ᵃ = 279 ν 301 cf. υ 48
τοῦ γέ κεν ἑσπομένοιο καὶ ἐκ πυρὸς αἰθομένοιο
ἄμφω νοστήσαιμεν, ἐπεὶ περίϜοιδε νοῆσαι."
τὸν δ' αὖτε προσέϜειπε πολύτλας δῖος Ὀδυσσεύς·
„Τυδεΐδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει·
Ϝειδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοισ' ἀγορεύεις.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς,
ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκεν δὲ πλέων νύξ."
ὣς Ϝειπόνθ' ὅπλοισιν ἔνι δϜεινοῖσιν ἐδύτην. 254ᵇ = 272
Τυδεΐδῃ μὲν ἔδωκε μενεπτόλεμος Θρασυμήδης
φάσγανον ἄμφηκες — τὸ δ' ἑϜὸν παρὰ νή' ἐλέλειπτο —
καὶ σάκος· ἀμφὶ δέ Ϝοι κυνέην κεφαλῆφιν ἔθηκε 257ᵇ = 261
ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.
Μηριόνης δ' Ὀδυσῆ' ἐδίδου βιὸν ἠδὲ φαρέτρην

---

253 τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.

240 Zen. om., Ar. — || 253 Zen. om., Aristoph. Ar. —

---

236 φαινομένων τὸν] φαινόμενόν τοι Paech probabiliter || 237 ἀρείω] nº 85 || 238 αἰδόι nº 77] αἰδοῖ codd.; dactylus requiritur, cf. nº 2. — ὀπάσσεαι] cf. T 238 || 239 ὁράων nº 191] ὁρόων || 241 *τοῖσ'] τοῖς δ'. Nauck τοῖσι δ' ἄφαρ, cf. B 453; Christ τοῖσιν δ' αὖ, cf. H 170 || 243 *κεν] ἂν || 245 φιλεῖ] pro φιλέει suspectum, cf. nº 191 || 246 *τοῦ γέ κεν] τούτου γ'. Abesse non potest κεν, corruptelae autem causa extitit obsoleta participii forma ἑσπόμενος (nº 247), pro qua multi (non Ar.) poscebant σπόμενος. Cf. vs. 285 || 252 παρῴχηκεν A C D, cf. nº 157] παροίχωκεν grammatici quidam, παρῴχωκεν Ar. (sed librarii hoc esse vitium, et Aristarchum quoque παροίχωκεν dedisse, probabilis est Ludwichii suspicio). — πλέων D] πλέω A C, quae Zenodoti videtur fuisse lectio; cf. A 249 Γ 71 alibi. Vid. Aristot. Poet. 26. — Fortasse hic versus simul cum sequenti damnandus || 253 τῶν] pro τάων novicium, cf. nº 56, et ipse articulus molestus. — τριτάτη] l. a. -της || 255 ἔδωκε Eustath. Vind.] δῶκε || 256 *νή' ἐλέλειπτο] νηὶ λέλ. || 260 *Ὀδυσῆ' ἐδίδου] -σῆι δίδου

X καὶ ξίφος· ἀμφὶ δέ Ϝοι κυνέην̆ κεφαλῆφιν ἔθηκε, 261ᵇ = 257
ῥινοῦ ποιητήν· πολέσιν δ' ἔντοσθεν ἱμᾶσι
ἐντέτατο στερεῶς· ἔκτοσθε δὲ λευκοὶ ὀδόντες
ἀργιόδοντος ὑὸς θαμέες ἔχον ἔνθα καὶ ἔνθα
εὖ καὶ ἐπισταμένως· μέσσῃ δ' ἔνι πῖλος ἀρήρει.
τήν ῥά ποτ' ἐξ Ἐλεῶνος Ἀμύντορος Ὀρμενίδαο
ἐξέλετ' Αὐτόλυκος, πυκινὸν δόμον ἀντιτορήσας,
Σκάνδειαν δ' ἄῤ ἔδωκε Κυθηρίῳ Ἀμφιδάμαντι,
Ἀμφιδάμας δὲ Μόλῳ 'δῶκε ξεινήιον εἶναι, 269ᵇ = Λ 20
αὐτὰρ ὃ Μηριόνῃ 'δῶκεν Ϝῷ παιδὶ φορῆναι·
δὴ τότ' Ὀδυσσῆος 'πύκασεν κάρη ἀμφιτεθεῖσα.
τὼ δ' ἐπεὶ οὖν ὅπλοισιν ἔνι δϜεινοῖσιν ἐδύτην, 272ᵇ = 254
'βάν ῥ' ἴμεναι,' λιπέτην δὲ κάτ' αὐτόθι πάντας ἀρίστους.
τοῖσι δὲ δεξιὸν ἧκεν ἐρῳδιὸν ἐγγὺς ὁδοῖο
Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐ 'Ϝίδον ὀφθαλμοῖσι
νύκτα δἰ ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουσαν. 276ᵃ = 83
'χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυσεὺς, ἠρᾶτο δ' Ἀθήνῃ·
„κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ 278ᵃ = Ε 115; 278 sq. cf. ν 300 sq.
ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω
κινύμενος· νῦν αὖτε μάλιστά με φῖλαι, Ἀθήνη, 279ᵃ = 245
δός δὲ πάλιν ἐπὶ νῆας ἐυκλεέ' ἧμ' ἀφικέσθαι,
ῥέξαντας μέγα Ϝέργον, ὅ κε Τρώεσσι μελήσῃ."
δεύτερος αὖτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
„κέκλυθι νῦν καὶ ἐμεῖο, Διὸς τέκος, ἀτρυτώνη·
ἕσπεό μ', ὡς ὅτε πατρὶ ἅμ' ἕσπεο Τυδέι δίῳ
ἐς Θήβας, ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελος ἤιει.

---

264 ἔχον] θέον Nauck, τρέχον Naber || 268 ἄῤ ἔδωκε Bekker] ἄρα δῶκε. An *δέ Ϝ' ἔδωκε? || 270 φορῆναι] nº 195 || 273 ἴμεναι nº 125] ἰέναι || 275 Παλλὰς] πελλὸν (i. e. *fuscum*) Zopyrus. Multa de hoc loco argutati sunt grammatici || 278 μοι] deteriores μευ; cf. Ε 115 || 281 *ἐυκλεέ' ἧμ'] ἐυκλεῖας. Distrahendum esse -ει- in -εέ- verissime monuit Nauck, cf. nº 73; sed praeterea restituendum erat pronomen ἧμε (ἄμμε) quod in -ας (-ΑΜ) latebat; ultima autem eius litera videtur peperisse lectionem codicis A ἐφικέσθαι || 282 μελήσῃ] cf. nº 122 || 285 *ἕσπεο μ'] σπεῖο μοι. Vitiosam esse formam σπεῖο ante nos viderat Curtius (Verb. II 60), in recentiore tamen carmine eam fortasse ferri posse ratus nec nisi dubitanter ἕσπε' ἅμ' proponens. Sed cur huius potissimum rhapsodiae auctorem absurdas formas confinxisse statuamus, cum una litera ε addita restituere liceat omnium sanissimam? Cf. vs. 246 || 286 πρὸ] et sententiae parum apta est praepositio et propter hiatum suspecta. Barnes παρ', Bentley πρός. An *ὅτε τῇ περ? — ἤιει] ἦλθε D

X τοὺς δ' ἄρ' ἐπ' Ἀσωπῷ 'λίπε χαλκοχίτωνας Ἀχαιούς,
αὐτὰρ ὃ μειλίχιον μῦθον 'φέρε Καδμείοισι
κεῖσ'· ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα 'μήσατο ϝέργα
σὺν σοί, δῖα θεά, ὅτε ϝοι πρόφρασσα παρέστης. 290 cf. ν 391
ὣς νῦν μοι ἐθέλουσα παρίστασο καί με φύλασσε.
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἤνιδα, εὐρυμέτωπον, 292-294 = γ 382 sqq.
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας." 294b cf. γ 426
ὣς ἔφαν εὐχόμενοι, τῶν δ' ἔκλυε Παλλὰς Ἀθήνη. 295 cf. Ε 121
οἳ δ' ἐπεὶ ἠρήσαντο Διὸς κούρῃ μεγάλοιο, [130
'βάν ῥ' ἴμεν ὥς τε λέοντε δύω διὰ νύκτα μέλαιναν, 297 cf. Μ 299 ζ
ἂμ φόνον, ἂν νέκυας, διά τ' ἔντεα καὶ μέλαν αἷμα. 298b = 469 Ψ 806

οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴαεν Ἕκτωρ
εὑδέμεν', ἀλλ' ἄμυδις 'κικλήσκετο πάντας ἀρίστους,
ὅσσοι ἔσαν Τρώων ἡγήτορες ἠδὲ μέδοντες· 301b = Ξ 144
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν· 302 = Β 55
„τίς κέν μοι τόδε ϝέργον ὑποσχόμενος τελέσειε
δώρῳ ἔπι μεγάλῳ; μισθὸς δέ ϝοι ἄρκιος ἔσται. 304b cf. σ 358 Hes. Oper. 370
δώσω γὰρ δίφρον τε δύω τ' ἐριαύχενας ἵππους,
οἵ κεν ἄριστοι ἔωσι θοῇσ' ἐπὶ νηυσὶν Ἀχαιῶν,
ὅς τίς κε τλήῃ, ϝοί τ' αὐτῷ κῦδος ἄρηται,
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν' ἔκ τε πυθέσθαι, 308 = 320
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ, 308b-312 = 395 sqq.
ἦ ἤδη χείρεσσιν ὕφ' ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσι
νύκτα φυλασσέμεναι, καμάτῳ ϝεϝαδηκότες αἰνῷ."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 313 = Γ 95
ἦν δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱὸς
κήρυκος θείοιο, πολύχρυσος πολύχαλκος·
ὃς δή τοι ϝεῖδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης·

291 *παρίστασο* codd.] *παρίσταο* Zen. Ar. — *καί με φύλασσε*] *καὶ πόρε κῦδος* Zen. ‖ 292 *ἤνιδα* Sitzler] *ἦνιν*. Vitiosus est trochaeus, neque *ἦνιν* cum Tyrannione scribere licet. Vid. ad Z 94 et n° 66 ‖ 299 *εἴαεν* Nauck] *εἴασεν* C dett., prava quantitate; *εἴασ'* A D vitiose, cf. n° 2 ‖ 300 *εὑδέμεν* Nauck] *-ειν* ‖ 306] sic Ar., *ἀριστεύωσι* A C D, *αὐτοὺς οἳ φορέουσιν ἀμύμονα Πηλείωνα* Zen., *καλοὺς οἳ φ.* etc. Aristoph. (cf. vs. 323) ‖ 307 *τλήῃ ... ἄρηται* Nauck] *τλαίη* (*τλαίῃ* A) ... *ἄροιτο* ‖ 312 *ϝεϝαδηκότες*] *ἀδηκότες*, cf. vs. 98

X *αὐτὰρ ὃ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσι.*
*ὅς ῥα τότε Τρωσίν τε καὶ Ἕκτορι μῦθον ἔϝειπε·*
*„Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ* 319ᵇ = 220
*νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.* 320 = 308
*ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον*
*ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ*
*δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλεΐωνα.*
*σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης·*
*τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερὲς, ὄφρα χ' ἵκωμαι*
*νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι*
*βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι."* 327 = 147
*ὣς' φάθ', ὃ δ' ἐν χερσὶ σκῆπτρον' λάβε καί ϝοι ὄμοσσε·*
*„ϝίστω νῦν Ζεὺς αὐτὸς, ἐρίγδουπος πόσις Ἥρης,*
*μὴ μὲν τοῖσ' ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος*
*Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαΐσεσθαι."*
*ὣς 'φάτο καί ῥ' ἐπίορκον ἐπώμοσε, τὸν δ' ὀρόθυνε.*
*αὐτίκα δ' ἀμφ' ὤμοισιν ἐβάλλετο καμπύλα τόξα,*
*'ϝέσσατο δ' ἔκτοσθε ῥινὸν πολιοῖο λύκοιο,*
*κρατὶ δ' ἔπι κτιδέην κυνέην, ἕλε δ' ὀξὺν ἄκοντα,*
*'βῆ δ' ἴμεναι προτὶ νῆας ἀπὸ στρατοῦ· οὐδ' ἄρ' ἔμελλε*
*ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποίσειν.*
*ἀλλ' ὅτε δή ῥ' ἵππων τε καὶ ἀνδρῶν κάλλιφ' ὅμιλον,*
*'βῆ ῥ' ἀν' ὁδὸν μεμαώς· τὸν δ' ἐφράσατο προσιόντα*
*διογενὴς 'Οδυσεὺς, Διομήδεα δὲ προσέϝειπε·*
*„οὗτός τις, Διόμηδες, ἀπὸ στρατοῦ ἔρχεται ἀνὴρ,*
*οὐ ϝοῖδ' ἢ νήεσσιν ἔπι σκοπὸς ἡμετέρῃσι*
*ἤ τινα συλήσων νεκύων κατατεθνηώτων.* 343 = 387
*ἀλλά ϝ' ἐῶμεν πρῶτα παρεξελθεῖν πεδίοιο*
*τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλωμεν*

---

317 *κασιγνήτῃσι* Ar. codd.] *-τοισι* Zen. absurde ‖ 321 *ἀνάσχεο*] sic Ar.; alii igitur *ἀνάσχευ?* an *ἀνίσχεο?* ‖ 323 *ἀμύμονα*] l. a. *ποδώκεα* ‖ 325 **ὄφρα χ'*] *ὄφρ' ἂν* ‖ 328 *ϝοι ὄμοσσε*] **ϝ' ὤμοσσε?* ‖ 330 *μὴ*] cf. *Ο* 41 *Τ* 261 ‖ 331 *ἀγλαΐσεσθαι* nº 147 et 210] *-ιεῖσθαι* ‖ 332 *ἐπώμοσε* Ar. A] *ἀπώμοσε* ‖ 335 *ἔπι κτιδέην*] deteriores *ἐπ' ἰκτιδέην*: male, cf. vs. 458 ‖ 336 *ἴμεναι* nº 125] *ἰέναι*. — *προτὶ* A] *ποτὶ* CD ‖ 341 *τις* Ar.] *τοι* ‖ 342 *ἔπι σκοπὸς*] *ἐπίσκοπος* codd., sed cf. vs. 38 ‖ 343 *κατατεθνηώτων* Ar.] *-ειώτων* meliores ‖ 344 *ἀλλά ϝ' ἐῶμεν* Christ] *ἀλλ' ἐῶμέν μιν*. Vulgata tres syllabas vitiose in unam praebet contractas, cf. nº 8. Payne-Knight *ἀλλ' ἐάωμεν*, sed servandum potius videtur pronomen ‖ 345 *κ' αὐτὸν*] **κέν μιν?* — *ἕλωμεν* A²] *ἕλοιμεν*; cf. ad *Α* 205

X καρπαλίμως· εἰ δ' ἧμε παραφθήῃσι πόδεσσι,
αἰεί μιν ἐπὶ νῆας ἀπὸ στρατόφι προτιϝέλλειν
ἔγχε' ἐπαΐσσων, μή πως προτὶ ϝάστυ ἀλύξῃ."
ὣς ἄρα φωνήσαντε παρ' ἐξ ὁδοῦ ἐν νεκύεσσι
'κλινθήτην· ὃ δ' ἄρ' ὦκα παρέδραμεν ἀφραδίηφι.
ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅσσον τ' ἐπὶ οὖρα πέλονται
ἡμιόνων — αἳ γάρ τε βοῶν προφερέστεραί εἰσι
ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον —
τὼ μὲν ἐπεδραμέτην, ὃ δ' ἄρ' ἔστη δοῦπον ἀκούσας·
'ϝέλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους
ἐκ Τρώων ἴμεναι, πάλιν Ἕκτορος ὀτρύναντος.
ἀλλ' ὅτε δή ῥ' ἄπεσαν δουρηνεκὲς ἢ καὶ ἔλασσον,
'γνῶ ῥ' ἄνδρας δηίους, λαιψηρὰ δὲ γούνατ' ἐνώμα 358ᵇ = X 144 cf. O 269
φευγέμεναι· τοὶ δ' αἶψα διωκέμεν' ὡρμήθησαν.
ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, ϝειδότε θήρης,
ἢ κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεὶ
χῶρον ἀν' ὑλήεντα, ὅ τε προθέῃσι μεμηκώς, 362ᵃ = ξ 2
ὣς τὸν Τυδεΐδης ἠδὲ πτολίπορθος Ὀδυσσεὺς
λαοῦ ἀποτμήξαντ' ἐδιώκετον ἐμμενὲς αἰεί.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήσεσθαι φυλάκεσσι

---

346 *ἧμε] ἄμμε. — παραφθήῃσι Thiersch] παραφθαίῃσι Ar. codd. (Vind. -φθάνῃσι); quae si sana esset vox, a verbo παραφθαίειν aliunde ignoto esset derivanda cum ISchmidt et Curtio; nam *optativum* esse παραφθαίησι pro -αίη, quod putabat Bekker, non est credibile. Thierschio assensi sunt LaRoche Naber. Etiam Alexandriae de vera huius vocabuli forma dubitabatur; commode autem Heyne laudat *Π* 861; vid. etiam infra vs. 368 ‖ 347 ἐπὶ Ar.] ποτὶ A, προτὶ C D. De μιν producto cf. *E* 385. — προτιϝέλλειν nº 265] προτιειλεῖν ‖ 348 *ἔγχε' nº 71] ἔγχει. — ϝάστυ ἀλύξῃ] hiatus notabilis; de -ῃ cf. nº 122 ‖ 349 ὣς ἄρα φωνήσαντε Ar. codd.] ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης | ἐλθόντες δ' ἑκάτερθε Aristoph. (aliaeque veteres edd.). Quae lectio per se non est vituperanda; nam quod in ἑκάτερθε deest ϝ, id in recentiore hoc carmine vix licet pro vitii indicio habere. Neque tamen male habere in vulgata φωνήσαντε, licet alter tantummodo locutus sit, monebat Aristarchus collato *Φ* 298 ‖ 350 ἀφραδίηφι] -ῃσι codd. ‖ 354 ἐπεδραμέτην Ar. C] ἐπιδραμέτην A D ‖ 356 ἴμεναι nº 125] ἰέναι ‖ 358 δηίους] nº 17 ‖ 359 αἶψα] l. a. ὦκα. — διωκέμεν Bekker] -κειν. — ὡρμήθησαν C D] ὁρμήθησαν Ar. A ‖ 362 ὑλήεντα, ὅ τε Paech] ὑλήεντα, ὃ δὲ Ar., ὑλήενθ', ὃ δέ τε codd. — Vitiosum erat δέ, sic enim ἐπείγετον vs. 361 pro subiunctivo habendum esset, invita grammatica (cf. nº 122); nunc vero conferre licet *N* 63 ρ 519. Vid. Curt. Verb.[1] II 73 ‖ 363 ἠδὲ Vind.] ἠδ' ὁ. Cf. *B* 278. Poeta autem dedisse τε ἰδὲ probabiliter suspicatur Rzach, cf. vs. 536 ‖ 364 ἐδιώκετον] pro -την vitiosum, cf. nº 115. Praesentis formam esse statuit Ar. coll. η 104. Veri est similius corruptum esse versum: *ἐδίωκον νωλεμὲς? cf. ad *M* 26 ‖ 365 μιγήσεσθαι] nº 104; ecquid *φυλάκεσσι (-οισι) τάχα μίξεσθαι ἔμελλε? — φυλάκεσσι] *-κοισι? nº 63

X φεύγων ἐς νῆας, τότε δὴ μένος ἔμβαλ' Ἀθήνη
Τυδεΐδῃ, ἵνα μή τις Ἀχαιῶν χαλκοχιτώνων
φθαίη ἐπευξάμενος βαλέμεν, ὃ δὲ δεύτερος ἔλθοι.
δουρὶ δ' ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης· 369 = Δ 361
„ἠὲ μέν' ἠέ σε δουρὶ κιχήσομαι, οὐδέ σέ φημι
δϝηρὸν ἐμῆς ἀπὸ χειρὸς ἀλυξέμεν' αἰπὺν ὄλεθρον."
ἦ ῥα, καὶ ἔγχος ἀφῆκε, ϝεκὼν δ' ἡμάρτανε φωτός.
δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐυξόου δουρὸς ἀκωκὴ
ἐν γαίῃ ἐπάγη· ὃ δ' ἄρ' ἔστη 'τάρβησέν τε
βαμβαίνων, ἄραβος δὲ διὰ στόμα 'γίγνετ' ὀδόντων,
χλωρὸς ὑπὸ δϝέεος. τὼ δ' ἀσθμαίνοντ' ἐκιχήτην,
χειρῶν δ' ἡψάσθην· ὃ δὲ δακρύσας ϝέπος ηὔδα·
„ζωγρέετ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος, 379 = Z 48
τῶν χ' ὔμιν χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα, 380 cf. Z 49
εἴ περ ἐμὲ ζῳὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν." 381 = Z 50
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„θάρσεε, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω. 383 cf. P 201
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· 384 = 405 Ω 380, 656 α 169 etc.
πῇ δ' οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἶος 385 cf. 82
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι; 386 = 83
ἦ σ' Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα
νῆας ἔπι γλαφυράς; ἦ σ' αὐτὸν θυμὸς ἀνῆκε;"
τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, ὑπὸ δ' ἔτρεμε γυῖα·
„πολλῇσίν μ' ἀάτῃσι παρ' ἐκ νόον ἤγαγεν Ἕκτωρ,

---

387 ἤ τινα συλήσων νεκύων κατατεθνηώτων; 387 = 343

387 Aristoph. Ar. —

---

368 φθαίη] φθαίῃ (cf. vs. 346) A D. — ἔλθοι] ἔλθῃ A C. — βαλέμεν n° 126] -έειν || 371 ἀλυξέμεν Bekker] -ξειν || 372] ἦ ῥα, καὶ ἔγχος ἀφῆκε] l. a. καὶ βάλεν οὐδ' ἀφάμαρτεν, quam inventam esse a quibusdam qui „ζήτημα ποιεῖν cuperent" (cf. Lehrs Ar.² 208) statuebat Ar. || 373 ἐυξόου C D] ἐύξου A. In Attico poeta -ξου ferri posset; cf. Aristoph. Pac. 447, 549, 1213, 1260 δορυξός pro -ξόος; vix tamen Homerica est eiusmodi sive contractio sive synizesis (n° 8): correctione igitur indiget versus || 376 ὑπὸ δϝέεος n° 71] ὑπαὶ δείους || 377 *ἡψάσθην] ἁψάσθην || 378 ζωγρέετ' n° 191] -εῖτ'. — λύσομαι] suspectum censet Naber, ἔπειτ' ἐμὲ λύσατον proponens || 380 *χ' ὔμιν] κ' ὔμμιν, χ' ὔμμιν, χ' ὑμῖν || 381 *περ] κεν; cf. Z 50 || 383 θάρσεε n° 191] θάρσει || 385 πῇ] l. a. ποῖ, ποῦ || 387 κατατεθνηώτων Ar. A C] -ειώτων D || 388 ἕκαστα] neglecto ϝ. Si quid mutandum, ἅπαντα (Heyne) magis placet quam quod Christ metro invito proposuit ϝέκαστα διασκοπιᾶσθαι || 391 ἀάτῃσι Nauck] ἄτῃσι. — ἤγαγεν] ἤπαφεν Aristoph.

X ὅς μοι Πηλεΐωνος ἀγαυοῦ μώνυχας ἵππους
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῷ·
ἤνωγεν δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν — 394ᵇ = 468
ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι, — 395ᵇ-399 = 308 sqq.
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσι
νύκτα φυλασσέμεναι καμάτῳ ϝεϝαδηκότες αἰνῷ."
τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς· — 400 = χ 371
„ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός,
ἵππων Αἰακίδαο δαΐφρονος· οἳ δ' ἀλεγεινοὶ — 402 cf. P 76
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι, — 403 sq. = P 77 sq.
ἄλλῳ γ' ἢ Ἀχιλῆι, τὸν ἀθανάτη 'τέκε μήτηρ.
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον· — 405 = 384
ποῦ νῦν δεῦρο κιὼν 'λίπες Ἕκτορα, ποιμένα λαῶν;
ποῦ δέ ϝοι ἔντεα κεῖται ἀρήια, ποῦ δέ ϝοι ἵπποι;
πῶς δ' αὖ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;"
τὸν δ' αὖτε προσέϝειπε Δόλων, Εὐμήδεος υἱός·
„τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω. — 413 cf. 427 α 179 ξ 192 ω 303
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσί,
βουλὰς βουλεύει θείου παρὰ σήματι Ϝίλου,
νόσφιν ἀπὸ φλοίσβου· φυλακὰς δ' ἃς εἴρεαι, ἥρως, — 416ᵃ = E 322
οὔ τις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
οἳ δ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
ἀλλήλοισ'. ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτροπάουσι φυλάσσειν·

409 ὅσσα τε μητιάουσι μετὰ σφίσιν, ἢ μεμάασι — 409-411 = 208 sqq
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ 'δαμάσαντό γ' Ἀχαιούς.

397—399 Aristoph. —, Ar. in priore editione signum dubitationis (●) apposuit, in altera — ‖ 409—411 Ar. —

394 *ἤνωγεν nº 225] ἠνώγει ‖ 397—399] de his versibus perquam notabile est scholion Didymi ‖ 397 ἦ] εἰ Ar. ‖ 398 βουλεύουσι ... ἐθέλουσι Ar.] -οιτε meliores ‖ 399 ϝεϝαδηκότες] ἀδηκότες A, ἀδηκότες C D, cf. vs. 98 ‖ 408 δ' αὖ Duentzer] δαὶ Ar. A, cf. α 225 ω 299; δ' αἱ C, δὲ D ‖ 409 μητιάουσι nº 191] -όωσι ‖ 413 καταλέξω Ar. A C] ἀγορεύσω D ‖ 418 μὲν A¹ C] γὰρ A² D ‖ 419 ἐγρηγόρθασι] cf. nº 161 ‖ 421 ἐπιτροπάουσι nº 191] -όωσι Nauck, -τραπέουσι codd.; cf. nº 251

X οὐ γάρ σφιν παῖδες σχεδὸν ἥαται οὐδὲ γυναῖκες.”
τὸν δ’ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„πῶς τ’ ἂρ νῦν, Τρώεσσι μεμιγμένοι ἱπποδάμοισι
εὕδουσ’ ἦ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαήω.”
τὸν δ’ ἠμείβετ’ ἔπειτα Δόλων, Εὐμήδεος υἱός·
„τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ’ ἀτρεκέως καταλέξω. 427 cf. 413
πρὸς μὲν ἁλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί. 429ᵇ = τ 177
πρὸς Θύμβρης δ’ ἔλαχον Λύκιοι Μυσοί τ’ ἀγέρωχοι
καὶ Φρύγες ἱππόμαχοι καὶ Μῄονες ἱπποκορυσταί.
ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε Ϝέκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδύμεν’ ὅμιλον,
Θρήικες οἵδ’ ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·
ἐν δέ σφι Ῥῆσος βασιλεύς, πάις Ἠιονῆος.
τοῦ δὴ καλλίστους ἵππους Ϝίδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ’ ἀνέμοισιν ὁμοῖοι.
ἅρμα δέ Ϝοι χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται·
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα Ϝιδέσθαι,
ἤλυθ’ ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσι ϜέϜοικε
ἄνδρεσσιν φορέειν, ἀλλ’ ἀθανάτοισι θεοῖσι.
ἀλλ’ ἐμὲ μὲν νῦν νηυσὶ πελάσσατον ὠκυπόροισι,
ἠέ με δήσαντες λίπετ’ αὐτόθι νηλέι δεσμῷ,
ὄφρα κεν ἔλθητον, καὶ πειρήθητον ἐμεῖο,
ἠὲ κατ’ αἶσαν ἔϜειπον ἐν ὕμισιν ἠὲ καὶ οὐκί.”
τὸν δ’ ἄρ’ ὑπόδρα Ϝιδὼν προσέφη κρατερὸς Διομήδης·
„μὴ δή μοι φύξιν γε, Δόλων, ἐμβάλλεο θυμῷ,
ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἡμάς.

---

422 ἥαται nº 220] εἵαται ‖ 424 τ ἂρ Cobet] γάρ, cf. vs. 61. — νῦν] δή A[1] ‖ 425 δίειπε] neglecto Ϝ. Ecquid *τὸ Ϝεῖπε? nam aliena hinc videtur praepositio, quae nonnisi h. l. et δ 215 praefigitur, ibi autem recte. — δαήω nº 122] δαείω ‖ 427 καί Ar. CD] τοι A. — καταλέξω] ἀγορεύσω D, cf. vs. 413 ‖ 431 ἱππόμαχοι Ar.] -δαμοι meliores ‖ 433 καταδύμεν’ nº 125] -δῦναι ‖ 442 πελάσσατον Mosc.] -σσετον, quae ad aoristum mixtum (nº 152) referenda esset forma ‖ 444 *πειρήθητον] -θῆτον codd., quae subiunctivi foret forma non ferenda, cf. nº 122. Simile vitium correximus Γ 102 ‖ 445 ἠὲ Ar.] ἤ ῥα. — *ὕμισιν] ὑμῖν ‖ 447 Δόλων] fuerunt (ante Ar.) qui pro participio (δολῶν!) acciperent, quod nomen Dolonis Diomedi non posset notum esse. At cf. vs. 478 ‖ 448 *ἡμάς] ἁμάς A D, ἀμάς C, l. a. χεῖρας ἐμεῖο

X εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν ἢ μεθέωμεν,
ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἠὲ διοπτεύσων ἢ ἀντίβιον πολεμίξων·
εἰ δέ κ' ἐμῇσ' ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,
οὐκέτ' ἔπειτα σὺ πῆμά ποτ' ἔσσεαι Ἀργείοισι."
ἦ, καὶ ὃ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ
ἁψάμενος λίσσεσθαι, ὃ δ' αὐχένα μέσσον ἔλασσε
φασγάνῳ ἀίξας, ἀπὸ δ' ἄμφω 'κέρσε τένοντε· 456ᵇ = Ξ 466
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη. 457 = χ 329
τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
καὶ τά γ' Ἀθηναίῃ ληίτιδι δῖος Ὀδυσσεὺς
ὑψόσ' ἀνέσχεθε χειρὶ καὶ εὐχόμενος Ϝέπος ηὔδα·
„χαῖρε, θεά, τοισίνδε· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιβωσόμεθ'· ἀλλὰ καὶ αὖτις
πέμψον ἐπὶ Θρηίκων ἀνδρῶν ἵππους τε καὶ εὐνάς."
ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ Ϝέθεν ὑψόσ' ἀείρας
'θῆκεν ἀνὰ μυρίκην· δέελον δ' ἐπὶ σῆμά τ' ἔθηκε,
συμμάρψας δόνακας μυρίκης τ' ἐριθηλέας ὄζους, 467 cf. h. Merc. 81
μὴ λάθοι αὖτις ἰόντε θοὴν διὰ νύκτα μέλαιναν. 468ᵇ = 394
τὼ δ' ἐβάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα, 469ᵃ = Ι 192
αἶψα δ' ἐπὶ Θρηίκων ἀνδρῶν τέλος ἷξον ἰόντες. 469ᵇ = 298
οἳ δ' ηὗδον καμάτῳ ϜεϜαδηκότες, ἔντεα δέ σφι

---

449 *ἢ μεθέωμεν] ἠὲ μεθῶμεν, cf. nº 122. Sed suspicio est singularem numerum olim hic lectum fuisse, quo ducit l. a. (ab Ar. reiecta?) -μαι ἠὲ μεθῶμαι. Verum censemus *εἰ μὲν γάρ κεν νῦν ἀπολύσω σ' ἠὲ μεθήω || 451 ἀντίβιον Eustath.] ἐναντίβιον, in qua lectione ἡ correptum displicet, cf. nº 16 || 452 ὀλέσσῃς] ὀλέσσαις Ar. De -ῃς cf. nº 122 || 457 φθεγγομένου] l. a. -μένη, quam Aristoteles part. anim. III 10 argumentis philosophicis, iisque non admodum firmis, impugnat, cum sufficeret unum grammaticum, ferri non posse adiectivum fem. ad κάρη pertinens. Nisi forte fuerint qui τοῦ κεφαλή legerent || 462 τοισίνδε nº 97] τοῖσδεσσι CIG. 2388, 7 et codd.; quam formam non grammaticorum errori deberi sed aliquando in hominum ore extitisse veri simile est, nec tamen Homericam esse ex decurtato dativi termino τοῖσ- pro τοῖσι apparet || 463 ἐπιβωσόμεθ' A D, cf. nº 192] ἐπιδωσόμεθ' Ar. C; cf. Χ 254 || 464 Θρηίκων] cf. nº 17. — ἵππους] l. a. ἄγυριν || 465 ὑψόσ'] sic et ὑψοῦ Ar.; cf. vs. 505 μ 249; ex genuino ὑψόθ' (cf. nº 322) utraque lectio orta videtur || 466 μυρίκην] sic Ar., alii igitur -κῃ (cf. Θ 441). — δέελον Ar. codd.] δῆλον legitur υ 333 (sic h. l. Cant.); adiectivum apud Hom. nonnisi duobus his locis obvium. — τ'] male abundat; Bentley δέ τε σῆμ' ἐπέθηκε || 470 Θρηίκων] cf. nº 17 || 471 ϜεϜαδηκότες] ἀδηκότες, cf. vs. 98

X καλὰ παρ' αὐτοῖσι χθόν' ἐκέκλιτο, εὖ κατὰ κόσμον,
τριστοιχί· παρὰ δέ σφι ϝεκάστῳ δίζυγες ἵπποι. 473ᵇ = E 195
Ῥῆσος δ' ἐν μέσῳ ηὗδε, παρ' αὐτῷ δ' ὠκέες ἵπποι
ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσ' ἐδέδεντο.
τὸν δ' Ὀδυσεὺς προπάροιθε ϝιδὼν Διομήδε' ἔδειξε·
„οὗτός τοι, Διόμηδες, ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓς νῶιν ἐπίφαυσκε Δόλων, ὃν ἐπέφνομεν ἧμες.
ἀλλ' ἄγε δή, πρόφερε κρατερὸν μένος· οὐδέ τί σε χρὴ
ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους·
ἠὲ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι."
ὣς ἔφατο, τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη· [ω 184
'κτεῖνε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀϝεικὴς 483 cf. Φ 20 χ 308
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα. 484 = Φ 21
ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών,
αἴγεσσ' ἢ ὀίεσσι, κακὰ φρονέων ἐνορούσῃ,
ὣς μὲν Θρήικας ἄνδρας ἐπῴχετο Τυδέος υἱός,
ὄφρα δυώδεκ' ἔπεφνεν. ἀτὰρ πολύμητις Ὀδυσσεύς,
ὅν τινα Τυδεΐδης ἄορι πλήξειε παραστάς,
τὸν δ' Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐκϝερύσασκε,
τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖσ' ἐμβαίνοντες· ἀϝήθεσκον γὰρ ἔτ' αὐτῶν.
ἀλλ' ὅτε δὴ βασιλῆ' ἐκιχήσατο Τυδέος υἱός,
τὸν τρισκαιδέκατον μελιϝηδέα θυμὸν ἀπέϝρα 495ᵇ = λ 203
ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη.

---

497 τὴν νύκτ', Οἰνεΐδαο πάις, διὰ μῆτιν Ἀθήνης.

497 Zen. Aristoph. om., Ar. —

---

472 *χθόν' ἐκέκλιτο] χθονὶ κέκλιτο. Bentley κεκλίατ' coll. *Π* 68, fortasse recte; cf. nº 119 || 473 τριστοιχί D] -χεί A C || 475 ἐξ] fuerunt qui ἓξ scriberent (ridicule). — *ἱμᾶσ' ἐδέδεντο] -σι δέδ. || 476 *Διομήδε' ἔδειξε] -δεϊ δεῖξε || 477 τοι] sic Ar. h. l.; cf. vs. 341 || 478 οὓς] sic Ar.; alii ὃν? — ἐπίφαυσκε Grashof] πίφαυσκε. In thesi produci nequit syllaba πι-; in arsi producitur *K* 502 *Σ* 500 h. Merc. 540. Cf. nº 139. — *ἧμες] ἡμεῖς. — Spurium censet versum Heyne || 486 αἴγεσσ' Eustath.] αἴγεσιν, cf. nº 64. — ἐνορούσῃ] -σει C, cf. nº 122 || 489 πλήξειε Ar. codd.] l. a. πλήξασκε || 490 ἐκϝερύσασκε] ἐξερ. codd. || 493 ἐμβαίνοντες Cobet, cf. *Z* 65 κ 164] ἀμβαίνοντες. — ἀήθεσκον Hesych.] ἀήθεσσον, quae explicari nequit forma. — αὐτῶν] male quidam (in schol. *E* 231) αὐτόν, i. e. *Ulixem*; recte autem αὐτῶν ab Aeliano Hist. An. XVI 25 ad νεκροῖσ' refertur. Sed pronomen novicio more est adhibitum || 494 *βασιλῆ' ἐκιχ.] -λῆα κιχ. || 495 ἀπέϝρα nº 150] ἀπηύρα || 497 Οἰνεΐδαο] neglecto ϝ, cf. *E* 813

X τόφρα δ' ἄρα τλήμων Ὀδυσεὺς 'λύε μώνυχας ἵππους,
σὺν δ' ἤειρεν ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροι' ἐνοήσατο χερσὶν ἑλέσθαι·
'ροίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
  αὐτὰρ ὃ 'μερμήριζε μένων ὅ τι κύντατον ἕρδοι·
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε' ἔκειτο,
ῥυμοῖ' ἐκϜερύοι ἢ ἐκφέροι ὑψόσ' ἀείρας,
ἦ ὅ γ' ἔτι πλεόνων Θρηίκων ἀπὸ θυμὸν ἕλοιτο. 506 cf. *E* 673
ἧος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα δ' Ἀθήνη 507ᵃ = *Δ* 193
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
„νόστου δὴ μνῆσαι, μεγαθύμου Τυδέος υἱέ,
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή ποθί τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος."
  ὣς 'φάθ', ὃ δὲ ξυνέηκε θεᾶς Ϝόπα φωνησάσης, 512 = *B* 182
καρπαλίμως δ' ἵππων ἐπεβήσετο· 'κόψε δ' Ὀδυσσεὺς
τόξῳ· τοὶ δ' ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
  οὐδ' ἀλαὸς σκοπιὴν εἶχ' ἀργυρότοξος Ἀπόλλων, 515 cf. *N* 10 *Ξ* 135 *ϑ* 285 Hes. Theog. 466
ὡς 'Ϝίδ' Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·
τῇ κοτέων Τρώων κατεδύσετο πολλὸν ὅμιλον,
ὦρσεν δὲ Θρηίκων βουληφόρον Ἱπποκόωντα,
Ῥήσου ἀνεψιὸν ἐσθλόν. ὃ δ' ἐξ ὕπνοι' ἀνορούσας
ὡς 'Ϝίδε χῶρον ἐρῆμον, ὅθ' ἔστασαν ὠκέες ἵπποι,
ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι, [591
ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον. 522 = *Ψ* 178 *Ω* 522ᵇ cf. *Π* 491
Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμὸς 523 cf. *Σ* 218

---

498 *ἄρα*] *ἄρ' ὁ* codd. ‖ 499 *σὺν δ' ἤειρεν*] cf. *O* 680; *συναείρειν* = *συζευγνύναι*, cf. *ξυνωρίς*, *παρήορος*. Vid. Cobet Mnem. '75 p. 266 sq. (= Misc. Crit. p. 326 sq.) ‖ 501 **δίφροι' ἐνοήσατο*] *-οιο νοήσατο* ‖ 502 *πιφαύσκων*] vid. ad vs. 476 ‖ 503 *ἕρδοι*] neglecto *Ϝ*; Bekker *κύντατα Ϝέρδοι* ‖ 505 *ῥυμοῖ'* nº 59] *ῥυμοῦ*. — *ἐκϜερύοι*] *ἐξερύοι* codd. — *ὑψόσ'*] sic et *ὑψοῦ* Ar.; vid. ad vs. 465 ‖ 506 *ἦ ὅ γ' ἔτι* Nauck] *ἦ ὅ γε τῶν* C, *ἢ ἔτι τῶν* A D; cf. ad *E* 673. — *Θρηίκων*] cf. nº 17 ‖ 507 *ἧος* nº 323] *ἕως* ‖ 511] suspectum est *μή* iteratum, quapropter Nauck versum 510 proscripsit, Naber vero *ἤν* pro posteriore *μή* coniecit coll. *τ* 83; quae si vera est suspicio, potius *αἴ κέν που* vel *αἴ κέν τις* erit scribendum, cf. nº 326. — *ποθί* nº 322] *πού* ‖ 513 *ἐπεβήσετο* Ar. A C] *-σατο* D ‖ 515 *ἀλαὸς σκοπιὴν* Ar. A] *ἀλαὸν σκοπιὴν* Zen., *ἀλαοσκοπιὴν* C D, quod monstri instar est; probabiliter Nauck *ἄλιον σκοπιήν*, collato vs. 324. Recurrit dictio *N* 10 *Ξ* 135 *ϑ* 285 Hes. Theog. 466 ‖ 517 **πολλὸν* nº 83] *πουλὺν* ‖ 518 *Θρηίκων*] cf. nº 17 ‖ 519 *ὕπνοι'* nº 59] *ὕπνου* ‖ 522] ante vs. 520 collocabat Zen.

X *θυνόντων ἄμυδις· ’θηέοντο δὲ μέρμερα Ϝέργα,*
*ὅσσ’ ἄνδρες ῥέξαντες ἔβαν κοίλας ἐπὶ νῆας.*
*οἳ δ’ ὅτε δή ῥ’ ἵκανον ὅθι σκοπὸν Ἕκτορος ἔκταν,*
*ἔνθ’ Ὀδυσεὺς μὲν ἔρυξε Διὶ φίλος ὠκέας ἵππους,*
*Τυδεΐδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα*
*ἐν χείρεσσ’ Ὀδυσῆ’ ἐτίθει, ἐπεβήσετο δ’ ἵππων,*
*’μάστιξεν δ’ ἵππους, τὼ δ’ οὐκ ἀϜέκοντ’ ἐπετέσθην.* — 530 sq. = *Λ* 519 [sq. — 530 cf. *E* 366
*Νέστωρ δὲ πρῶτος κτύπον ἄιε ’φώνησέν τε·*
*„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,* — 533 = *B* 79
*ψεύσομαι ἦ ἔτυμον Ϝερέω; κέλεται δέ με θυμός.* — 534 = *δ* 140
*ἵππων μ’ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.* — 535 cf. h. Ap. 265
*αἲ γὰρ δὴ Ὀδυσεύς τε ἰδὲ κρατερὸς Διομήδης*
*ὧδ’ ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους.*
*ἀλλ’ αἰνῶς δέδϜοικα κατὰ φρένα, μή τι πάθωσι*
*Ἀργείων ὄχ’ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ.”*
*οὔ πω πᾶν ’ϜέϜρητο Ϝέπος, ὅτ’ ἄρ’ ἤλυθον αὐτοί.* — 540ᵃ = *π* 11
*καί ῥ’ οἳ μὲν κατέβησαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες*
*δεξιῇ ἠσπάζοντο Ϝέπεσσί τε μειλιχίοισι.* — 542 cf. *τ* 415
*πρῶτος δ’ ἐξερέεινε γερήνιος ἱππότα Νέστωρ·*
*„Ϝείπ’ ἄγε μ’, ὦ πολύαιν’ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,* — 544 = *I* 673
*ὅππως τούσδ’ ἵππους ’λαβέτην· καταδύντες ὅμιλον*
*Τρώων; ἤ τίς σφω’ ἔπορεν θεὸς ἀντιβολήσας,*
*αἰνῶς ἀκτίνεσσι ϜεϜοικότε ἠελίοιο;*
*αἰεὶ μὲν Τρώεσσ’ ἐπιμίσγομαι, οὐδέ τί φημι*
*μιμνάζειν παρὰ νηυσί, γέρων περ ἐὼν πολεμιστής·* — 549ᵃ = *B* 392
*ἀλλ’ οὔ πω τοίους ἵππους ’Ϝίδον οὐδ’ ἐνόησα.*
*ἀλλά τιν’ ὔμ’ ὀίω δόμεναι θεὸν ἀντιάσαντα·*

---

531 *νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.*
534 Zen. om.

---

524 *’*θηέοντο*] *θηεῦντο*, vid. nº 7 et 191, et de *θη-* syllaba correpta nº 17 ‖ 529 **Ὀδυσῆ’ ἐτίθει*] *-σῆι τίθει*, l. a. *δίδου* ‖ 530 *ἵππους*] dett. *Ὀδυσεύς*. Bentley *ἐλάαν* (*ἐλάειν*) coll. *E* 366 etc.; vid. *Λ* 519. — *ἀϜέκοντ’*] *ἄκοντε* codd. ‖ 531] om. A C ‖ 536 *ἰδὲ* Nauck] *καὶ ὁ*; cf. vs. 363 ‖ 538 *δέδϜοικα*] *δείδοικα*. — *κατὰ φρένα*] *μετὰ φρεσὶ* Ar. (an l. a. ab Ar. memorata?); cf. *Λ* 555 *I* 244 *ω* 353 ‖ 539 **ὄχ’ ἄριστοι*] *ὤριστοι* Ar. (cf. nº 9), *οἱ ἄριστοι* codd. ‖ 540 ’*ϜέϜρητο* nº 306] *εἴρητο* ‖ 543 *γερήνιος*] cf. *B* 336 ‖ 545 *τούσδ’*] *τοὺς* D. — *λαβέτην* Zen.] *-τον* Ar. codd.; cf. nº 115 ‖ 546 *σφω’ ἔπορεν*] *σφωε πόρεν* Ar. codd., *σφῶι* Zen., quod pro *σφῶιν* dici posse putabat. Dativo tamen aegre caremus; ecquid igitur **σφ’(ε) ὔμ’(ι) ἔπορεν*? cf. vs. 551 ‖ 547 **ϜεϜοικότε*] *ἐοικότες* ‖ 548 *ἐπιμίσγομαι*] l. a. *ἀναμ.* ‖ 551 **ὔμ’*] *ὔμμ’*

X σφῶι γὰρ ἀμφοτέρω φιλέει νεφεληγερέτα Ζεὺς 552 = *H* 280
κούρη τ' αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 555 = 87
ῥεῖα θεός κ' ἐθέλων καὶ ἀμείνονας ἠέ περ οἵδε
ἵππους δωρήσαιτ', ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι.
ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες, οὓς ἐρεείνεις,
Θρηίκιοι· τὸν δέ σφι ϝάνακτ' ἀγαθὸς Διομήδης
ἔκτανε, πὰρ δ' ἑτάρους δύο καὶ δέκα πάντας ἀρίστους.
τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα στρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί."
ὣς ϝειπὼν τάφροιο διήλασε μώνυχας ἵππους
καγχαλάων· ἅμα δ' ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί.
οἳ δ' ὅτε Τυδεΐδεω κλισίην ἐύτυκτον ἵκοντο,
ἵππους μὲν κατέδησαν ἐυ τμητοῖσιν ἱμᾶσι
φάτνῃ ἔφ' ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
ἕστασαν ὠκύποδες μελιϝηδέα πυρὸν ἔδοντες·
νηὶ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνος
'θῆκ' Ὀδυσεύς, ὄφρ' ἱρὸν ἑτοιμασσαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρόα πολλὸν ἀπεννίζοντο θαλάσσῃ
ἐσβάντες κνήμας τε ἰδὲ λόφον ἀμφί τε μηρούς.
αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρόα πολλὸν
'νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ, 575ᵇ cf. *N* 84
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
πλείου ἀφυσσόμενοι 'λεῖβον μελιϝηδέα ϝοῖνον.

---

576 ἐς ῥ' ἀσαμίνθους βάντες ἐυ ξεστὰς 'λούσαντο. 576 = δ 48 ρ 87
τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ 577 cf. ζ 96

---

552 **σφῶι γὰρ ἀμφοτέρω φιλέει*] *ἀμφοτέρω γὰρ σφῶι φιλεῖ*, cf. *H* 280. — *σφῶι*] *σφῶε* quidam, noto errore || 556 *κ'*] *γ'* codd. || 561 *τρισκαιδέκατον*] l. a. *τετρακαιδ.* Cf. *I* 130 || 565 *καγχαλάων* nº 191] *-όων* || 566 *Τυδεΐδεω*] nº 55. Fortasse h. l. ferenda est novicia genitivi forma || 572 *ἱδρόα* nº 77] *ἱδρῶ*; item vs. 574. — *ἀπεννίζοντο* nº 27] *ἀπενίζ.* || 576 *'λούσαντο*] vHerwerden *λοέσαντο*, cf. nº 295. — Hunc versum et sequentem proscripsit Bergk: nulla in castris fuisse balnea et per se intellegitur et ex versibus proxime praecedentibus clare patet || 577 *λίπ'*] nº 13 || 579 *ἀφυσσόμενοι* Ar. A] *-σσάμενοι*. Cf. *Γ* 295

# ΙΛΙΑΔΟΣ Λ.

*Ἀγαμέμνονος ἀριστεία.*

---

XI 'Ηὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο — 1 sq. = ε 1 sq.
ὤρνυθ', ἵν' ἀθανάτοισι φάος φέροι ἠδὲ βροτοῖσι· — 2 = Τ 2
Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν.
'στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ, — 5-9 = Θ 222 sqq.
ἥ ῥ' ἐν μεσσάτῳ ἦσκε γεγωνέμεν ἀμφοτέρωσε,
ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐϜίσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.
ἔνθα στᾶσ' ἤυσε θεὰ μέγα τε δϜεινόν τε
ὄρθι', Ἀχαιοῖσιν δὲ μέγα σθένος ὦρσε Ϝεκάστῳ — 11b sq. = Ξ 151 sq.; 11 cf. Β 451
καρδίῃ, ἄλληκτον πολεμιζέμεν ἠδὲ μάχεσθαι. — 12-14 = Β 452 sqq.
[τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων 'γένετ' ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.]
Ἀτρεΐδης δ' ἐνόησεν ἰδὲ ζώννυσθαι ἄνωγε
Ἀργείους· ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκόν. — 16b = Β 578
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε — 17-19 = Γ 330 sqq.
καλάς, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,

---

13 sq. Zen. om., Aristoph. Ar. —

---

2 *φάος* nº 71] *φόως* || 6 **ἦσκε*] *ἔσκε* || 11 *ὦρσε* Bentley coll. *Β* 451 (*Ε* 139)] *ἔμβαλ'* || 12 *πολεμιζέμεν* Bekker] *-ζειν* || 15 *ἐνόησεν* Naber] *ἐβόησεν*. Dea clamat, non rex || 16 *ἐδύσετο* Cant.] *-σατο* A C D || 19 *στήθεσσιν*] *-σφιν*? cf. ad *M* 401

XI τόν ποτέ ϝοι Κινύρης ᾿δῶκε ξεινήιον εἶναι. 20ᵇ = *K* 269
᾿πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ᾿ Ἀχαιοὶ
ἐς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον·
τούνεκά ϝοι τὸν ἔδωκε, χαριζόμενος βασιλῆι.
τοῦ δ᾿ ἦ τοι δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο,
δώδεκα δὲ χρυσοῦ καὶ ἐϝείκοσι κασσιτέροιο·
κυάνεοι δὲ δράκοντες ὀρωρέχατο προτὶ δειρὴν
τρεῖς ϝεκάτερθ᾿, ἴρισσι ϝεϝοικότες, ἅς τε Κρονίων
ἐν νέφε᾿ ἐστήριξε, τέρας μερόπων ἀνθρώπων.
ἀμφὶ δ᾿ ἄρ᾿ ὤμοισιν ᾿βάλετο ξίφος· ἐν δέ ϝοι ἧλοι 29ᵃ = *B* 45
χρύσειοι ᾿πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον, χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός.
ἂν δ᾿ ἕλετ᾿ ἀμφιβρότην πολυδαίδαλον ἀσπίδα θοῦριν,
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦσαν,
ἐν δέ ϝ᾿ ἔσαν λευκοῖο ἐϝείκοσι κασσιτέροιο·
ὀμφαλὸς ἐν μέσσοισιν ἔην μέλανος κυάνοιο.
τῇ δ᾿ ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο
δϝεινὸν δερκομένη, περὶ δὲ Δϝεῖμός τε Φόβος τε.
τῆς δ᾿ ἓξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ᾿ αὐτοῦ
κυάνεος ᾿ϝεϝέλικτο δράκων, κεφαλαὶ δέ ϝοι ἦσαν
τρεῖς ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυυῖαι.
κρατὶ δ᾿ ἐπ᾿ ἀμφίφαλον κυνέην ᾿θέτο τετραφάληρον 41 = *E* 743 cf. *Γ* 336

---

22 ἀναπλεύσεσθαι] -σασθαι C ‖ 23 ἔδωκε Bekker] δῶκε ‖ 24 δέκα οἶμοι] hiatus non ferendus; videtur excidisse particula aliqua ‖ 25 δώδεκα] ἕνδεκα Naber. — χρυσοῦ καὶ ἐϝείκοσι Bentley] χρυσοῖο καὶ εἴκοσι ‖ 26 κυάνεοι ... ὀρωρέχατο] σμερδάλεοι ... ἐλιχμῶντο Aristoph. ‖ 27 ἴρισσι] neglecto ϝ; Zen. ἐρίδεσσιν, Apoll. lex. et Hesych. ἴρεσσιν ‖ 28 *νέφε᾿ ἐστήριξε] νέφεϊ στήριξε Ar. codd. (νέφεσι Vrat.); l. a. νέφει ἐστήριξε. De νέφε᾿ cf. nº 71. — μερόπων ἀνθρώπων] *μερόπεσσι βροτοῖσι? cf. *B* 285 ‖ 31 χρυσέοισιν] nº 61 ‖ 33 πέρι ... ἦσαν] nonnulli περὶ ... ἦσαν (male) ‖ *34 sq.] sic correximus vulgatam ἐν δέ οἱ ὀμφαλοὶ ἦσαν ἐείκοσι κασσιτέροιο | λευκοί, ἐν δὲ μέσοισιν ἔην μέλανος κυάνοιο. Quae corrupta esse inde apparet quod plures umbones non recipit unus clipeus, melius etiam ex producta syllaba -κοί ante ἐν, cf. nº 17 (quapropter fuere qui λευκοῖ᾿(ο) legerent), et certo certius ex nominis numeralis in versu 35 defectu (nam nihil est ἕεις, quod Barnes pro ἔην proposuit, Nauck recepit). Clipeus simili ornatu splendet atque thorax ‖ 36 βλοσυρῶπις] male producitur syllaba ultima. Hunc versum et sequentem ex *E* 739 sqq. interpolatos censet Christ. Quod addit argumentum, locum inveniri non posse idoneum simulacris Gorgonis et Terroris Metusque in scuto viginti bullis et uno umbone ornato, id minus valere arbitramur; cf. ad vs. 34 sq. ‖ 38 ἦν] ἔεν LMeyer. — αὐτοῦ Ar. A D] -τῷ C ‖ 39 ϝεϝέλικτο Payne-Knight Cobet] ἐλέλικτο ‖ 40 ἀμφιστρεφέες Ar. A] -στεφέες C D

XI ἵππουριν· δϝεινὸν δὲ λόφος καθύπερθεν ἔνευε. 42 = Γ 337
εἵλετο δ' ἄλκιμα δοῦρα δύω, κεκορυθμένα χαλκῷ, 43 cf. Γ 18
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω
'λάμπ'· ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη,
τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης.
ἡνιόχῳ μὲν ἔπειτα ἑϝῷ ἐπέτελλε ϝέκαστος 47 sq. = Μ 84 sq.
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν' αὖθ' ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες 49 = Μ 77
'ρώοντ'· ἄσβεστος δὲ βοὴ 'γένετ' ἠῶθι πρό.
'φθὰν δὲ μέγ' ἱππήων ἐπὶ τάφρῳ κοσμηθέντες,
ἱππῆες δ' ὀλίγον μετεκίαθον. ἐν δὲ κυδοιμὸν
ὦρσε κακὸν Κρονίδης, κατὰ δ' ὑψόθεν ἧκεν ἐϝέρσας
αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ' ἔμελλε
πολλὰς ἰφθίμους κεφαλὰς Ἄϝϊδι προϊάψειν.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο, 56 = Υ 3
Ἕκτορά τ' ἀμφὶ μέγαν καὶ ἀμύμονα Πολυδάμαντα
Αἰνείαν θ', ὃς Τρωσὶ θεὸς ὣς 'τίετο δήμῳ, 58[b] = ξ 205 cf. Ε 78
τρεῖς τ' Ἀντηνορίδας, Πόλυβον καὶ Ἀγήνορα δῖον
ἠΐθεόν τ' Ἀκάμαντ', ἐπιϝείκελον ἀθανάτοισι.
Ἕκτωρ δ' ἐν πρώτοισ' ἔφερ' ἀσπίδα πάντοσ' ἐϝίσην.
οἷος δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστὴρ
παμφαίνων, τοτὲ δ' αὖτις ἔδυ νέφεα σκιόεντα,
ὣς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοισ' ἐφάνεσκε,
ἄλλοτε δ' ἐν πυμάτοισι κελεύων· πᾶς δ' ἄρα χαλκῷ
'λάμφ' ὥς τ' ἀστεροπὴ πατρὸς Διὸς αἰγιόχοιο. 66[a] = Κ 154
οἳ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισι
ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν
πυρῶν ἢ κριθῶν· τὰ δὲ δράγματα ταρφέα πίπτει·

---

43 *δοῦρα* Vrat. Eust.] *δοῦρε*. Etiam *Γ* 18 id praeferimus, quamquam ibi *-ρε* ferri fortasse potest ‖ 45 *ἐγδούπησαν* (Ar.) A] *ἐκδούπησαν* C, *δὲ γδούπησαν* D. Aristarchus literam *γ* metri causa esse adiectam censebat ‖ 51 *μέγ'* Ar. A D] *μεθ'* C Apoll. lex. (contra usum Homericum) ‖ 55 *κεφαλὰς*] sic Ar. codd. h. l.; cf. *Α* 3 ‖ 56 *ἑτέρωθεν*] fortasse verbum (aoristus in *-θεν*) in hac voce latet; Friedlaender *αὖ κόσμηθεν*; minus longe recedas a vulgata corrigendo **αὖτ' ἤγερθεν*; sed vide *Υ* 3 ‖ 57 *Πολυδάμαντα* D, cf. nº 21] *Πουλ.* ‖ 61 **πρώτοισ' ἔφερ'*] *-σι φέρ'* ‖ 62 *οὔλιος*] ***malum sidus, Sirius***, cf. *Ε* 5 *Χ* 26. A nonnullis legi *αὔλιος* (sensu ***Hesperus***) adnotabat Ar.; in quibus fuisse Apollonium Rhod. ex eius imitatione IV 1630 patet ‖ 64 **πρώτοισ' ἐφάνεσκε*] *-τοισι φάν.* ‖ 66 *τ' ἀστεροπὴ*] *τε στεροπὴ* meliores; cf. ad vs. 184 ‖ 68 *ἐλαύνωσιν*] *-νουσιν* C D ‖ 69 *κριθῶν*] cf. nº 56; **πυροὺς ἢ κριθάς*? cf. *τ* 112. — *δράγματα*] *δάργματα* metri causa mavult Hartel

XI ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες — 70 sq. = Π 770 sq.
'δήοον, οὐδ' ἕτεροι 'μνάοντ' ὀλοοῖο φόβοιο·
ϝίσας δ' ὑσμίνη κεφαλὰς εἶχ'· οἳ δὲ λύκοι ὣς
'θῦνον. Ἔρις δ' ἄρ' ἔχαιρε πολύστονος εἰσοράουσα·
οἴη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοισι,
οἱ δ' ἄλλοι οὔ σφιν πάρεσαν θεοί, ἀλλὰ ϝέκηλοι
σφοῖσιν ἐνὶ μεγάροισι καθήατο, ᾗχι ϝεκάστῳ
δώματα κάλ' ἐτέτυκτο κατὰ πτύχας Οὐλύμποιο.
[πάντες δ' ἠτιάοντο κελαινεφέα Κρονίωνα,
οὕνεκ' ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι. — 79ᵇ = δ 275
τῶν μὲν ἄρ' οὐκ ἀλέγιζε πατήρ· ὃ δὲ νόσφι λιασθεὶς
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων, — 81ᵇ sq. = Θ 51 sq.
εἰσοράων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν
χαλκοῦ τ' ἀστεροπήν, ὀλλύντας τ' ὀλλυμένους τε.]
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, — 84 sq. = Θ 66 sq.
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαός·
ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσσατο δεῖπνον
οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ' ἐκορέσσατο χεῖρας
τάμνων δένδρεα μακρά, ϝάδος τέ μιν ἵκετο θυμόν,
σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ, — 89 cf. h. Ap. 461
τῆμος σφῇ ἀρετῇ Δαναοὶ 'ρήξαντο φάλαγγας,
κεκλόμενοι ἑτάροισι κατὰ στίχας. ἐν δ' Ἀγαμέμνων
πρῶτος ὄρουσ', ἕλε δ' ἄνδρα Βιάνορα, ποιμένα λαῶν,
αὐτόν, ἔπειτα δ' ἑταῖρον Ὀιλῆα πλήξιππον.
ἦ τοι ὅ γ' ἐξ ἵππων καταάλμενος ἀντίος ἔστη·
τὸν δ' ἰθὺς μεμαῶτα μετώπιον ὀξέι δουρὶ
'νύξ', οὐδὲ στεφάνη δόρυ ϝ' ἔσχεθε χαλκοβάρεια,

78—83 Zen. om., Aristoph. Ar. —

71 δήοον Nauck] -ουν. Notetur prima syllaba contracta. — 'μνάοντ' nº 191] μνώοντ' ‖ 72 *εἶχ'] ἔχεν. — ὑσμίνη ... ἔχεν Ar. D] -νῃ ... ἔχον C ‖ 73 εἰσοράουσα nº 191] -όωσα ‖ 76 σφοῖσιν] οἷσιν Vind. Stuttg. et l. a. in schol., errore pervulgato. — καθήατο Stuttg.] -είατο. — ᾗχι Ar. C] ἧχι A D ‖ 77 *κάλ' ἐτέτυκτο] καλὰ τέτυκτο. Sed fortasse dedit poeta *καλὰ τέτυκται ἀνά, cf. ad Ε 729 ‖ 78 ἠτιάοντο nº 191] -όωντο ‖ 82 εἰσοράων nº 191] -όων ‖ 83 τ' ἀστεροπὴν Vind.] τε στεροπήν, cf. vs. 66 et ad 184 ‖ 84] cf. ad Θ 66 ‖ 86 δεῖπνον Ar. A C D] δόρπον Zen.; cf. vs. 730. Hic *meridiem* designari recte monuit Lehrs Ar.[2] 128, coll. Θ 66 sqq. ‖ 89 αἱρεῖ] εἷλε Nauck probabiliter; cf. e. g. Γ 35 ‖ 91 ἐν C] ἂν A, ἐκ D; cf. vs. 216 ‖ 92 Βιάνορα Ar.] Βιήνορα; cf. nº 5 ‖ 94 *καταάλμενος] κατεπάλμενος. Cf. Θ 85. — ἀντίος] -ον Zen.; cf. Ζ 54 ‖ 96 *ϝ' ἔσχεθε] οἱ σχέθε, ἔσχεθε Townl.

XI ἀλλὰ δι' αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δὲ 97ᵇ sq. = Μ 185 sq. Υ 399 sq.
ἔνδον ἅπας 'πεπάλακτ'· ἐδάμασσε δέ μιν μεμαῶτα.
καὶ τοὺς μὲν 'λίπεν αὖθι Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
στήθεσι παμφαίνοντας, ἐπεὶ περίδυσε χιτῶνας·
αὐτὰρ ὃ 'βῆ Ϝῖσόν τε καὶ Ἄντιφον ἐξεναρίξων,
υἶε δύω Πριάμοιο, νόθον καὶ γνήσιον, ἄμφω
ἐν ἑνὶ δίφρῳ ἐόντε· ὃ μὲν νόθος ἡνιόχευε,
Ἄντιφος αὖ παρέβασκε περικλυτός· ὥ ποτ' Ἀχιλλεὺς
Ἴδης ἐν κνημοῖσ' ἐδίδει μόσχοισι λύγοισι,
ποιμαίνοντ' ἐπ' ὄεσσι λαβών, καὶ ἔλυσεν ἀποίνων.
δὴ τότε γ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ στῆθος 'βάλε δουρί,
Ἄντιφον αὖτ' οὖας ἔλασε ξίφε', ἐκ δ' ἔβαλ' ἵππων.
σπερχόμενος δ' ἀπὸ τοῖιν ἐσύλαε τεύχεα καλὰ
γιγνώσκων· καὶ γάρ σφε πάρος παρὰ νηυσὶ θοῇσι
ἔϜϜιδ' ὅτ' ἐξ Ἴδης ἄγαγεν πόδας ὠκὺς Ἀχιλλεύς.
ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα
ῥηιδίως συνέϜαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι, 114ᵇ = 175 Ρ 63
ἐλθὼν εἰς εὐνήν, ἁπαλόν τέ σφ' ἦτορ ἀπέϜρα·
ἡ δ' εἴ πέρ τε τύχῃσι μάλα σχεδόν, οὐ δύναταί σφι
χραισμέμεν', αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει,
καρπαλίμως δ' ἤιξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην 118ᵇ = κ 150, 197
σπεύδουσ', ἱδρώουσα, κραταιοῦ θηρὸς ὑφ' ὁρμῆς·
ὣς ἄρα τοῖσ' οὔ τις 'δύνατο χραισμῆσαι ὄλεθρον
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ' Ἀργεΐοισ' ἐφέβοντο.

---

98 Apoll. Rhodius om.

---

97 ἐγκέφαλος δὲ] ἐγκέφαλόνδε Apollonius Rhodius, omisso quem non intellegebat versu 98 || 98 *'πεπάλακτ'· ἐδάμασσε] -λακτο· δάμ. — 'πεπάλακτ'(ο)] l. a. κεκίνητο (? — Spitzner κεκύκητο) || 100 περίδυσε χιτῶνας] l. a. ab Ar. commemorata κλυτὰ τεύχε' ἀπηύρα. Nonnulli (in his Ar.?) παμφαίνοντας cum χίτωνας perperam iungebant || 101 βῆ Ἶσον Zen.] βῆ ῥ' Ἶσον Ar. codd., quod Βήρισον (sc. ἐξενάριξε) intellegebat Posidippus || 103 *ἐν nº 315] ἐνί. — ἐόντε Aristoph.] ἐόντας || 104 ὥ] ὅν Zen. Apoll. lex., quam lectionem refelli versu 111, errorem autem ex vetere literatura natum videri, monebat Ar. || 105 *κνημοῖσ' ἐδίδει] κνημοῖσι δίδη (-ει Naber); cf. nº 198 || 106 ὄεσσι] nº 74 || 108 κατὰ στῆθος 'βάλε] βάλεν χαλκήρεϊ D || 109 αὖτ' οὖας Nauck] αὖ παρὰ οὖς codd., hiatu absurdo. Cf. nº 72. Praeterea fortasse praestat *αὖτ' οὖας ξίφε' ἤλασεν. — *ξίφε' nº 71] ξίφει || 110 ἐσύλαε nº 191] ἐσύλα || 112 *ἔϜϜιδ' nº 27] εἶδεν || 115 ἀπέϜρα nº 150] ἀπηύρα || 116 τε τύχῃσι] etiam τετύχῃσι (ut λελάχῃσι) legi posse putabat Ar. || 117 *χραισμέμεν'] -εῖν || 119 ἱδρώουσα] neglecto Ϝ || 121 *Ἀργεΐοισ' ἐφέβοντο] -σι φέβ.

XI αὐτὰρ ὃ Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
υἱέας Ἀντιμάχοιο δαΐφρονος, ὅς ῥα μάλιστα
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
οὐκ εἴασχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
τοῦ περ δὴ δύο παῖδ' ἔλαβε κρείων Ἀγαμέμνων
ἐν ἑνὶ δίφρῳ ἐόντε, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους·
ἐκ γάρ σφας χειρῶν 'φύγον ἡνία σιγαλόεντα, 128b = Θ 137
τὼ δ' ἐκυκηθήτην· ὃ δ' ἐναντίον ὦρτο λέων ὣς 129b = Γ 164
Ἀτρεΐδης· τὼ δ' αὖτ' ἐκ δίφρου 'γουναζέσθην·
„ζώγρεε, Ἀτρέος υἱὲ, σὺ δ' ἄξια δέξε' ἄποινα. 131 = Ζ 46
πολλὰ δ' ἐν Ἀντιμάχου πατρὸς κειμήλια κεῖται, 132 cf. Ζ 47
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος· 133 sq. = Ζ 48 sq.
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἰ νῶι ζωὼ πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν." 135 cf. Ζ 50
ὣς τώ γε κλαίοντε προσηυδήτην βασιλῆα 136a = Χ 90
μειλιχίοισι Ϝέπεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσαν· 137 cf. Φ 98
„εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστὸν,
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγε
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι
αὖθι κατακτεῖναι μηδ' ἐξέμεν' ἂψ ἐς Ἀχαιούς,
νῦν μὲν δὴ τοῦ πατρὸς ἀϜεικέα τίσετε λώβην."
ἦ, καὶ Πείσανδρον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε 143 cf. 320
δουρὶ βαλὼν πρὸς στῆθος· ὃ δ' ὕπτιος οὖδε' ἐρείσθη. 144b = Η 145
Ἱππόλοχος δ' ἀπόρουσε· τὸν αὖ χαμαὶ ἐξενάριξε,

---

123 *δαΐφρονος*] *κακόφρονος* Zen., cf. vs. 138 ‖ 127 **ἐν* nº 315] *εἰν*. — *ἐόντε*] *-τας* codd., sed *-τε* Aristophanem dedisse ex vs. 103 veri simile fit ‖ 128 **σφας*] *σφεας*. — *φύγον* Ar. codd.] l. a. *φύγεν* ‖ 129 *ἐναντίον* Ar. codd.] l. a. *-ος*, cf. vs. 94 *Ζ* 54 ‖ 130] versus *ὁλοσπόνδειος* sec. veteres grammaticos; cf. nº 2. Fortasse etiam quartus spondeus solvendus erat, vid. nº 59 ‖ 131 *ζώγρεε* nº 191] *ζώγρει*. — **δέξε'(αι)*] *δέξαι*. Vid. ad *Ζ* 46 ‖ 132 *Ἀντιμάχου πατρὸς* Zen.] *ἀφνειοῦ πατρὸς* D (ut *Ζ* 47), male, quia *nominari* patrem ex vs. 138 patet; *Ἀντιμάχοιο δόμοις* A C, vitiose propter *-οις* pro *-οισι* (cf. nº 60). Bentley *Ἀντιμάχοιο πατρὸς*, minus recte, vid. ad *Ζ* 479 ‖ 135 *ζωὼ*] *ζωὼ* Aristoph., *ζωοὺς* codd. ‖ 136 **προσηυδήτην*] *προσαυδήτην*. De *-ήτην* cf. nº 195 ‖ 137 *μειλιχίοισι Ϝέπεσσιν* Nauck] *-οις ἐπέεσσιν*. — *ὄπ'*] neglecta litera *Ϝ*, quae h. l. et Φ 98 et ε 61 sine violentiore remedio restitui nequit ‖ 138 *δὴ Ἀντιμάχοιο*] nº 8. — *δαΐφρονος*] *κακόφρονος* Zen. ut vs. 123; hoc loco recte ut videtur. Ecquid **εἰ μὲν δὴ ἀνδρός γε κακόφρονος*? ‖ 140 *ἀγγελίην*] cf. ad *Γ* 206 ‖ 141 *κατακτεῖναι*] *-κτάμεναι*? ‖ 142 *τοῦ* Ar. codd.] *οὗ* Zen., *σφοῦ* alii, ut olim in pronominibus solebant errare ‖ 144 **οὖδε'* nº 71] *οὔδει*; l. a. (Ar.?) *οὖδας ἔρεισε*, sine sensu (cf. *Η* 145 *Μ* 192)

XI χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ' αὐχένα κόψας,
Ϝόλμον δ' ὣς ἔσσευε κυλίνδεσθαι δι' ὁμίλου.
τοὺς μὲν ἔασ'· ὃ δ' ὅθι πλεῖσται 'κλονέοντο φάλαγγες, 148ᵇ = Ο 448
τῇ ῥ' ἐνόρουσ', ἅμα δ' ἄλλοι ἐυκνήμιδες Ἀχαιοί.
πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
ἱππῆες δ' ἱππῆας — ὑπὸ σφίσι δ' ὦρτο κονίη
ἐκ πεδίου, τὴν ὦρσαν ἐρίγδουποι πόδες ἵππων —
χαλκῷ δηιόοντες. ἀτὰρ κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων ἕπετ' Ἀργεΐοισι κελεύων.
ὡς δ' ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ·
πάντῃ τ' εἰλυφάων ἄνεμος φέρει, οἳ δέ τε θάμνοι
πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς ἄρ' ὑπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι 'πίπτε κάρηνα
Τρώων φευγόντων, πολλοὶ δ' ἐριαύχενες ἵπποι
κείν' ὄχε' ἐκροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας,
ἡνιόχους ποθέοντες ἀμύμονας. οἳ δ' ἐπὶ γαίῃ
κείατο γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισι.
Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ·
Ἀτρεΐδης δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων. 165ᵇ = Π 372
οἳ παρὰ Ϝίλου σῆμα παλαιοῦ Δαρδανίδαο,
μέσσον κὰπ πεδίον, παρ' ἐρινεὸν ἐσσεύοντο
Ϝιέμενοι πόλιος· ὃ δὲ κεκληγὼς ἕπετ' αἰεὶ
Ἀτρεΐδης, λύθρῳ δ' ἐπαλάσσετο χεῖρας ἀάπτους. 169ᵇ = Υ 503
ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο, 170 cf. Ζ 237
ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον.
οἳ δ' ἔτι κὰμ μέσσον πεδίον 'φοβέοντο βόες ὥς,
ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
πάσας· τῇ δέ τ' ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
τῆς δ' ἐξ αὐχέν' ἔϜαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι 175 sq. = Ρ 63 sq. 175ᵇ = 114
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει· 176 cf. Σ 583

146 τμήξας] πλήξας Ar., cf. Ψ 120 κ 440 ‖ 151 ἱππῆες (sic D) … σφίσι δ Lehrs] ἱππεῖς … δέ σφισι, cf. nº 76 ‖ 153 δηιόοντες Vind.] -όωντες, cf. nº 191 ‖ 156 εἰλυφάων nº 191] -όων. Ecquid *πάντῃ Ϝειλ.? ‖ 157 ἐπειγόμενοι] sic Ar.; alii igitur -ου vel -ῃ? ‖ 160 *ὄχε' ἐκρ.] ὄχεα κρ. ‖ 165 σφεδανὸν] sic Ar.; adiectivum adverbii loco adhibitum, praeter h. l. (= Π 372) non nisi Φ 542 obvium, ubi vid. ‖ 166 παρὰ Naber] δὲ παρ'. Fick δ' ἐπὶ coniecit, fortasse recte; obstare tamen dixeris Ζ 433 Λ 372 ‖ 168 πόλιος Wolf] πόλεως. — κεκληγὼς] *-γγὼς?

XI ὣς τοὺς Ἀτρεΐδης ἔφεπε κρείων Ἀγαμέμνων,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δ' ἐφέβοντο. 178 = Θ 342
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
ἵξεσθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης
οὐρανόθεν καταβάς· ἔχε δ' ἀστεροπὴν μετὰ χερσί.
Ϝῖριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν· 185 sq.[b] = Θ 398 sq.
„βάσκ' ἴθι, Ϝῖρι ταχεῖα, καὶ Ἕκτορι μῦθον ἐνίσπε·
ἦος μέν χ' ὁράῃ Ἀγαμέμνονα, ποιμένα λαῶν, 187 cf. 202
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν, 188 = 203
τόφρ' ἀναχωρεέτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω 189 cf. 204
μάρνασθαι δηίοισι κατὰ κρατερὴν ὑσμίνην· 190 sq. = 205 sq.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε Ϝοι κράτος ἐγγυαλίξω 192 sq. cf. 207 sq.
κτεινέμεν', εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκηται 193 cf. Ρ 454
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.“ 194 = 209 Ρ 455
ὣς ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ϝῖρις, 195 sq. = Ο 168 sq.
'βῆ δὲ κατ' 'Ιδαίων ὀρέων ἐς Ϝίλιον ἱρήν.
ηὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, 197 = Ο 239 197[b] = Ι 651
ἑσταότ' ἔν θ' ἵπποισι καὶ ἅρμασι κολλητοῖσι· 198 = Δ 366
ἄγχι δέ Ϝ' ἱσταμένη προσέφη πόδας ὠκέα Ϝῖρις· 199 = Β 790
„Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, 200 = Η 47
Ζεύς με πατὴρ προέηκε τεῒν τάδε μυθήσασθαι· 201[b] = δ 829
ἦος μέν χ' ὁράῃς Ἀγαμέμνονα, ποιμένα λαῶν, 202 cf. 187
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν, 203 = 188
τόφρ' ὑπόϜεικε μάχης, τὸν δ' ἄλλον λαὸν ἄνωχθι 204 cf. 189
μάρνασθαι δηίοισι κατὰ κρατερὴν ὑσμίνην· 205 sq. = 190 sq.

---

179 πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων
Ἀτρεΐδα' ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχε' ἔθυε. 180[b] = Π 699
179 sq. Zen. om., Ar. —; 180 etiam Aristoph. —

---

179 πρηνεῖς] contracta forma confirmat Zenodoti Aristarchique de hoc versu sententiam ‖ 180 Ἀτρεΐδα' n° 55] Ἀτρείδεω. — *ἔγχε' ἔθυε] ἔγχεϊ θῦεν ‖ 181 ἔμελλεν A D] -λλον C ‖ 183 πιδηέσσης] πιδακοέσσης potius expectaveris ‖ 184 δ' ἀστεροπὴν Ar. A[2]] δὲ στεροπὴν A[1] C D ‖ 186 καὶ Nauck] τόν. — ἐνίσπε] ἐνίσπες A ‖ 187 ἦος Nauck] ὄφρ' ἄν. — *χ' ὁράῃ] κεν ὁρᾷ ‖ 189 ἀναχωρεέτω n° 191] -είτω. — τὸν δ' ἄλλον] Nauck ἄλλον δ' ἅμα, item vs. 204 ‖ 190 δηίοισι] n° 17 ‖ 192 ἅλεται] cf. n° 150 ‖ 193 κτεινέμεν Nauck] -ειν ‖ 196 ἐς] εἰς codd. ‖ 197 ηὗρ' υἱὸν] vid. ad Δ 327 Ο 239 ‖ 199 *ἄγχι δέ Ϝ'] ἀγχοῦ δ' ‖ 200 υἱὲ] n° 17 ‖ 202 ἦος Nauck] ὄφρ' ἄν. — *χ' ὁράῃς] κεν ὁρᾷς, cf. vs. 187 ‖ 205 δηίοισι] n° 17

XI αὐτὰρ ἐπεί κ᾽ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε τοι κράτος ἐγγυαλίξει 207 sq. cf. 192 sq.
κτεινέμεν, εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκηαι
δύῃ τ᾽ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.” 209 = 194
ἡ μὲν ἄρ᾽ ὣς Ϝειποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ϝῖρις, 210 = Θ 425
Ἕκτωρ δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, 211ᵇ-214 = Ε 494 sqq.
πάλλων δ᾽ ὀξέε δοῦρε κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθ᾽, ἤγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐϜελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν,
Ἀργέιοι δ᾽ ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας. 215 = Μ 415
ἠρτύνθη δὲ μάχη, ᾽στὰν δ᾽ ἀντίοι· ἐν δ᾽ Ἀγαμέμνων
πρῶτος ὄρουσ᾽, ἔθελεν δὲ πολὺ προμάχεσθαι ἁπάντων.

ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι, 218 = Β 484
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθε
ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
Ϝιφιδάμας Ἀντηνορίδης, ἠΰς τε μέγας τε,
ὃς ᾽τράφ᾽ ἐνὶ Θρηίκῃ ἐριβώλακι, μητέρι μήλων.
Κισσεὺς τόν γ᾽ ἔθρεψε δόμοισ᾽ ἔνι τυτθὸν ἐόντα
μητροπάτωρ, ὃς ἔτικτε Θεανόα καλλιπάρῃον·
αὐτὰρ ἐπεί ῥ᾽ ἥβης ἐρικυδέος ἵκετο μέτρον,
αὐτόθι μιν κατέρυκ᾽, ἐδίδου δ᾽ ὅ γε θυγατέρα Ϝήν· 226 = Ζ 192
γήμας δ᾽ ἐκ θαλάμοιο μετὰ κλέος ἵκετ᾽ Ἀχαιῶν
σὺν δύο καὶ δέκα νηυσὶ κορωνίσιν, αἵ Ϝοι ἕποντο.
τὰς μὲν ἔπειτ᾽ ἐν Περκώτῃ ᾽λίπε νῆας ἐϜίσας,
αὐτὰρ ὃ πεζὸς ἐὼν ἐς Ϝίλιον εἰληλούθει·
ὅς ῥα τότ᾽ Ἀτρεΐδα᾽ Ἀγαμέμνονος ἀντίος ἦλθε.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες, 232 sq. ≘ Ν 604 [sq.
Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ Ϝοι ἐτράπετ᾽ ἔγχος, 232 = Γ 15

208 κτεινέμεν Nauck] -ειν || 212 *ὀξέε] ὀξέα. — δοῦρε Harl.] δοῦρα A C D. Cf. Ε 495 || 213 *μαχέσασθ᾽, ἤγειρε] -σθαι, ἔγειρε. — φύλοπιν] *φυλόπιδ᾽? cf. nº 66 || 214 (ἐ)Ϝελίχθησαν Cobet] ἐλελίχθησαν || 215 δ᾽ ἑτέρωθεν] l. a. δὲ καὶ αὐτοὶ || 216 *ἠρτύνθη] ἀρτύνθη. — ἐν] ἐκ C D; cf. vs. 91 || 219 ἀντίος Zen. Aristoph. codd.] -ον Ar., quod mireris collato vs. 94 || 222 ᾽τράφ᾽ ἐνὶ Buttmann] τράφη ἐν, cf. nº 252. Christ τράφεν ἐν (cf. Γ 201). — Θρηίκῃ nº 17] Θρῄκῃ. — μήλων] θηρῶν Zen., cf. Θ 47 (sine dubio male) || 223 Κισσεὺς Stuttg.] Κισσῆς cet.; IMenrad Κισσείας δέ Ϝ᾽ ἔθρεψε || 224 ἔτικτε Barnes] τίκτε. — Θεανόα nº 77] -νώ || 226 αὐτόθι nº 322] αὐτοῦ || 228 Ϝοι ἕποντο] *Ϝ᾽ εἵποντο? || 230 ἐὼν] sic et ἰὼν Ar. — ἐς] εἰς codd. — εἰληλούθει] cf. nº 160 || 231 Ἀτρεΐδα᾽ nº 55] -δεω

XI Ϝιφιδάμας δὲ κατὰ ζώνην, θώρηκος ἔνερθε,
'νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας· 235 = Ρ 48
οὐδ' ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
ἀργύρῳ ἀντομένη, μόλιβος ὥς, ἐτράπετ' αἰχμή.
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
εἷλκ' ἐπὶ Ϝοὶ μεμαὼς ὥς τε λίς, ἐκ δ' ἄρα χειρὸς
'σπάσσατο· τὸν δ' ἄορι 'πλῆξ' αὐχένα, 'λῦσε δὲ γυῖα.
ὣς ὃ μὲν αὖθι πεσὼν 'κοιμήσατο χάλκεον ὕπνον
οἰκτρός, ἀπὸ μνηστῆς ἀλόχου, Ϝαστοῖσιν ἀρήγων,
κουριδίης, ἧς οὔ τι χάριν 'Ϝίδε, πολλὰ δ' ἔδωκε·
πρῶθ' ἑκατὸν βοῦς 'δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη,
αἶγας ὁμοῦ καὶ ὄις, τά Ϝοι ἄσπετα 'ποιμαίνοντο· —
δὴ τότε Ϝ' Ἀτρεΐδης Ἀγαμέμνων ἐξενάριξε,
'βῆ δὲ φέρων ἀν' ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
τὸν δ' ὡς οὖν ἐνόησε Κόων, ἀριδείκετος ἀνδρῶν,
πρεσβυγενὴς Ἀντηνορίδης, κρατερόν ῥά Ϝε πένθος
ὀφθαλμοὺς ἐκάλυψε κασιγνήτοιο πεσόντος.
'στῆ δ' εὐρὰξ σὺν δουρί, λαθὼν Ἀγαμέμνονα δῖον, 251ᵃ = Ο 541
'νύξε δέ μιν κατὰ χεῖρα μέσην, ἀγκῶνος ἔνερθε,
ἄντικρυς δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή. 253 cf. ι 453
'ρίγησεν δ' ἄρ' ἔπειτα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 254 = Δ 148
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο, 255ᵃ = Η 263
ἀλλ' ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος.
ἦ τοι ὃ Ϝιφιδάμαντα κασίγνητον καὶ ὄπατρον 257ᵇ cf. Μ 371
εἷλκε ποδὸς μεμαώς, καὶ ἀύτεε πάντας ἀρίστους·
τὸν δ' ἕλκοντ' ἀν' ὅμιλον ὑπ' ἀσπίδος ὀμφαλοέσσης
οὔτασσε ξυστῷ χαλκήρεϊ, 'λῦσε δὲ γυῖα· 260 = Δ 469
τοῦ δ' ἐπὶ Ϝιφιδάμαντι κάρη ἀπέκοψε παραστάς.
ἔνθ' Ἀντήνορος υἷες ὑπ' Ἀτρεΐδῃ βασιλῆι
πότμον ἀναπλήσαντες ἔδυν δόμον ἌϜιδος εἴσω.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλέετο στίχας ἀνδρῶν 264 sq. = 540 sq. 264ᵇ = Δ 231
ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι,

---

237 μόλιβος] μόλυβος mavult vHerwerden ‖ 239 *εἷλκ'] ἕλκ' ‖ 242 οἰκτρός, ἀπὸ] Nauck οἶος ἄτερ coniecit ‖ 246 *Ϝ'] γ' ‖ 253 ἄντικρυς Bentley] ἀντικρὺ ‖ 254 δ' A²] τ' A¹ C D ‖ 258 *εἷλκε] ἕλκε. — ἀύτεε nº 191] -τει ‖ 260 *οὔτασσε nº 150] -τησεν ‖ 261 τοῦ δ' ἐπὶ Bentley] τοῖο δ' ἐπ' ‖ 264 ἐπεπωλέετο nº 191] -λεῖτο

XI ὄφρα ϝοι αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.
αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκος ἐτέρσετο, 'παύσατο δ' αἷμα, 267ᵇ = 848
ὀξεῖαι δ' ὀδύναι 'δῦνον μένος Ἀτρεΐδαο.
ὡς δ' ὅτε κ' ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα,
δριμὺ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι,
Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι,
ὣς ὀξεῖ' ὀδύνη 'δῦνεν μένος Ἀτρεΐδαο.
ἐς δίφρον δ' ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε 273 sq. = 399 sq.
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ. 274ᵃ = E 327 O 259
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς· 275 sq. = 586 sq. P 247 sq.
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες, 275 = Θ 227
ὕμες μὲν νῦν νηυσὶν ἀμύνετε ποντοπόροισι 276 = B 79
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητιέτα Ζεὺς
εἴασε Τρώεσσι πανημέριον πολεμίζειν."
ὣς ἔφαθ', ἡνίοχος δ' ἵμασεν καλλίτριχας ἵππους 280 sq.ᵃ cf. P 624 sq.
νῆας ἔπι γλαφυράς· τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην·
στήθεα δ' ἤφριζον, 'ραίνοντο δὲ νέρθε κονίῃ,
τειρόμενον βασιλῆα μάχης ἀπάνευθε φέροντες.

Ἕκτωρ δ' ὡς ἐνόησ' Ἀγαμέμνονα νόσφι κιόντα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας· 285-287 = O 485 sqq.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 285 sq. = O 424 sq.
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς. 286 sq. = Θ 173 sq.
οἴχετ' ἀνὴρ ὄχ' ἄριστος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκε 287 = Z 112
Ζεὺς Κρονίδης. ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους

---

266 ἀνήνοθεν] ex ρ 270 vHerwerden efficit Aristarcheam lectionem fuisse ἐνήνοθεν. Utrum praestet non certum est; si praepositio praefixa est, inter ἀνά et ἐν optio est difficilis, sed dubitare licet an ex *reduplicatione* nata sit prima syllaba; quod si iure suspicamur, ἀνήνοθεν erit praeferendum, siquidem cum ἄνθος cohaerere hoc verbum recte statuitur. — ὠτειλῆς] vid. Δ 140 ‖ 269 *ὅτε κ'] ὅτ' ἂν ‖ 272 ὀδύνη 'δῦνεν Bentley] ὀδύναι δῦνον. Vulgatam corruptam esse ex ultima syllaba vocis ὀξεῖαι elisa satis apparet, nominativi enim pluralis in -αι (et -οι) non decurtantur elisione; nec tamen plane certa est Bentlei correctio, quam suadet versus 398 sed dubiam reddit 268. Ecquid *ὣς ὀδύναι ὀξεῖαι ἔδυν? Delent versum et in 269 ὡς pro ὡς δ' scribunt Cobet Christ ‖ 274 ἐλαυνέμεν C] -νειν A D ‖ 275 γεγωνώς] nº 260 ‖ 277 *ὕμες] ὑμεῖς ‖ 278 φύλοπιν] *φυλόπιδ'? cf. nº 66 ‖ 281 ἀϝέκοντ'] ἄκοντε meliores ‖ 282 *στήθεα δ' ἤφριζον] ἄφρεον δὲ στήθεα, metro horrido. Nauck στήθεα δ' ἀφρίαον, Christ στήθεα δ' ἀφρεέτην. Lenior videtur nostra correctio, cf. Soph. El. 719; in Apoll. lex. ἄφρεον per ἤφριζον redditur ‖ 288 *ὄχ' ἄριστος nº 9] ὤριστος

XI ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρησθε."
ὣς Ϝειπὼν ὤτρυνε μένος θυμόν τε Ϝεκάστου. 291 = Ε 470
ὡς δ' ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας
σεύῃ ἐπ' ἀγροτέρῳ συΐ καπρίῳ ἠὲ λέοντι,
ὣς ἐπ' Ἀχαιοῖσιν 'σεῦε Τρῶας μεγαθύμους
Ἕκτωρ Πριαμίδης, βροτολοιγῷ Ϝῖσος Ἄρηι. 295ᵇ = Ν 802 ϑ 115 cf. Μ 130 Υ 46
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει,
ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραέι Ϝῖσος ἀέλλῃ,
ἥ τε καθαλλομένη ϜιοϜειδέα πόντον ὀρίνῃ.
ἔνθα τίνα πρῶτον, τίνα δεύτατον ἐξενάριξε 299 cf. Ε 703
Ἕκτωρ Πριαμίδης, ὅτε Ϝοι Ζεὺς κῦδος ἔδωκε; 300 = Θ 216 Τ 204
Ἀσαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην
καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ' Ἀγέλαον
Αἴσυμνόν τ' Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα
πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ
ἀργεστᾶο Νότοιο, βαθείῃ λαίλαπι θύων.
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόσε δ' ἄχνη
σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο Ϝιωῆς.
ὣς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι 'δάμνατο λαῶν.
ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα Ϝέργ' ἐγένοντο, 310 = Θ 130
καί νύ κεν ἐν νήεσσ' ἔπεσον φεύγοντες Ἀχαιοί,
εἰ μὴ Τυδεΐδῃ Διομήδεϊ 'κέκλετ' Ὀδυσσεύς·
„Τυδεΐδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο· δὴ γὰρ ἔλεγχος 314ᵃ = Ρ 179 χ 233
ἔσσεται, εἴ κεν νῆας ἕλῃ κόρυθ' αἰόλος Ἕκτωρ."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
„ἦ τοι ἐγὼ μενέω καὶ τλήσομαι· ἀλλὰ μίνυνθα
ἥμων ἔσσεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς

290 ὑπέρτερον] -ροι Ar. ‖ 291 θυμόν τε Bentley] καὶ θυμὸν ‖ 292 πού τις] *τίς ποθι? ‖ 293 σεύῃ] -ει C ‖ 297 ὑπεραέι Ar. codd.] l. a. ὑπὲρ οὔρεος ‖ 298 *ὀρίνῃ] -νει ‖ 299 δεύτατον Naber] δ' ὕστατον, cf. Ε 703 ‖ 300ᵇ] βροτολοιγῷ ἶσος Ἄρηι A ‖ 304 ἕλεν] *εἷλ'? ‖ 305 νέφεα Ζέφυρος] inverso ordine cum Vind. Stuttg. Strab. I 29 mavult Christ. — στυφελίξῃ A D] -ξει C, cf. nº 122 ‖ 306 βαθείῃ] βαρείῃ Nauck, quod tamen adiectivum de procella usurpatum non invenitur; vulgata coll. vs. 747 et ι 144 ferri posse videtur. — θύων Nauck] τύπτων ‖ 310 ἔργ' ἐγένοντο Vind.] ἔργα γένοντο ‖ 311 νήεσσ' ἔπεσον] νήεσσι πέσον ‖ 314 ἵστασο] Zen. Ar. ἵσταο? vid. Κ 291 ‖ 315] l. a. εἴ κεν Τρῶες (ἀγαυοί? Ludwich) νῆας ἕλωσι ‖ 318 *ἥμων] ἡμέων. — ἦδος] sine Ϝ; vid. ad Α 576

XI *Τρωσὶν δὴ βόλεται δόμεναι κράτος ἠέ περ ἧμιν.”*
*ἦ, καὶ Θυμβραῖον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,* 320 cf. 143
*δουρὶ βαλὼν κατὰ μαζὸν ἀριστερόν. αὐτὰρ Ὀδυσσεὺς*
*ἀντίθεον θεράποντα Μολίονα τοῖο Ϝάνακτος.*
*τοὺς μὲν ἔπειτ' εἴασαν, ἐπεὶ πολέμοι' ἀπέπαυσαν·*
*τὼ δ' ἀν' ὅμιλον ἰόντ' ἐκυδοίμεον, ὡς ὅτε κάπρω*
*ἐν κυσὶ θηρητῆρσι μέγα φρονέοντε πέσητον·*
*ὣς ὄλεκον Τρῶας πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ*
*ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον.*
*ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω,*
*υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων* 329-332 = *Β* 831 sqq.
*'Ϝείδεε μαντοσύνας, οὐδὲ Ϝοὺς παῖδας ἔασκε*
*στειχέμεν' ἐς πόλεμον φθισήνορα· τὼ δέ Ϝοι οὔ τι*
*'πειθέσθην, κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.*
*τοὺς μὲν Τυδεΐδης δουρὶ κλειτὸς Διομήδης*
*θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε' ἀπέϜρα·*
*Ἱππόδαμον δ' Ὀδυσεὺς καὶ Ὑπείροχον ἐξενάριξε.*
*ἔνθα σφιν κατὰ Ϝῖσα μάχην ἐτάνυσσε Κρονίων*
*ἐξ Ἴδης καθορῶν· τοὶ δ' ἀλλήλους ἐνάριζον.*
*ἦ τοι Τυδέος υἱὸς Ἀγάστροφον οὔτασε δουρὶ*
*Παιονίδην ἥρωα κατ' ἰσχίον· οὐδέ Ϝοι ἵπποι*
*ἐγγὺς ἔσαν προφυγεῖν, ἀάσσατο δὲ μέγα θυμῷ.*
*τοὺς μὲν γὰρ θεράπων ἀπάνευθ' ἔχεν, αὐτὰρ ὃ πεζὸς* 341ᵃ cf. *Δ* 227
*'θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν.* 342 = *Υ* 412
*Ἕκτωρ δ' ὀξὺ 'νόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς* 343ᵇ sq. = *Ε* 590 sq.
*κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες.*
*τὸν δὲ Ϝιδὼν 'ρίγησε βοὴν ἀγαθὸς Διομήδης,* 345 = *Ε* 596
*αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·* 346 = *χ* 163 cf. *Ι* 201 *Δ* 464 *Ρ* 484 *χ* 355

---

319 *βόλεται* Ar. A] forma suspecta; *βούλεται* C D, metro invito; **Τρωσὶ κράτος δόμεναι δὴ βούλεται*? vid. tamen (*α* 234 et) *π* 387. — *δόμεναι* nº 125] *δοῦναι*. — **ἧμιν*] *ἡμῖν* ‖ 323 *πολέμοι'* nº 59] *-μου*. — *εἴασαν . . . ἀπέπαυσαν*] *-σεν* D ‖ 325 *θηρητῆρσι*] codd. *θηρευτῆσι*, cf. *Μ* 41; Ar. utrumque. Vox *θηρητήρ* apud Hom. compluribus locis extat, *-τής* nonnisi his duobus invenitur ‖ 326 *πάλιν*] *retro* minus commodum; *e fuga denuo in hostem conversi* explicant schol. ‖ 330 *'Ϝείδεε*] *ᾔδεε*. — *οὐδὲ Ϝοὺς*] *οὐδ' ἑοὺς* codd. male, in *ἑϜούς* enim prior syllaba nullo pacto produci potest. Item *Β* 832 ‖ 331 *στειχέμεν* Nauck] *-χειν* ‖ 333 *κλειτός*] *κλυτὸς* A C D ‖ 334 *ἀπέϜρα* nº 150] *ἀπηύρα* ‖ 339 *οὐδέ οἱ* Vind.] *οὐ γάρ οἱ*, l. a. *οὐδὲ γάρ* ‖ 340 *ἀάσσατο* nº 295] *ἀάσατο* codd. ‖ 341 *ἔχεν*] **εἶχ'*? ‖ 342 *ἧος* nº 323] *εἵως* ‖ 344 *κεκληγώς*] **-γγώς*? ‖ 345 *'ρίγησε*] *ἐνόησε* C (cf. vs. 599)

XI „νῶιν δὴ τόδε πῆμα κυλίνδεται, ὄβριμος Ἕκτωρ·
ἀλλ' ἄγε δὴ στάομεν καὶ ἀλεξώμεσθα μένοντες.“ 348 = Χ 231
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 349 = Γ 355
καὶ 'βάλεν οὐδ' ἀφάμαρτε, τιτυσκόμενος κεφαλῆφι,
ἄκρην κὰκ κόρυθα· 'πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκὸς,
οὐδ' ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
τρίπτυχος αὐλῶπις, τήν Ϝοι 'πόρε Φοῖβος Ἀπόλλων. 353ᵇ = Α 72
Ἕκτωρ δ' ὦκ' ἀπέλεθρον ἀνέδραμε, 'μῖκτο δ' ὁμίλῳ, 354ᵇ = Π 813
'στῆ δὲ γνὺξ ἐριπὼν καὶ ἐδράξατο χειρὶ παχείῃ 355 cf. Ε 309; 355ᵃ = Θ 329
γαίης· ἀμφὶ δέ Ϝ' ὄσσε κελαινὴ νὺξ ἐκάλυψε. 356 = Ε 310
ὄφρα δὲ Τυδεΐδης μετὰ δούρατος ᾤχετ' ἐρωὴν
τῆλε διὰ προμάχων, ὅθι Ϝοι κατεϜίσατο γαίης,
τόφρ' Ἕκτωρ ἄμπνυτο, καὶ ἂψ ἐς δίφρον ὀρούσας
ἐξέλασ' ἐς πληθὺν καὶ ἀλεύατο κῆρα μέλαιναν.
δουρὶ δ' ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης· 361 = Κ 369
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι 362-367 = Γ 449 sqq.
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ ποθί τις καὶ ἐμοί γε θεῶν ἐπιτάρροθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιϜίσομαι, ὅν κε κιχήω.“
ἦ, καὶ Παιονίδην δουρὶ κλυτὸν ἐξενάριξε.
αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 369ᵇ = Γ 329
Τυδεΐδῃ ἔπι τόξ' ἐτιταίνετο, ποιμένι λαῶν,
στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
Ϝίλου Δαρδανίδαο, παλαιοῦ δημογέροντος.
ἦ τοι ὃ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
ἤνυτ' ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ' ὤμων

356 (immo 355 et 356) Zen. om., Aristoph. Ar. —

348 *στάομεν* LMeyer, cf. nº 122] *στέωμεν* meliores, *στέομεν* Eust. Mosc., quod recepit Christ; sed analogia poscit *α*, cf. *ἑσταότος* et vid. nº 17. — *μένοντες*] *μένοντε* Zen. Cf. *P* 721 ‖ 355 **ἐδράξατο*] *ἐρείσατο*; cf. *E* 309 ‖ 356 *Ϝ'* vHerwerden] cf. vs. 417 *E* 310 ‖ 358 **κατεϜίσατο*] *καταείσατο*. — *γαίης*] *γαίῃ* C alii ‖ 359 *ἄμπνυτο*] *ἔμπνυτο* Aristarchum scripsisse putat LaRoche coll. *E* 697 ‖ 363 *ἐρύσατο*] a *ῥύομαι* *tueor*, a nonnullis sine causa sollicitatum ‖ 365 *ἐξανύω*] cf. nº 147 ‖ 366 *ποθί* nº 322] *πού*. — *ἐστι*] l. a. *εἴη* ‖ 367 *νῦν*] *νῦν δ'* D. — **ἐπιϜίσομαι*] *ἐπιείσομαι*. — *κιχήω* nº 122] *κιχείω* ‖ 368 *ἐξενάριξεν* Zen. C D] -*ξεν* Ar. A ‖ 370 **τόξ' ἐτιταίνετο*] *τόξα τιτ*. ‖ 371 *τύμβῳ*] *ἔργῳ* C ‖ 374 **ἤνυτ'*] *αἴνυτ'*

XI καὶ κόρυθα βριαρήν· ὃ δὲ τόξου πῆχυν ἀνεῖλκε 375ᵇ = Ν 583
καὶ 'βάλεν, οὐδ' ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρὸς, 376ᵇ = Ε 18 Π 480
ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ' ἀμπερὲς ἰὸς
ἐν γαίῃ κατέπηκτο. ὃ δὲ μάλα Ϝηδὺ γελάσσας
ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος Ϝέπος ηὔδα·
„βέβλησ', οὐδ' ἅλιον βέλος ἐξέφυγ'· ὡς ὄφελόν τοι
νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι.
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
οἵ τέ σε πεφρίκασι, λέονθ' ὡς μηκάδες αἶγες."
τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης· 384 = Ε 286
„τοξότα, λωβητὴρ, κέρα' ἀγλαὲ, παρθενοπῖπα,
εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθήῃς,
οὔ κέν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί·
νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.
οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάις ἄφρων·
κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.
ἦ τ' ἄλλως ὑπ' ἐμεῖο, καὶ εἴ κ' ὀλίγον περ ἐπαύρῃ,
ὀξὺ βέλος πέλεται, καὶ ἀκήριον αἶψα τίθησι·
τοῦ δὲ γυναικὸς μέν τ' ἀμφίδρυφοί εἰσι παρειαὶ,
παῖδες δ' ὀρφανικοί· ὃ δέ θ' αἵματι γαῖαν ἐρεύθων
πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες."
ὣς φάτο, τοῦ δ' Ὀδυσεὺς δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
ἔστη πρόσθ'. ὃ δ' ὄπισθε καθεζόμενος βέλος ὠκὺ
ἐκ ποδὸς εἷλκ', ὀδύνη δὲ διὰ χροὸς ἦλθ' ἀλεγεινή·

---

375 ἀνεῖλκε CD] ἄνελκεν A ‖ 376 μιν] cf. Ε 385. Sed Ϝοι iure postulare videtur Christ ‖ 378 κατέπηκτο] forma singularis; probabiliter Nauck γαίῃ ἐνεστήρικτο coll. Φ 168 ‖ 380 βέβλησ' nº 117] βέβληαι. — *ἐξέφυγ'] ἔκφυγεν ‖ 385 *κέρα'] id est κέραϊ; κέραι Ar. A, κέρα (plur.) D. De *arcu* κέρας accipiebat Aristarchus („Aristoteles" cod., correxit Spitzner); rectius glossographi de *cincinnis* (qui πλοχμοί vocantur Ρ 52) intellexerant, cf. Γ 55; sic Archilochus κεροπλάστην appellavit iuvenem delicatulum (fr. 59 Bergk, schol. Ω 81). Vid. praeterea Helbig Epos p. 166. Plane vero ridicule Aristoteles (vel quisquis fuit) ap. Eustathium et Et. M. 531, 29 contendit voce κέρας designari τὸ αἰδοῖον, qui tamen suos sectatores invenit, vid. Meleagri epigramma 5. — παρθενοπῖπα] absurde quidam παρθενοπῖα (= παρθένοις ἐοικώς!); vocem nonnisi h. l. lectam cum ὀπιπεύειν cohaerere palam est ‖ 386 δὴ ἀντίβιον] nº 8; cf. vs. 138. — *πειρηθήῃς] -θείης ‖ 387 *οὔ κεν] οὐκ ἄν ‖ 388 ταρσὸν] -σῷ Apoll. lex. ‖ 391 ἐπαύρῃ Ar. codd.] l. a. -ρω ‖ 392 πέλεται] πέτεται Eustath. recte ut videtur, cf. Υ 99; in vulgata vix explicari potest ὑπό. — αἶψα] ἄνδρα Ar. ‖ 394 δ' $A^1$] τ' $A^2$ CD ‖ 397 ὠκὺ] l. a. ὀξὺ ap. Eustath., quod de telo vulneri iam inhaerenti aptius videtur

XI ἐς δίφρον δ' ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε 399 sq. = 273 sq.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν', ἤχθετο γὰρ κῆρ.
φώθη δ' Ὀδυσεὺς δουρὶ κλυτὸς, οὐδ' ἔτι τίς ϝοι
Ἀργεΐων παρέμεινεν, ἐπεὶ τρόμος ἔλλαβε πάντας·
ὀχθήσας δ' ἄῤ ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 403 = Ρ 90 Σ 5 Υ 343 etc.
„ὤ μοι ἐγὼ, τί πάθω; μέγα μὲν κακὸν, αἴ κε φέβωμαι 404ᵃ = ε 465
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον, αἴ κε ϝαλώω
μοῦνος· τοὺς δ' ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 407 = Ρ 97 Φ 562 Χ 122, 385
ϝοῖδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃς δέ κ' ἀριστεύῃσι μάχῃ ἔνι, τὸν μάλα χρηὼ
ἑστάμεναι κρατερῶς, ἤ τ' ἔβλητ' ἤ τ' ἔβαλ' ἄλλον."
ἧος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν, 411 = Λ 193
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων, 412 = Δ 221
'ϝέλσαν δ' ἐν μέσσοισι μετὰ σφίσι πῆμα τιθέντες.
ὡς δ' ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ' αἰζηοὶ
σεύωνται, ὃ δέ τ' εἶσι βαθείης ἐκ ξυλόχοιο 415ᵇ = Φ 573
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσι,
ἀμφὶ δέ ϝ' ἀίσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων 417ᵇ = Μ 149
γίγνεται, οἳ δὲ μένουσιν ἄφαρ, δϝεινόν περ ἐόντα·
ὣς ῥα τότ' ἀμφ' Ὀδυσῆα Διὶ φίλον ἐσσεύοντο
Τρῶες. ὃ δὲ πρῶτον μὲν ἀμύμονα Δηιοπίτην
οὔτασεν ὦμον ὕπερθ' ἐπιάλμενος ὀξέι δουρὶ,
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε·
Χερσιδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀίξαντα 423 cf. Υ 401

400 ἤχθετο γὰρ κῆρ] l. a. ὠκέας ἵππους || 401 *φώθη] οἰώθη. — *οὐδ' ἔτι τίς ϝοι] οὐδέ τις αὐτῷ. Praeierat IMHoogvliet corrigendo οὐδ' ἔτι ϝοί τις || 402 τρόμος Duentzer] φόβος codd.; vid. lectio Zenodoti Σ 247 Τ 14 et quae adnotavimus ad Ο 327 || 403 *ἄῤ ἔϝειπε] ἄρα εἶπε. — *ποτὶ] πρὸς ὃν codd. vitiose pro ϝόν. Bentley et Bekker ϝεῖπε ϝεὸν (immo -πεν ἑϝὸν) coll. Μ 60, 210 al., sed praepositio non videtur abicienda; Heyne ἔφη πρὸς ϝόν. Redit vitium locis parallelis. Quod olim conieceramus 'ϝεῖπε δ' ἄῤ ὀχθήσας πρὸς ϝὸν etc. scribere noluimus, vix enim credibile videtur constanter perturbata esse verba huius versus formularii; quamquam versus Ρ 200 et 442 huic coniecturae favere videntur || 409 *τὸν μάλα χρηὼ, cf. nº 8] τὸν δὲ (vel τόνδε) μάλα χρεώ. LMeyer τὸν δὲ μάλα χρή; cf. Ι 197 || 411 ἧος nº 323] ἕως || 413 δ' ἐν] δὲ Nauck. — τιθέντες] δὲ ἕλσαν Zen. || 415 σεύωνται A D] -ονται C || 417 δέ ϝ' vHerwerden] δέ τ' D, τε A, τ' C. Cf. vs. 356 Ε 310 || 421 *ὕπερθ' ἐπιάλμενος] ὕπερθεν ἐπάλμενος, l. a. ὕπερθε μετάλμενος. — δουρὶ] l. a. χαλκῷ || 422 Ἔννομον] Ὅρμενον C || 423 ἀίξαντα A D] ἀίσσοντα C

XI δουρὶ κατὰ πρότμησιν ὑπ' ἀσπίδος ὀμφαλοέσσης
'νύξεν, ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 425ᵇ = Ν 508, 520 Ξ 452 Ρ 315
τοὺς μὲν ἔασ', ὃ δ' ἄρ' Ἱππασίδην Χάροπ' οὔτασε δουρί,
αὐτοκασίγνητον ἐυηφενέος Σώκοιο.
τῷ δ' ἐπαλεξήσων Σῶκος 'κίε, Ϝισόθεος φώς·
'στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καί μιν πρὸς μῦθον ἔϜειπε·
„ὦ 'Οδυσεῦ πολύαινε, δόλων ἆατ' ἠδὲ πόνοιο,
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι,
τοιώδ' ἄνδρε κατακτείνας καὶ τεύχε' ἀποϜράς,
ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς." 433 cf. Μ 250 Π 861 Σ 92
ὣς Ϝειπών Ϝ' οὔτασσε κατ' ἀσπίδα πάντοσ' ἐϜίσην. 434 = Ρ 43
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος, 434ᵇ-436 = Γ 356 sqq.
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
πάντα δ' ἀπὸ πλευρῶν χρό' ἐϜέργαθεν, οὐδέ Ϝ' ἔασε
Παλλὰς Ἀθηναίη μιχθήμεναι ἔγκασι φωτός.
'γνῶ δ' 'Οδυσεὺς ὅ Ϝοι οὔ τι βέλος κατὰ καίριον ἦλθε,
ἂψ δ' ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔϜειπε·
„ἆ δϜείλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ἦ τοι μὴν ἔμ' ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι·
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν 443 = Ε 652
ἤματι τῷδ' ἔσσεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα 444ᵇ sq. = Ε 653 sq.
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' ἌϜιδι κλυτοπώλῳ."
ἦ, καὶ ὃ μὲν φύγαδ' αὖτις ὑποστρέψας ἐβεβήκει, [sq.
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε 447 sq. = Θ 258
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 447ᵇ sq. = Ε 40 sq.

---

424 *πρότμησιν* Ar. codd.] l. a. *πρόσμησιν* (aut *πρότμηστιν*). Vox aliunde ignota; ***ventris pars inferior?*** ‖ 427 *ἐυηφενέος*] *ἐυηγενέος* codd. contra linguae indolem. Veram lectionem Rhianus et Aristophanes habebant Ψ 81, et hoc quoque loco igitur habuisse Nauck (Aristoph. Byz. p. 50) statuit. Ex *εὐ* et *ἄφενος*, ut bene Clearchus in Glossis explicabat, formatur *εὐηφενής*, cf. *κατηρεφής ὑπήνεμος πολυηγερέες* cet. Vitiosam lectionem *-γενέος* imitantur h. Ven. 94 et 230 (cf. Eur. Ion. 242 Hel. 136), Pseudo-theocrit. XXVII 41 ‖ 430 *ἆατ'* LMeyer] *ἆτ'* ‖ 431 *Ἱππασίδῃσι*] l. a. *-δην*, cf. nº 52 ‖ 432 *ἀποϜράς* nº 150] *ἀπουράς* ‖ 433 *ὀλέσσῃς*] *-σσεις* D, cf. nº 122 ‖ 434 *Ϝ' *οὔτασσε*] *οὔτησε*. Vid. τ 452 et cf. nº 150 ‖ 435 *διά*] cf. nº 22 ‖ 437 **χρό' ἐϜέργαθεν*] *χρόα ἔργαθεν* Zen. codd., *χροὸς ἔργαθεν* Ar.; cf. ad Ε 337. — *Ϝ'] *τ'*; cf. ad Δ 315 ‖ 439 *ὅ Ϝοι*] *ὅτι* C. — *βέλος* Zen. C D] *τέλος* Ar. A. Lectionem Zenodoti, cui favet Δ 185, damnavit Ar. quod non iactu sed ictu vulneratus esset Ulixes; atqui hasta, quae torqueri solet, tum quoque recte *βέλος* dici posse videtur cum quis in pugna stataria ea percutitur. Ar. *τέλος κάτα καίριον* iungebat, subiectum *τὸ ἔγχος* mente supplens. — *κατὰ καίριον* Ar. C] *κατακαίριον* A D ‖ 442 *μήν* Bekker, cf. nº 18] *μέν* A C, *μέν ῥ'* D

XI 'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο δῖος Ὀδυσσεύς· 449 cf. *N* 373 *Y* 388
„ὦ Σῶχ', Ἱππάσου υἱὲ δαΐφρονος ἱπποδάμοιο,
'φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξας.
ἆ δϝειλ', οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ
ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ' οἰωνοὶ
ὠμεσταὶ ϝερύουσι, περὶ πτερὰ πυκνὰ βαλόντες. 454ᵃ = *X* 67
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτερίσουσί γε δῖοι Ἀχαιοί."
ὣς ϝειπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος
ἔξω τε χροὸς εἷλκε καὶ ἀσπίδος ὀμφαλοέσσης·
αἷμα δέ ϝοι σπασθέντος ἀνέσσυτο, 'κῆδε δὲ θυμόν.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ 'ϝίδον αἷμ' Ὀδυσῆος,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν. 460 = *N* 332
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, αὖε δ' ἑταίρους. 461 cf. *P* 108
τρὶς μὲν ἔπειτ' ἤυσεν ὅσον κεφαλὴ 'χάδε φωτός,
τρὶς δ' ἄιεν ϝιϝάχοντος Ἄρηι φίλος Μενέλαος,
αἶψα δ' ἄρ' Αἴαντα προσεφώνεεν ἐγγὺς ἐόντα· 464 cf. 346
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 465 = *H* 234
ἀμφί μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετ' ἀυτή,
τῷ ϝικέλη ὡς εἴ ϝε βιῴατο μοῦνον ἐόντα
Τρῶες ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ.
ἀλλ' ἴομεν καθ' ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
δέδϝια μή τι πάθῃσιν ἐνὶ Τρώεσσιν οἰωθείς, 470ᵃ = *P* 242ᵇ *δ* 820ᵇ
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται."
ὣς ϝειπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ϝισόθεος φώς. 472 = *O* 559 *Π* 632
ηὗρον ἔπειτ' Ὀδυσῆα Διὶ φίλον· ἀμφὶ δ' ἄρ' αὐτὸν 473ᵇ-475 cf. *Π* 156 sqq.
Τρῶες ἕπον, ὡς εἴ τε δαφοινοὶ θῶες ὄρεσφι
ἀμφ' ἔλαφον κεραὸν βεβλημένον, ὅν τ' ἔβαλ' ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς· τὸν μέν τ' ἤλυξε πόδεσσι

---

451 *τέλος* Ar. codd.] *βέλος* Zen. male. Cf. vs. 439 ‖ 454 *ὠμεσταὶ* Wackernagel] *ὠμησταὶ* Ar. codd. — *ἐρύουσι* Ar. A C D, cf. nº 147] *ἐρύσουσι* dett., *ἐρυοῦσι* Alexio ‖ 455 *ἔμ' εἴ κε* Ar.] *ἐπεί κε.* — *κτερίσουσι* nº 147 et 210] *κτεριοῦσι.* — *γε* Spitzner] *με*; fortasse tamen ferri poterat pronomen iteratum. Sed totum versum abesse malles ‖ 457 *εἷλκε* A C D] *ἕλκε* Ar. ‖ 458 *οἱ* Ar. codd.] *οὗ* (? — *τοῦ* Ribbeck) Zen. ‖ 459 *ἐπεὶ* C] *ὅπως* A D. Lectio *ὅπως ἴδον*, ad hiatum explendum invecta, recurrit *M* 208 *γ* 373 *χ* 22 ‖ 461 *ἀνεχάζετο, αὖε*] Fick *ἀνεχάζετ' ἄυε* metro invito ‖ 466 *ἵκετ' ἀυτὴ* Ar.] *ἵκετο φωνὴ* meliores ‖ 467 *ϝε βιῴατο*] *βιαοίατο* Fick; cf. nº 191 ‖ 470 *δέδϝια* nº 168] *δείδω.* — *πάθῃσιν ἐνὶ*] *πάθῃσι μετὰ* dett. — **Τρώεσσιν οἰωθεὶς*] *Τρώεσσι μονωθεὶς* codd. male, nam Homericum est *μουν.*; in *οἰωθεὶς* (cf. vs. 401 *Z* 1) corripitur prima syllaba, cf. nº 17; minus placet *Τρώεσσ' οἰωθεὶς* ‖ 474 *ἕπον*] *ἕπονθ'* codd.; ex vs. 483 correxit LaRoche

XI φεύγων, ὄφρ' αἷμα λιαρὸν καὶ γούνατ' ὀρώρῃ·
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάσσεται ὠκὺς ὀιστὸς,
ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσι
ἐν νέμεϊ σκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
σίντην· θῶες μέν τε διέτρεσαν, αὐτὰρ ὃ δάπτει·
ὣς ῥα τότ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν — 482 = χ 115, 281
Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ' ἥρως
ἀίσσων ἑϝῷ ἔγχε' ἀμύνετο νηλεὲς ἦμαρ.
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠύτε πύργον, — 485 = Η 219
'στῆ δὲ παρ' ἔξ· Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος. — 486 cf. Ρ 729
ἦ τοι τὸν Μενέλαος ἀρήιος ἔξαγ' ὁμίλου
χειρὸς ἔχων, ἧος θεράπων σχεδὸν ἤλασεν ἵππους.
Αἴας δὲ Τρώεσσ' ἐπιάλμενος εἷλε Δόρυκλον
Πριαμίδην, νόθον υἱὸν, ἔπειτα δὲ Πάνδοκον οὖτα,
οὖτα δὲ Λύσανδρον καὶ Πύρασον ἠδὲ Πυλάρτην.
ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι
χειμάροος κατ' ὄρεσφιν, ἀεξόμενος Διὸς ὄμβρῳ,
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας
ἐσφέρεται, πολλὸν δέ τ' ἀφυσγετὸν εἰς ἅλα βάλλει,
ὣς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας
δαΐζων ἵππους τε καὶ ἀνέρας. οὐδέ πω Ἕκτωρ
'πεύθετ', ἐπεί ῥα μάχης ἐπ' ἀριστερὰ 'μάρνατο πάσης,
ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου, τῇ ῥα μάλιστα
ἀνδρῶν 'πίπτε κάρηνα, βοὴ δ' ἄσβεστος ὀρώρει — 500ᵇ = Ν 169, 540 Π 267 cf. Λ 539
Νέστορά τ' ἀμφὶ μέγαν καὶ Ἀρήιον Ἰδομενῆα.
Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλεε μέρμερα ῥέζων
ἔγχεϊ θ' ἱπποσύνῃ τε, νέων δ' ἀλάπαζε φάλαγγας·
οὐδέ κε πω 'χάζοντο κελεύθου δῖοι Ἀχαιοί, — 504 cf. Μ 262

---

477 ὀρώρῃ] -ρει D ‖ 480 σκιερῷ] γλαφυρῷ Zen. inepte ‖ 482 ποικιλόμητιν Vind. Mosc.] -την ACD ‖ 483 ἕπον] ἕποντο D (ἕποντο πολεῖς Bentley). Cf. vs. 474 ‖ 484 ἑϝῷ (ἕϝῳ) Fick, cf. nº 17] ᾧ. — *ἔγχε' nº 71] ἔγχει ‖ 488 ἔχων] ἑλὼν Townl., ut vs. 646 et saepe. — ἧος nº 323] εἵως ‖ 489 *Τρώεσσ' ἐπιάλμενος] -σσιν ἐπάλμ. ‖ 492 κάτεισι] δίηται Zen. ‖ 493 *χειμάροος nº 61] χειμάρρους. — ἀεξόμενος Nauck] ὀπαζόμενος ‖ 496 τότε] κάτα Barnes, recte ut videtur. Nam iungi nequit κλονέων πεδίον, sed ordo est ἔφεπε (Τρῶας) πεδίον, *per planitiem*, id vero aut genitivo πεδίοιο aut per praepositionem est significandum; cf. ἂμ πεδίον Ε 96 ‖ 497 δαΐζων] δηιόων Nauck ‖ 499 Σκαμάνδρου] -δροο? cf. nº 59 ‖ 502 ὁμίλεε nº 191] -λει ‖ 503 νέων] νεῶν Ar. aliique grammatici, τὰς πρὸ τῶν νεῶν τάξεις admodum contorte interpretati ‖ 504 οὐδέ κε] οὐδ' ἄν. — κελεύθου] -θοο? nº 59

XI εἰ μὴ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 505ᵇ = Γ 329
'παῦσεν ἀριστεύοντα Μαχάονα, ποιμένα λαῶν,
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον.
τῷ ῥα περίδϝεισαν μένεα πνείοντες Ἀχαιοί,
μή πώς μιν πολέμοιο μετακλινθέντος ἕλοιεν.
αὐτίκα δ' Ἰδομενεὺς προσεφώνεε Νέστορα δῖον·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 511 = Κ 87
ἄγρεε, σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων
βαινέτω, ἐς νῆας δὲ τάχιστ' ἔχε μώνυχας ἵππους·
ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων."
ὣς ἔφατ', οὐδ' ἀπίθησε γερήνιος ἱππότα Νέστωρ· 516 = Θ 112
αὐτίκα ϝῶν ὀχέων ἐπεβήσετο, πὰρ δὲ Μαχάων
'βαῖν', Ἀσκληπιοῦ υἱὸς ἀμύμονος ἰητῆρος· 518ᵇ = Δ 194
'μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην 519 sq. = Κ 530 sq.
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Κεβριόνης δὲ Τρῶας ὀρινομένους ἐνόησε
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔϝειπε·
„Ἕκτορ, νῶι μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσι
ἐσχατιῇ πολέμου δυσϝηχέος· οἳ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων,
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἧμες
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε κακὴν ἔριδα προφέροντες 529 cf. Γ 7
ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρε." 530ᵇ cf. 500
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους 531 = ε 380
μάστιγι λιγυρῇ· τοὶ δὲ πληγῆς ἀίοντες
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς, 533 = Ρ 458
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων 534ᵇ-537ᵃ = Υ 499 sqq.
νέρθεν ἅπας 'πεπάλακτο καὶ ἄντυγες, αἳ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον

---

515 ἰούς τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάσσειν.

515 Zen. om., Aristoph. Ar. —

---

512 ἄγρεε nº 191] ἄγρει ‖ 516 γερήνιος] cf. Β 336 ‖ 517 αὐτίκα Heyne] αὐτίκα δ' ‖ 519 ἵππους] l. a. ἐλάαν, cf. Κ 530. — ἀϝέκοντ'] ἀέκοντε Lips., ἄκοντε ceteri ‖ 524 πολέμου Bekker] -οιο ‖ 527 *ἧμες] ἡμεῖς ‖ 528 κεῖσ'] κεῖθ' Zen. ‖ 529 προφέροντες Nauck, coll. Γ 7] προβαλόντες ‖ 530 ὄρωρε] ὀρώρει D ‖ 536 ὁπλέων] nº 56; ecquid *ἀφ' ὁπλάων ἵππων?

XI αἴ τ' ἀπ' ἐπισσώτρων. ὃ δ' ἐϜίετο δύμεν' ὅμιλον
ἀνδρόμεον ῥῆξαί τ' ἐπιάλμενος· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ 'χάζετο δουρός.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλέετο στίχας ἀνδρῶν 540 sq. = 264 sq.
ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι,
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε·
'στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος 'βάλεν ἑπταβόειον,
'τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ϜεϜοικώς, 546ᵃ = Ρ 603
ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων.
ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται, 549 = Ο 272
οἵ τέ μιν οὐκ ἐάουσι βοῶν ἐκ πῖαρ ἑλέσθαι 550-555 = Ρ 659 sqq.
πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρεάων ἐρατίζων 551ᵃ cf. υ 53
ἰθύει, ἀλλ' οὔ τι πρήσσει, θαμέες γὰρ ἄκοντες 551ᵇ cf. h. Merc. 64
ἀντίον ἀίσσουσι θρασειάων ἀπὸ χειρῶν, 553ᵇ = 571 Ν 134 Ο 314 Ψ 714 ε 434
καιόμεναί τε δεταί, τάς τε τρέει ἐσσύμενός περ,
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ·
ὣς Αἴας τότ' ἀπὸ Τρώων τετιημένος ἦτορ
ἤιε, πόλλ' ἀϜέκων· περὶ γὰρ 'δϜίε νηυσὶν Ἀχαιῶν. 557ᵃ = Ρ 666 557ᵇ = Ι 433
ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶς ἐϜάγη,
κείρει τ' εἰσελθὼν βαθὺ λήιον· οἳ δέ Ϝε παῖδες
τύπτουσι ῥοπάλοισι, βίη δέ τε νηπίη αὐτῶν,
σπουδῇ τ' ἐξήλασσαν, ἐπεί τ' ἐκορέσσατο φορβῆς·
ὣς τότ' ἔπειτ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
Τρῶες ὑπέρθυμοι πολυηγερέες τ' ἐπίκουροι 564 cf. Ζ 111

543 *Ζεὺς γάρ Ϝοι 'νεμέσα, ὅ τ' ἀμείνονι φωτὶ μάχοιτο.*
548—557 Zen. —

537 *αἴ τ'*] *αἱ δ'* Nauck. — *δύμεν'* nº 125] *δῦναι* ‖ 538 **τ' ἐπιάλμενος*] *τε ἐπάλμενος* Ar. codd., l. a. *δὲ* ‖ 539 *δουρός*] *δουρί* Ar. ‖ 540 *ἐπεπωλέετο* nº 191] *-εῖτο* ‖ 543] abest a codd., afferunt Aristoteles Rhet. II 9, Plut. Mor. 24*c*, 36*a*, Pseudo-plut. Vit. Hom. c. 132. — *νεμέσα* Plut., *νεμεσᾶθ'* Pseudo-plut., *νεμέσησ'* Aristot. ‖ 544 *ἐν*] *ἐς* Vind. male; cf. Ξ 522 et ad Ο 327 ‖ 546 *ἐφ'*] *δι'* Aristoph. — *ὁμίλου*] *-λοο*? cf. nº 59 ‖ 549 *ἐσσεύαντο* GHermann] *-οντο* Ar. (? cf. ad Ο 272) codd. ‖ 550 *ἐάουσι* nº 191] *εἰῶσι* ‖ 551 *κρεάων* Nauck, cf. nº 72] *κρειῶν* ‖ 553 *ἀντίον* Ar. CD] *-οι* A; cf. Ζ 54 ‖ 554 *τρέει* Heyne] *τρεῖ* codd. vitio metrico ‖ 558] ***asinus*** alibi apud Hom. non nominatur (sed *mulus* saepius) ‖ 560 **Ϝε*] *τε* ‖ 561 *αὐτῶν*] *αὔτως* IMHoogvliet coll. Ζ 400 ‖ 564 *πολυηγερέες* Ar.] *τηλεκλειτοί* (*-ητοί* dett.)

XI νύσσοντες ξυστοῖσι μέσον σάκος αἰὲν ἕποντο.
Αἴας δ' ἄλλοτε μὲν 'μνησάσκετο θούριδος ἀλκῆς
αὖτις ὑποστρεφθείς, καὶ ἐρητύσασκε φάλαγγας
Τρώων ἱπποδάμων· ὁτὲ δ' ἐτροπαέσκετο φεύγειν.
πάντας δὲ προέϝεργε θοὰς ἐπὶ νῆας ὁδεύειν,
αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν 'θῦνε μεσηγὺ
ἱστάμενος· τὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν — 571 sq. cf. *O* 314 sq.
ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ 'πάγεν ὅρμενα πρόσσω, — $571^{b}$ = 553
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν, — 573 sq. = *O* 316 sq.
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
τὸν δ' ὡς οὖν ἐνόησ' Εὐαίμονος ἀγλαὸς υἱὸς
Εὐρύπυλος πυκινοῖσι βιαζόμενον βελέεσσι,
'στῆ ῥα παρ' αὐτὸν ἰὼν καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ 'βάλε Φαυσιάδην Ἀπισάονα, ποιμένα λαῶν, — $578^{b}$ sq. = *N* 411 sq. *P* 348 sq.
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε·
Εὐρύπυλος δ' ἐπόρουσε καὶ ἥνυτο τεύχε' ἀπ' ὤμων. — $580^{b}$ = *N* 550
τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοϝειδὴς — 581 = *Γ* 30
τεύχε' ἀπαινύμενον Ἀπισάονος, αὐτίκα τόξον
εἷλκετ' ἐπ' Εὐρυπύλῳ, καί μιν 'βάλε μηρὸν ὀιστῷ
δεξιόν· ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
ἂψ δ' ἑτάρων ἐς ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων, — 585 = *Γ* 32
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς· — 586 sq. = 275 sq.
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
στῆτε ϝελιχθέντες καὶ ἀμύνετε νηλεὲς ἦμαρ
Αἴανθ', ὃς βελέεσσι βιάζεται, οὐδέ ϝέ φημι
φεύξεσθ' ἐκ πολέμου δυσϝηχέος. ἀλλὰ μάλ' ἄντην — 590 cf. *Σ* 307
ἵστασθ' ἀμφ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν."
ὣς ἔφατ' Εὐρύπυλος βεβλημένος· οἳ δὲ παρ' αὐτὸν
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες, — 593 = *N* 488
δούρατ' ἀνασχόμενοι. τῶν δ' ἀντίος ἤλυθεν Αἴας,
'στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ϝέθνος ἑταίρων. — 595 = *O* 591 *P* 114

---

568 δ' ἐτροπαέσκετο n° 191] δὲ τρωπάσκετο ‖ 580 *ἥνυτο] αἴνυτο ‖ 583 εἷλκετ Eustath.] ἕλκετ' A, εἷλκεν C D ‖ 585 ἐς] εἰς ‖ 586 γεγωνώς] n° 260 ‖ 588 στῆτε ϝελιχθέντες Cobet] στῆτ' ἐλελιχθέντες ‖ 589 Αἴανθ', ὃς] Αἴαντος Zen. ‖ 590 πολέμου Bekker] -οιο ‖ 592 αὐτὸν A C] αὐτῷ D ‖ 594 δούρατ'] *δοῦρά τ'? — δ' ἀντίος] l. a. δὲ σχεδὸν

XI ὣς οἳ μὲν ’μάρναντο δέμας πυρὸς αἰθομένοιο· 596 = Ν 673 Σ 1
Νέστορα δ’ ἐκ πολέμοἰ ἔφερον Νηλήιαι ἵπποι 596ᵃ = Ρ 366
ἱδρώοντ’, ἦγον δὲ Μαχάονα, ποιμένα λαῶν.
τὸν δὲ Ϝιδὼν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς, 599 cf. Π 5 Ψ 534
εἱστήκει γὰρ ἐπὶ πρυμνῇ μεγακήτεϊ νηί,
εἰσοράων πόνον αἰπὺν ἰῶκά τε δακρυόεσσαν.
αἶψα δ’ ἑταῖρον ἑϜὸν Πατροκλέεα προσέϜειπε,
φθεγξάμενος παρὰ νηός· ὃ δὲ κλισίηθεν ἀκούσας
ἔκμολε Ϝῖσος Ἄρηι, κακοῦ δ’ ἄρα Ϝοι ’πέλετ’ ἀρχή.
τὸν πρότερος προσέϜειπε Μενοιτίου ἄλκιμος υἱός·
„τίπτε με κικλήσκεις, Ἀχιλεῦ; τί δὲ χρῆος ἐμεῖο;“
τὸν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„δῖε Μενοιτιάδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ, 608ᵇ = δ 71
νῦν ὀίω περὶ γούνατ’ ἐμὰ στήσεσθαι Ἀχαιοὺς
λισσομένους· χρηὼ γὰρ ἱκάνεται οὐκέτ’ ἀνεκτός. 610 cf. Κ 118
ἀλλ’ ἴθι νῦν, Πάτροκλε Διὶ φίλε, Νέστορ’ ἔρειο,
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο. 612ᵃ cf. 650
ἦ τοι μὲν τά γ’ ὄπισθε Μαχάονι πάντα ϜέϜοικε
τῷ Ἀσκληπιάδῃ, ἀτὰρ οὐ ’Ϝίδον ὄμματα φωτός,
ἵπποι γάρ με παρήιξαν πρόσσω μεμαυῖαι.“
ὣς ’φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ’ ἑταίρῳ, 616 = Λ 345

---

596] posterior pars libri Λ, quae inde ab hoc versu incipit, longe recentior est quam ea quae praecedunt, et *Ἀγαμέμνονος ἀριστείας* nomine parum apte designatur. Christ praefixit titulum *Ὁμιλία Νέστορος καὶ Πατρόκλου* ‖ 597 *-*μοἰ ἔφερον*] -*μοιο φέρον*. — *Νηλήιαι*] -*οι* Ambr., l. a. -*ον* ‖ 598 **ἱδρώοντ’*(*ε*)] *ἱδρῶσαι*, quae nihili est forma. Bekker *ἱδρώουσ’*, at vid. ad vs. 272; *ἱδρώουσαι*, *ἄγον* Nauck, metro horridiore. Correctio nostra versu Θ 378 defendi videtur, et commode explicat Ambrosiani errorem *Νηλήιοι* vs. 597 ‖ 600 *εἱστήκει*] *ἑστ.* Ar. ‖ 601 *εἰσοράων* n° 191] -*όων*. — *ἰῶκα*] brevior accusativi forma alibi non obvia, in qua neglectum est Ϝ; Aristarchus apte comparabat *κρόκα* Hes. Oper. 538; adde *ἌϜιδος*, *ἀλκί*, *ὑσμῖνι*, cf. n° 83. Adnotaverat praeterea, a quibusdam absurde legi *ἰῶ κάτα δακρυόεσσαν* ‖ 602 -*κλέεα* n° 73] -*κλῆα*. — *προσέϜειπε*] cum hoc verbo pugnare videtur quod sequitur vs. 605 *πρότερος προσέϜειπε*. Quapropter Bekker vs. 605—607 expunxit. Veri similius ducimus aut *προσέειπε* vs. 602 ex *vocandi* aliquo verbo esse corruptum aut ipsius poetae hanc esse culpam ‖ 604 *’*πέλετ’*] *πέλεν*, cf. n° 275 ‖ 606 *χρῆος* n° 190] *χρεῖος* Christ, *σε χρεώ* codd., cf. n° 8 ‖ 608 *τῷ*] male abundat; cf. ad Λ 185; legendum putamus **Μενοιτίου υἱέ, ἐμῷ*. Eadem correctione indiget δ 71 ‖ 610 *χρηώ* n° 190] *χρειώ*. — *ἀνεκτός* A D] -*τή* C. Aristarchus hic et Κ 118 -*τός* legebat ‖ 611 *ἔρειο*] vix sana forma, de qua cf. n° 191; Ammonius *ἔροιο* (Valcken. p. 57), Curtius Verb.[2] II 60 *ἐρεῖο*, Fick *ἔρευε*. Nos poetam **ἐρέσθαι* dedisse putamus ‖ 614 *τῷ* abundat

XI ’βῆ δὲ ϑέειν παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν. 617 cf. Θ 220
οἳ δ’ ὅτε δὴ κλισίην Νηληιάδά ἀφίκοντο, 618 cf. Ω 448
αὐτοὶ μέν ῥ’ ἀπέβησαν ἐπὶ χϑόνα πολυβότειραν,
ἵππους δ’ Εὐρυμέδων ϑεράπων ’λύε τοῖο γέροντος
ἐξ ὀχέων· τοὶ δ’ ἱδρό’ ἀπεψύχοντο χιτώνων,
στάντε ποτὶ πνοιὴν παρὰ ϑῖν’ ἁλός· αὐτὰρ ἔπειτα
ἐς κλισίην ἐλϑόντες ἐπὶ κλισμοῖσι καϑῖζον. 623b = Θ 436
τοῖσι δ’ ἔτευχε κυκηῶ ἐυπλόκαμος Ϝεκαμήδη,
τὴν ἄρετ’ ἐκ Τενέδοιο γέρων, ὅτε ’πέρσεν Ἀχιλλεύς,
ϑυγατέρ’ Ἀρσινόου μεγαλήτορος, ἥν Ϝοι Ἀχαιοὶ
ἔξελον, οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων.
ἥ σφωιν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν
καλὴν κυανόπεζαν ἐύξοον, αὐτὰρ ἐπ’ αὐτῆς
χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον, ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρόν, παρὰ δ’ ἀλφίτου ἱεροῦ ἀκτήν,
πὰρ δὲ δέπας περικαλλές, ὃ Ϝοίκοϑεν ἦγ’ ὁ γεραιός,
χρυσείοισ’ ἥλοισι πεπαρμένον· οὔατα δ’ αὐτοῦ 633a = Λ 246
τέσσαρ’ ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶ Ϝέκαστον
χρύσειαι ’νεμέϑοντο, δύω δ’ ὑπὸ πυϑμένες ἦσαν.
ἄλλος μὲν μογέων ἀπεκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ’ ὁ γέρων ἀμογητί Ϝ’ ἄειρε.
ἐν τῷ ῥά σφ’ ἐκύκησε γυνὴ ϜεϜικυῖα ϑεῇσι
Ϝοίνῳ Πραμνείῳ, ἐπὶ δ’ αἴγειον ’κνάε τυρὸν

---

617 δὲ ϑέειν] l. a. δ’ ἰέναι (ἴμεναι). — Ἀχαιῶν A D] ἑίσας C || 618 Νηληιάδα’ nº 55] -δεω || 619 πολυβότειραν D] πουλ., cf. nº 21 || 621 ἱδρό’ nº 77] ἱδρῶ. χιτώνων] μετώπων Naber, coll. vs. 812 || 622 στάντε Ar. A D] στὰν δὲ alii (στᾶν δὲ C). Aristarchum στάν τε binis vocabulis scripsisse LaRoche suspicatur, sine iusta tamen causa. — πνοιὴν] -ῇ C || 624 κυκηῶ Brugmann] κυκειῶ A C, -εῶ D. Ceterum accusativi forma h. l. et vs. 641 κ 290, 316 h. Cer. 210 suspicionem movet || 627 βουλῇ] Nauck dubitanter πουλὺ (immo πολλόν, cf. nº 83) || 629 αὐτῆς] -ῇ l. a. in schol., item Eust. Vind. Stuttg. || 631 ἠδὲ] πὰρ δὲ Apoll. lex. || 632 ἦγ’] sic et εἶχ’ Ar. — ἦγ’ ὁ] ἦγε? || 634 ἀμφὶ C Stuttg.] ἀμφίς, metro et sensu invitis || 635 ὑπὸ πυϑμένες Ar. A] ὑποπυϑμένες alii C D¹. De hoc loco praeter scholia cf. Athen. XI 488 sqq. Non duos fundos intellegi, quod absurdum, sed bina statumina externa, quae ansas coniungant cum pede, olim perspexerat Dionysius Thrax, cui viam indicaverat Ar.; nuper lucide exposuit Helbig Epos 272 sqq. || 636 ἄλλος] absurde quidam ἄλλος et ἀλλ’ ὅς, ad Machaonem referentes, Athen. XI 493. — *ἀπεκινήσασκε] ἀποκ. || 637 δ’ ὁ] δὲ? — *Ϝ’] addidimus metri causa; non supervacuum esse pronomen ex Ε 304 Μ 449 Υ 287 apparet; de Ϝε = αὐτό cf. Δ 315 || 638 *σφ’ ἐκύκησε] σφι κύκησε || 639 ’κνάε nº 191] κνέε Ar. sec. Eustathium, κνῆ codd., quod vitiosum esse vel ex metro apparet, cf. nº 2

XI κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λεύκ' ἐπάλυνε, 640 cf. Σ560 κ520 λ 28 ξ 77
πινέμεναι δ' ἐκέλευσεν, ἐπεί ῥ' ὥπλισσε κυκηῶ.
τὼ δ' ἐπεὶ οὖν πίνοντ' ἀφέτην πολυκαγκέα δίψαν,
μύθοισιν 'τέρποντο πρὸς ἀλλήλους ἐνέποντες, 643 cf. ψ 301
Πάτροκλος δὲ θύρῃσιν ἐφίστατο, ϝισόθεος φώς.
τὸν δὲ ϝιδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο φαεινοῦ,
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάεσθαι ἄνωγε. 646 = 778
Πάτροκλος δ' ἑτέρωθεν ἀνήνετο 'ϝεῖπέ τε μῦθον· 647ᵇ = Ψ 204
„οὐχ ἕδος ἐστί, γεραιὲ διοτρεφές, οὐδέ με πείσεις.
αἰδοῖος νεμεσητὸς ὅ με προέηκε πυθέσθαι
ὅν τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς 650ᵃ cf. 612
γιγνώσκω, ὁράω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ϝέπος ϝερέων πάλιν ἄγγελος εἶμ' Ἀχιλῆι.
εὖ δὲ σὺ ϝοῖσθα, γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος·
δϝεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιάοιτο."
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„τίπτε τ' ἄρ' ὧδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι ϝοῖδε
πένθεος ὅσσον ὄρωρε κατὰ στρατόν· οἳ γὰρ ἄριστοι
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε. 659-662 = Π 24 [sqq.
659 = 826
βέβληται μὲν Τυδεΐδης, κρατερὸς Διομήδης,
οὔτασται δ' 'Οδυσεὺς δουρὶ κλυτὸς ἠδ' Ἀγαμέμνων,
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀϝέκητι πυρὸς δηίοιο θέρωνται, 667ᵇ cf. Ζ 331
αὐτοί τε κτεινώμεθ' ἐπισχερώ; οὐ γὰρ ἐμὴ ϝὶς [cf. λ 394 φ 283
ἔσθ' οἵη πάρος ἦσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι. 669 = h. Ven. 239

---

662 βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀιστῷ.

---

640 κνήστι n° 74] κνήστι. An *κνήστιδι? — λεύκ' ἐπάλυνε A] λευκὰ πάλ. CD || 641 κυκηῶ] cf. vs. 624 || 642 πολυκαγκέα] cf. κάγκανα Φ 364 σ 308 || 645 ὁ] abundat || 646 ἑδριάεσθαι n° 191] -άασθαι || 647 *ἀνήνετο] ἀναίνετο || 651 ὁράω n° 191] ὁρόω || 653 ἐκεῖνος] cf. n° 97 || 654 αἰτιάοιτο n° 191] -όῳτο. — τάχα κεν ... αἰτιάοιτο] οἷος ... αἰτιᾶσθαι Plur. Mor. 67 a; sed non Homericus est hic usus adiectivi οἷος || 655 γερήνιος] cf. Β 336 || 660 μὲν Nauck] μὲν ὁ; cf. Π 25 || 662] om. ACD, neque ferri potest; ignorat enim Patroclus Eurypyli sortem (cf. vs. 809 sqq.). Ex Π 27 male huc tractus est || 667 δηίοιο] cf. n° 17 || 668 ἐμὴ] ἐμοὶ Vind. Barocc. Mor. || 669 *ἦσκεν] ἔσκεν

XI εἴθ' ὣς ἡβάοιμι, βίη τέ μοι ἔμπεδος εἴη, 670 = Ψ 629 ξ 468 cf. H 157
ὡς ὁπότ' Ἠλείοισι καὶ ἥμιν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίῃ, ὅτ' ἐγὼ 'κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι 'ναιετάεσκε,
ῥύσι' ἐλαυνόμενος. ὃ δ' ἀμύνων Ϝῇσι βόεσσι
ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι, 675 cf. M 306
κὰδ δ' ἔπεσεν, λαοὶ δὲ περὶ 'τρέσαν ἀγροιῶται.
ληίδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα μήλων, 678b sq. = ξ 100 sq.
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν,
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήιον εἴσω
ἐννύχιοι προτὶ Ϝάστυ· 'γεγήθεε δὲ φρένα Νηλεύς,
οὕνεκά μοι 'τύχε πολλὰ νέῳ πόλεμόνδε κιόντι.
κήρυκες δ' ἐλίγαινον ἅμ' ἠόι φαινομένηφι
τοὺς ἴμεν' οἷσι χρῆος ὀφείλετο Ἤλιδι δίῃ·
οἳ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
'δαίτρευον, πολέσιν γὰρ Ἐπειοὶ χρῆος ὄφειλον,
ὡς ἥμες παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν.
ἐλθὼν γάρ Ϝ' ἐκάκωσε βίη Ἡρακλεεείη
τῶν προτέρων Ϝετέων, κατὰ δ' ἔκταθεν ὅσσοι ἄριστοι.
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἶος 'λιπόμην, οἳ δ' ἄλλοι πάντες ὄλοντο.
ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες, [υ 170
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα 'μηχανάοντο. 695 cf. γ 207 ρ 588
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶυ μέγ' οἰῶν 696b cf. O 323 μ 299

---

670 ἡβάοιμι nº 191] ἡβώοιμι. — τέ A D] δέ C, ut legitur H 157 ‖ 671 *ἥμιν] ἡμῖν ‖ 672 βοηλασίῃ Ar. A C] alii -ῃς, -ης D ‖ 673 'ναιετάεσκε nº 191] -άασκε ‖ 678 μήλων Vind.] οἰῶν, forma propter contractionem suspecta (vid. nº 74), propter hiatum vero h. l. ne ferenda quidem. Cf. ξ 100 ‖ 679 συβόσια] vocabulum notabile hoc uno loco (= ξ 101) obvium ‖ 683 'γεγήθεε nº 110] -θει ‖ 685 ἠόι nº 77] ἠοῖ ‖ 686 χρῆος Brugmann, cf. nº 190] χρεῖος Aristoph., χρέως Ar. — *ὀφείλετο] ὀφείλετ' ἐν Aristoph. codd., ὠφείλετ' ἐν Ar., metro invito, item vs. 698; cf. nº 48 ‖ 688 χρῆος Brugmann] χρεῖος codd.; χρέως ὤφειλον Ar. dedisse ex eius lectione vs. 686 patet. — ὄφειλον] -ελλον C ‖ 689 ὡς Ar. A C] ὥς (ὧς) D; optio difficilis. — *ἥμες] ἡμεῖς. — Πύλῳ] l. a. πόλει ‖ 690 *Ϝ'] ῥ' A D, om. C. — Ἡρακλεεείη nº 73] -κληείη ‖ 691 τῶν] abundat. — ἔκταθεν meliores] ἔκτανεν ‖ 694 Ἐπειοί] l. a. Ἀχαιοί h. l. et vs. 737 ab Ar. commemorata ‖ 695 'μηχανάοντο nº 191] -όωντο ‖ 696 δ' ὁ] δὲ? — οἰῶν] nº 74; cf. vs. 678. Ecquid *μέγα πῶύ τε μήλων?

XI εἵλετο, κρινάμενος τριηκόσι' ἠδὲ νομῆας. 697ᵇ = φ 19
καὶ γὰρ τῷ χρῆος μέγ' ὀφείλετο Ἤλιδι δίῃ,
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφι,
ἐλθόντες μετ' ἄεθλα. περὶ τρίποδος γὰρ ἔμελλον
θεύσεσθαι· τοὺς δ' αὖθι ϝάναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχημένον ἵππων.
τῶν ὁ γέρων ϝεπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ' ἄσπετα πολλά, τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε
[δαιτρεύειν, μή τις ϝοι ἀτεμβόμενος κίοι ἴσης]. 705 cf. ι 42
ἧμες μὲν τὰ ϝέκαστα διείπομεν, ἀμφί τε ϝάστυ 706ᵃ = μ 16
'ϝέρδομεν ἱρὰ θεοῖσ'· οἳ δὲ τρίτῳ ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοὶ πολέες καὶ μώνυχες ἵπποι,
πανσυδίῃ· μετὰ δέ σφι Μολίονε 'θωρήσσοντο
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα ϝειδότε θούριδος ἀλκῆς. 710ᵇ cf. Ο 527
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη,
τηλόθ' ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος. 712ᵇ cf. Ι 153
τὴν ἀμφεστρατόοντο διαρραῖσαι μεμαῶτες.
ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἧμι δ' Ἀθήνη
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι 715 = Σ 167
ἔννυχος, οὐδ' ἀϝέκοντα Πύλον κάτα λαὸν ἄγειρε,
ἀλλὰ μάλ' ἐσσυμένους πολεμιζέμεν. οὐδέ με Νηλεὺς
εἴαε θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί με ϝίδμεν' ἔφη πολεμήια ϝέργα.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέπρεπον ἡμετέροισι,
καὶ πεζός περ ἐών, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήιος εἰς ἅλα βάλλων

705 Zen. om., Ar. —

697] τριηκόσι'] male producitur prima syllaba, cf. φ 19; Bentley κρίνας μῆλα τριηκόσι' || 698 χρῆος Brugmann, cf. nº 190] χρεῖος. — *ὀφείλετο] -λετ' ἐν, cf. vs. 686 || 699 ἀθλοφόροι] cf. ad Η 453. Recentem poetam prodit quadrigarum mentio. Nam de binis bigis acutius quam verius accipiebat Ar., versum 702 cum α 335 conferri posse ratus. Naber tentabat τὼ ... ἀκαχημένω || 703] ὁ abundat, et ἔργων caret litera ϝ. Bentley ἠδέ τε ϝέργων || 705 ἴσης] αἴσης Bentley coll. ν 138 || 706 *ἧμες] ἡμεῖς. — τε C] δὲ A D || 708 πολέες Christ] τε πολεῖς, cf. nº 83 || 712 τηλόθ' nº 322] τηλοῦ || 713 ἀμφεστρατόοντο Buttmann, cf. nº 191] -όωντο || 714 ἀλλ' ὅτε] ἄλλο τε Bentley, cum praecedentibus iungens. — *ἧμι] ἄμμι || 715 Ὀλύμπου] -οο? cf. nº 59 || 717 πολεμιζέμεν Bekker] -ζειν || 718 εἴαε nº 191] εἶα || 719 *με ϝίδμεν' ἔφη] μ' ἔφη ἴδμεν. Cf. nº 126 || 720 ἡμετέροισι] ingeniose Nauck ἀγρομένοισιν

XI ἐγγύθεν Ἀρήνης, ὅθ' ἐμείναμεν ἠόα δῖαν
ἱππῆες Πυλίων, τὰ δ' ἐπέρρεε Ϝέθνεα πεζῶν.
ἔνθεν πανσυδίῃ σὺν τεύχεσι θωρηχθέντες
ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενέ' ἱερὰ καλὰ,
ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι 730 cf. Η 380
καὶ κατεκοιμήθημεν ἐν ἔντεσι Ϝοῖσι Ϝέκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
Ϝάστυ δὴ ἀμφίσταντο διαρραῖσαι μεμαῶτες.
ἀλλά σφι προπάροιθ' ἐφάνη μέγα Ϝέργον Ἄρηος·
εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχῃ Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ.
ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρ', ἐκόμισσα δὲ μώνυχας ἵππους,
Μώλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο,
πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακ' ἐϜείδε' ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντ' ἔβαλον χαλκήρεϊ δουρί, 742 cf. ν 267
ἤριπε δ' ἐν κονίῃσιν· ἐγὼ δ' ἐς δίφρον ὀρούσας
'στῆν ῥα μετὰ προμάχοισιν. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ Ϝίδον ἄνδρα πεσόντα 745ᵇ = χ 22
ἡγεμόν' ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι. 746 cf. Π 292
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῇ λαίλαπι Ϝῖσος,
πεντήκοντα δ' ἕλον δίφρους, δύο δ' ἀμφὶ Ϝέκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας, ἐμῷ ὑπὸ δουρὶ δαμέντες. 749ᵇ = Π 848 cf. Ε 653
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
εἰ μή σφωε πατὴρ, εὐρὺ κρείων ἐνοσίχθων,

723 *ὅθ' ἐμείναμεν] ὅθι μείν. — ἠόα n° 77] ἠῶ || 724 ἐπέρρεε] -ρρεεν C, -ρρεον A D || 727 *ὑπερμενέ' n° 73] -εῖ || 730 δόρπον] δεῖπνον Zen.; cf. vs. 86 || 733 Ϝάστυ δὴ ἀμφίσταντο Christ] ἀμφίσταντο δὴ ἄστυ codd.; Heyne ἀμφίσταντ' ἄρα Ϝάστυ, Bekker ἀμφέσταν δὴ Ϝάστυ coll. Σ 233, minus numerose. — διαρραῖσαι A D] διαπραθέειν C || 737 Ἐπειῶν] cf. ad vs. 694 || 738 *ἄνδρ', ἐκόμισσα] ἄνδρα, κόμ. || 739 Μώλιον Nauck] Μούλιον. Item Π 696 Υ 472 σ 423. — ἦν] ἔεν LMeyer || 741 *φάρμακ' ἐϜείδε'] φάρμακα ᾔδει C, ᾔδη A D || 742 *προσιόντ' ἔβαλον] -ντα βάλον || 747 ἐνόρουσα D] ἐπόρουσα A C || 748 ἀμφὶ Eustath.] ἀμφὶς invito metro et sensu

XI ἐκ πολέμοι' ἐσάωσε, καλύψας ἠέρι πολλῇ.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἠγγυάλιξε·
τόφρα γὰρ οὖν ἑπόμεσθα ὑπασπίδιοι πεδίοιο,
κτείνοντές τ' αὐτοὺς ἀνά τ' ἔντεα καλὰ λέγοντες,
ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου 'βήσαμεν ἵππους
πέτρης τ' Ὠλενίης, καὶ Ἀλεισίου ἔνθα κολώνη — 757ᵃ cf. *B* 617
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ' ἄνδρα κτείνας πύματον 'λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ' ἔχον ὠκέας ἵππους,
πάντες δ' ηὐχετάοντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
ὣς ἔα, εἴ ποτ' ἔα γε, μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἶος Ϝῆς ἀρετῆς ἀπονήσεται· ἦ τέ Ϝ' ὀίω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλε — 765 cf. *I* 252
ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνον' ἔπεμπε, — 766 = *I* 253
νῶι δέ τ' ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
πάντα μάλ' ἐν μεγάροισ' ἠκούομεν ὡς ἐπέτελλε.
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας,
λαὸν ἀγείροντες κατ' Ἀχαιίδα πολυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον ηὕρομεν ἔνδον
ἠδὲ σέ, πὰρ δ' Ἀχιλῆα. γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνῳ
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα Ϝοῖνον ἐπ' αἰθομένοισ' ἱεροῖσι. — 775ᵇ = *μ* 362
σφῶι μὲν ἀμφὶ βοὸς ἐπέτην κρέα, νῶι δ' ἔπειτα

767—785 Aristoph. Ar. —

752 *πολέμοι'* nº 59] *-μου* ‖ 753 **ἠγγυάλιξε*] *ἐγγυάλιξε* ‖ 754 **ὑπασπίδιοι*] *διὰ σπιδέος* Zen. Amerias Herodian. A C[1], *δι' ἀσπιδέος* Crates et Ptolem. Ascalon. C[2] D. Utraque lectio nota erat Aristarcho et variis rationibus a veteribus grammaticis perquam ridicule explicabatur. Correximus ad exemplum versuum *N* 158 (ubi vid. l. a.), 807 *Π* 609; *διά* autem ex interpretamento (*πεδίοιο* = *διὰ πεδίοιο*) in textum irrepsisse videtur ‖ 755 *λέγοντες*] l. a. *ἑλόντες* ‖ 757 *Ἀλεισίου*] cf. *B* 617; *Ἀλεισίου* Ar. A D, *Ἀλησίου* Steph. Byz. s. v. ‖ 761 *ηὐχετάοντο* nº 191] *εὐχετόωντο* ‖ 762 *ἔα… ἔα*] *ἔον…ἔην* A C D; cf. nº 302. — *εἴ ποτ'*] cf. ad *Γ* 180 ‖ 763 *Ϝῆς* Bekker vHerwerden] *τῆς*. Hartel mavult *ἑῆς*. — **Ϝ' ὀίω*] *μιν οἴω*. Nauck *ἦ μιν ὀίω* ‖ 766 **Ἀγαμέμνον' ἔπεμπε*] *-νι πέμπε* ‖ 767 *τ'* ed. Florent.] om. codd.; Zenodotus *νῶιν δ' ἔνδον* legisse videtur, monebat certe Ar. sine *ν* legendum esse *νῶι*. Ecquid **ἄμφω δ' ἔνδον ἐόντε*? ‖ 768 *ἐπέτελλε*] *ἐκέλευε* C ‖ 770 *πολυβότειραν* D] *πουλ.*, cf. nº 21; l. a. *καλλιγύναικα* ‖ 773 *μηρί' ἔκαιε*] *μηρί' ἔκηε* meliores, *μηρία καῖε* Ar. ‖ 776 *ἐπέτην*] *ἔπετον* (Ar.) codd.; cf. nº 115. Zenodotum *-την* dedisse ex similibus locis vs. 782 *Θ* 448 apparet

XI 'στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς, 777 cf. π 12
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάεσθαι ἄνωγε 777^b = Ι 193
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστί. 778 = 646
αὐτὰρ ἐπεὶ 'τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος, 780 cf. ε 201
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμ' ἄμ' ἕπεσθαι·
σφῶι μάλ' ἠθελέτην, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺς μὲν Ϝῷ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆι
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων· 784 = Ζ 208
σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος, Ἄκτορος υἱός·
τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίῃ δ' ὅ γε πολλὸν ἀμείνων.
ἀλλ' εὔ Ϝοι φάσθαι πυκινὸν Ϝέπος ἠδ' ὑποθέσθαι
καί Ϝοι σημαίνειν· ὃ δὲ πείσεται εἰς ἀγαθόν περ. —
ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν 790 = Ι 259
ταῦτ' εἴποις Ἀχιλῆι δαΐφρονι, αἴ κε πίθηται·
τίς Ϝοῖδ' εἴ κέν Ϝοι σὺν δαίμονι θυμὸν ὀρίναις 792 cf. Ο 403
παρϜειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου. 793 = Ο 404
εἰ δέ τινα φρεσὶ Ϝῇσι θεοπροπίην ἀλεείνει 794-799 cf. Π 36 sqq.
καί τινά Ϝοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ, 795 cf. Π 51
ἀλλὰ σέ περ προέτω, ἅμα δ' ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φάος Δαναοῖσι γένηαι. 797^b = Θ 282
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι, [sqq.
αἴ κέ σε τῷ Ϝίσκοντες ἀπόσχωνται πολέμοιο 799^b-801 = Σ 199
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν 800-802 = Π 42 sqq.
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ

794 sq. Zen. — || 802 sq. Ar. —

778 ἑδριάεσθαι nº 191] ἑδριάασθαι || 779 ξείνοις] pro -οισι vitiosum, cf. nº 60. Emendatio incerta; maxime placet *παρέθηχ', ᾗ τε ξείνων θέμις ἐστί, cf. ι 268. Christ ξείνοισιν ἔοικεν || 781 μύθοιο] μύθοισι D. — *ὔμ'] ὔμμ' A C, ὔμμ' D || 782 *σφῶι] σφὼ δέ. — ἠθελέτην Zen.] -τον, cf. nº 115 || 786 sq.] *nobilior est Achilles, tu vero maior natu.* Mire in simplicissimis his verbis interpretandis veteres errarunt. Alii enim (in his Archilochus?) ὑπέρτερος vertebant *iunior*, alii *maior natu*, (in his tragici), qui in sequenti igitur versu πρεσβύτερος *gravioris auctoritatis virum* intellegebant; cf. Δ 59 et vid. Sophoclis dictum apud Plutarch. Nic. 533 *b* || 787 σύ ἐσσι] Bentley σύ γ', cf. Ζ 123 || 790 ἐπέτελλ' ὁ] -λλε? || 791 ταῦτ' εἴποις] corrupta; Bentley Ϝείποις ταῦτ', Heyne τὰ Ϝείποις, sed gravius vitium inesse videtur || 792 τίς Heyne] τίς δ' || 796 ἅμα δ' ἄλλος] ἄλλος δ' ἅμα Nauck metri gratia || 797 φάος nº 71] φόως || 799 ἴσκοντες Zen. codd.] εἴσκοντες Ar., item Π 41 (contractione inaudita); cf. nº 242 || 800 ἀναπνεύσωσι] nº 122 || 801 τ'] Nauck delet

XI ὤσαισθε προτὶ Ϝάστυ νεῶν ἄπο καὶ κλισιάων.” 803 cf. Π 45
ὣς ’φάτο, τῷ δ’ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε, 804 = Β 142
’βῆ δὲ θέειν παρὰ νῆας ἐπ’ Αἰακίδην Ἀχιλῆα.
ἀλλ’ ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
ἷξε θέων Πάτροκλος, ἵνα σφ’ ἀγορή τε θέμις τε
ἦεν, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί,
ἔνθα Ϝοι Εὐρύπυλος βεβλημένος ἀντεβόλησε,
διογενὴς Εὐαιμονίδης, κατὰ μηρὸν ὀιστῷ,
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ’ρέεν ἱδρὼς 811ᵇ = Ψ 715
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ’ ἕλκεος ἀργαλέοιο 812ᵇ sq. cf. Π 528 sq.
αἷμα μέλαν ’κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν.
τὸν δὲ Ϝιδὼν ᾤκτιρε Μενοιτίου ἄλκιμος υἱός, 814ᵃ = Π 5 Ψ 534
καί Ϝ’ ὀλοφυρόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„ἆ δϜειλοί, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες, 816ᵇ = λ 526
ὣς ἄρ’ ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης 817ᵇ = Π 539 τ 301 ω 290
ἀσέμεν’ ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.
ἀλλ’ ἄγε μοι τόδε Ϝειπέ, διοτρεφὲς Εὐρύπυλ’ ἥρως,
ἤ ῥ’ ἔτι που σχήσουσι πελώριον Ἕκτορ’ Ἀχαιοί,
ἦ ἤδη φθίσονται ὑπ’ αὐτοῦ δουρὶ δαμέντες.”
τὸν δ’ αὖτ’ Εὐρύπυλος πεπνυμένος ἀντίον ηὔδα·
„οὐκέτι, διογενὲς Πατρόκλεες, ἄλκαρ Ἀχαιῶν
ἔσσεται, ἀλλ’ ἐν νηυσὶ μελαίνῃσιν πεσέονται. 824 cf. Ι 235
οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, 825 sq. = Π 23 sq.
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε 826 = 659
χερσὶν ὕπο Τρώων· τῶν δὲ σθένος ὄρνυται αἰεί.
ἀλλ’ ἐμὲ μὲν σὺ σάωσον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ’ ἔκταμ’ ὀιστόν, ἀπ’ αὐτοῦ δ’ αἷμα κελαινὸν 829ᵇ sq.ᵃ cf. 845 sq.
νίζ’ ὕδατι λιαρῷ, ἐπὶ δ’ ἤπια φάρμακα πάσσε
ἐσθλά, τά σε προτί φασιν Ἀχιλλῆος δεδαέσθαι,
ὃν Χείρων ἐδίδαξε, δικαιότατος Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων,

---

803 ὤσαισθε A D] ὤσεσθε C. Optativum requiri, non coniunctivum, ex Π 45 apparet ‖ 804 στήθεσσιν ὄρινε] *-σσ’ ὤρινε? ‖ 808 ἦεν LMeyer] ἦην. Nauck ἔπλετο ‖ 814 ᾤκτιρε] -ειρε codd. non recte; cf. Meisterhans Gramm. d. att. Inschr. p. 87 nº 692 ‖ 815 *Ϝ’] ῥ’ ‖ 818 ἀσέμεν Nauck] ἄσειν. — ἀργέτι δημῷ] l. a. ἠδ’ οἰωνούς. De ἀργέτι cf. nº 18 ‖ 822 πεπνυμένος C] βεβλημένος A D ‖ 823 Πατρόκλεες nº 73] -κλεις ‖ 824] cf. ad Ι 235 ‖ 827 αἰεί] αἰέν codd. ‖ 828 νῆα μέλαιναν] νῆας Ἀχαιῶν D ‖ 831 δεδαέσθαι nº 203] δεδάασθαι Zen., δεδιδάχθαι codd.

XI τὸν μὲν ἐνὶ κλισίῃσιν ὀίομαι ἕλκος ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος,
κεῖσθαι· ὃ δ᾽ ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα."
    τὸν δ᾽ αὖτε προσέϝειπε Μενοιτίου ἄλκιμος υἱός·
„πῶς τ᾽ ἄρ᾽ ἔῃ τάδε ϝέργα; τί ῥέξομεν, Εὐρύπυλ᾽ ἥρως;
ἔρχομαι, ὄφρ᾽ Ἀχιλῆι δαΐφρονι μῦθον ἐνίσπω,
ὃν Νέστωρ ἐπέτελλε γερήνιος, οὖρος Ἀχαιῶν·
ἀλλ᾽ οὐδ᾽ ὧς περ σεῖ᾽ ἀμελήσω τειρομένοιο."
    ἦ, καὶ ὑπὸ στέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐς κλισίην· θεράπων δὲ ϝιδὼν ὑπέχευε βοείας.
ἔνθα μιν ἐκτανύσας ἐκ μηροῦ 'τάμνε μαχαίρῃ
ὀξὺ βέλος περιπευκές, ἀπ᾽ αὐτοῦ δ᾽ αἷμα κελαινὸν 845b sq.a cf. 829 sq.
'νίζ᾽ ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν 'βάλε πικρὴν
χερσὶ διατρίψας, ὀδυνήφατον, ἥ ϝοι ἁπάσας
ἔσχ᾽ ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, 'παύσατο δ᾽ αἷμα. 848b = 267

---

838 ἔῃ Duentzer] ἔοι codd., ἔην Zen. || 840 γερήνιος] cf. B 336 || 841 σεῖ᾽ ἀμελήσω Zen. (δὲ ἀμ. cod.; correxit Villoison)] σεῖο μεθήσω Ar. codd. non recte, nam activo μεθιέναι genitivus non iungitur. Cf. N 419 alibi || 845 περιπευκὲς] *ἐχεπευκὲς? cf. Α 51 Δ 129

# *ΙΛΙΑΔΟΣ Μ.*

*Τειχομαχία.*

---

XII ὣς ὃ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς
ἰάετ' Εὐρύπυλον βεβλημένον· οἳ δ' ἐμάχοντο
Ἀργέιοι καὶ Τρῶες ὁμιλαδόν. οὐδ' ἄρ' ἔμελλε
τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθε
εὐρὺ, τὸ 'ποιήσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον 5ᵇ sq. = *Η* 449 sq.
ἤλασαν· οὐδὲ θεοῖσ' ἔδοσαν κλειτὰς ἑκατόμβας,
ὄφρα σφιν νῆάς τε θοὰς καὶ ληίδα πολλὴν
ἐντὸς ἔχον ῥύοιτο· θεῶν δ' ἀϝέκητι 'τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ 'μήνι' Ἀχιλλεὺς
καὶ Πριάμοιο ϝάνακτος ἀπόρθητον 'πλέτο ϝάστυ,
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν·
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων 'θάνον ὅσσοι ἄριστοι,
πολλοὶ δ' Ἀργείων οἳ μὲν 'δάμεν, οἳ δ' ἐλίποντο,
'πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ,
Ἀργέιοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν,
δὴ τότ' ἐμητιάοντο Ποσειδάων καὶ Ἀπόλλων
τεῖχος ἀμαλδῦναι, ποταμῶν μένος εἰσαγαγόντες,
ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσι,

---

2 *ἰάετ'* nº 191] *ἰᾶτ'* ‖ 6 **θεοῖσ' ἔδοσαν*] *θεοῖσι δόσαν* ‖ 8 *ἀϝέκητι τέτυκτο*] **-κητ' ἐτέτυκτο*? ‖ 9 *τὸ*] vid. nº 96 ‖ 11 **ἀπόρθητον 'πλέτο ϝάστυ*] *-τος πόλις ἔπλε* Zen. A C (quam formam per apocopen ex *ἔπλετο* natam esse adnotat schol.), *ἔπλεν* Ar., *ἔπλευ* D ‖ 17 *ἐμητιάοντο*] *μητιόωντο* codd., *δηριόωντο* Etym. M. s. v. *δῆρις* (266, 40)

XII Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε
Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι καὶ ἡμιθέων γένος ἀνδρῶν.
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων,
ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόον· ὗε δ' ἄρα Ζεὺς
συνεχὲς, ὄφρ' ἔτι θᾶσσον ἁλίπλοα τείχεα θείη.
αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν
ἡγέετ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμασ' ἔπεμπε
φιτρῶν καὶ λάων, τὰ 'θέσαν μογέοντες Ἀχαιοί, 29ª = Φ 314
λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον,
αὖτις δ' ἠιόνα μεγάλην ψαμάθοισ' ἐκάλυψε, 31 cf. *H* 462
τεῖχος ἀμαλδύνας· ποταμοὺς δ' ἔτρεψε νέεσθαι
κὰρ ῥόον, ᾗ περ πρόσθεν ἵει καλλίρροον ὕδωρ.
ὣς ἄρ' ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων
θησέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τ' ἐδεδήει
τεῖχος ἐὺ δμητὸν, 'κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'· Ἀργέιοι δὲ Διὸς μάστιγι δαμέντες
νηυσὶν ἔπι γλαφυρῇσι ϝεϝελμένοι ἰσχανάοντο,
Ἕκτορα δεδϝιότες, κρατερὸν μήστωρα φόβοιο·
αὐτὰρ ὅ γ', ὡς τὸ πρόσθεν, ἐμάρνατο ϝῖσος ἀέλλῃ.
ὡς δ' ὅτ' ἔναντα κύνεσσι καὶ ἀνδράσι θηρητῆρσι
κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων· 42ᵇ cf. *Θ* 337
οἵ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες 43ᵇ = 86 *N* 152

---

21 *δῖος*] *θεῖος* adiectivum legitur Hes. Theog. 342, quem locum ex nostro fluxisse vere monuit Ar. ‖ 23 *ἡμιθέων*] vox a poeta aliena nec alibi apud eum obvia. Ingeniose Bentley *κάππεσον ἐν δίνῃσι* (Verg. Aen. I 100) *καὶ ἰφθίμων μένε' ἀνδρῶν*, propius etiam vulgatam urgens Axt *ἐν κονίῃ καὶ ἀρηιθόων*. Sed non sollicitandum videtur recentioris aevi vocabulum in loco recentissimo occurrens ‖ 25 *ἐννῆμαρ*] *ἓν δ' ἦμαρ* Callistratus ridicule; item (aut *ἓν ἦμαρ δ'*) Crates Mallotes ‖ 26 *συνεχὲς* A] *συνεχὲς* Aristoph. Ar. C D minus recte, cf. nº 44. Glossema esse *συνεχές* h. l. et *ι* 74, quod in locum Homerici *νωλεμές* irrepserit, censet vHerwerden, coll. *I* 317 *Ξ* 58 etc. Cf. ad *K* 364. — **ὄφρ' ἔτι*] *ὄφρα κε*. In vulgata male abundat *κε* ‖ 28 *ἡγέετ'* nº 191] *ἡγεῖτ'*. — **κύμασ' ἔπεμπε*] *κύμασι πέμπε*. Cornutus 23 *θεμέθλια χεῦε θύραζε*, cf. *Φ* 237 ‖ 30 *ἐποίησεν* Ar. codd.] *-σαν* Vrat. ‖ 31 **ψαμάθοισ' ἐκάλυψε*] *-σι κάλυψε* ‖ 33 *ἵει* Herodian.] *ἵῃ* A, *ἵεν* C D ‖ 34 *ἄρ' ἔμελλον*] *ἤμελλον* Zen. ‖ 38 *ἐελμένοι* A D] *ἐεργμένοι* C. — *ἰσχανάοντο* nº 191] *-όωντο* ‖ 39 *δεδϝιότες*] *δειδιότες* ‖ 40 *πρόσθεν*] *πρῶτον* C. — *ἐμάρνατο*] *ἐμαίνετο* Aristoph. ‖ 41 *ἔναντα* Monro coll. *Γ* 67] *ἂν ἔν τε* codd. male, cf. nº 122. Egregia emendatio; Nauck *ἠύτε δ' ἔν τε*, Paech *ὡς δ' ὁπότ' ἔν τε*. — *θηρητῆρσι*] codd. *θηρευτῆσι*, Ar. utrumque; cf. *Λ* 325

XII ἀντίοι ἵστανται καὶ ἀκοντίζουσι θαμείας
αἰχμὰς ἐκ χειρῶν· τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ
ταρβέει οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα· 46ª = Φ 575
ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων, 47ᵇ = Ο 615
ὅππῃ τ' ἰθύσῃ, τῇ Ϝείκουσι στίχες ἀνδρῶν·
ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐϜελίσσεθ' ἑταίρων,
τάφρον ἐποτρύνων διαβαινέμεν'. οὐδέ τοι ἵπποι
'τόλμαον ὠκύποδες, μάλα δ' ἐχρεμέτιζον ἐπ' ἄκρῳ
χείλε' ἐφεσταότες· ἀπὸ γὰρ 'δεδϜίσσετο τάφρος
εὐρεῖ', οὔτ' ἄρ' ὑπερθορέμεν σχεδὸν οὔτε περῆσαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
ἕστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσι
ὀξέσιν ἠρήρει, τοὺς ἵστασαν υἷες Ἀχαιῶν
πυκνοὺς καὶ μεγάλους, δηίων ἀνδρῶν ἀλεωρήν. 57ᵇ = Ο 533
ἔνθ' οὐ ῥεῖά κεν ἵππος ἐύτροχον ἅρμα τιταίνων 58ᵇ cf. Β 390
ἐσβαίη, πεζοὶ δ' ἐμενοίναον, εἰ τελέουσι.
δὴ τότε Πολυδάμας θρασὺν Ἕκτορα 'Ϝεῖπε παραστάς· 60 = 210 cf. Ν 725
„Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων, 61 = Ρ 335
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους·
ἡ δὲ μάλ' ἀργαλέη περάειν, σκόλοπες γὰρ ἐν αὐτῇ
ὀξέες ἑστᾶσι, προτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ' οὔ πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀίω.

---

44 ἀντίοι] -ον Ar. ‖ 46 ταρβέει nº 191] ταρβεῖ codd. vitio metrico, cf. nº 17. — ἀγηνορίη] -ῃ Stuttg., quam lectionem Ar. improbabat ‖ 48 ἰθύσῃ A] -σει C D, cf. nº 122. — τῇ Bentley] τῇ τ' ‖ 49 ἐϜελίσσεθ' Cobet] εἱλίσσεθ' Aelian. Nat. An. VI 6, item Nicanor; cf. Μ 467. Male codices ἐλ(λ)ίσσεθ' (ἐλίσσεθ' Vind.), quam lectionem ex Ε 491 defendi posse putabant. — ἑταίρων Gerhard] -ρους ‖ 50 διαβαινέμεν'] διαβήμεναι Ael. l. l. — *τοι] οἱ. Weil τῳ, minus recte, cf. nº 99; si addendum esset pronomen, τιν'(ι) esset scribendum; sed non videtur necessarium ‖ 51 'τόλμαον nº 191] 'τόλμων ‖ 52 *χείλε' nº 71] χείλει codd.; χείλεϊ ἑσταότες l. a. ap. Eust. et Ael. l. l. ‖ 53 οὔτ' ἄρ'] οὐ γὰρ Townl. — ὑπερθορέμεν nº 126] -έειν ‖ 54 περὶ] διὰ Aristoph. ‖ 55 ἕστασαν] sic Ar.; male quidam ἔστασαν (vid. vs. sq.); sic Vind. ‖ 56 ἵστασαν Spitzner, cf. Β 525 Σ 346 Θ 435] ἕστασαν Ar. aliique grammatici, item codd. (ἕστασαν Vind.); vid. nº 196. Nauck ἤραρον, audacius; Fick υἷες στᾶσαν (στῆσαν) ‖ 57 δηίων] nº 17 ‖ 58 *ῥεῖά κεν] κεν ῥέα, hiatu vitioso. Bentley κεν ῥεῖ' ‖ 59 ἐσβαίη] καββαίη Zen. Aristoph. — ἐμενοίναον nº 191] μενοίνεον ‖ 60 Πολυδάμας nº 21] Πουλ. — Ἕκτορα] accusativus personae verbo Ϝειπεῖν adiunctus legitur h. l. et praeterea vs. 210 Ν 725 Ρ 237, 334, 651 Υ 375, vid. etiam ε 28 ψ 91 et ad Δ 403 ‖ 61 τ'] om. D ‖ 62 διὰ] l. a. περὶ ‖ 63 περάειν nº 191] περᾶαν. — ἐν αὐτῇ] ἀν' αὐτὴν C ‖ 64 προτὶ D] ποτὶ A, περὶ C ‖ 66 ἱππεῦσι] ἱππῆας Zen. Aristoph.

XII εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ϝίετ' ἀρήγειν,
ἦ κεν ἐγώ γ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς· 70 = N 227 Ξ 70
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
οὐκέτ' ἔπειτ' οἴω οὐδ' ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ϝάστυ ϝελιχθέντων ὑπ' Ἀχαιῶν.
ἀλλ' ἄγεθ', ὣς κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντες. 75 = B 139
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες 77 = Δ 49
Ἕκτορι πάντες ἑπώμεθ' ἀϝολλέες· αὐτὰρ Ἀχαιοὶ
οὐ μενέουσ', εἰ δή σφιν ὀλέθρου πείρατ' ἐφῆπται.
ὣς 'φάτο Πολυδάμας, 'ϝάδε δ' Ἕκτορι μῦθος ἀμύμων, 80 sq. = N 748 sq.
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε. 81 = Γ 29
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵππων ἠγερέθοντο,
ἀλλ' ἀπὸ πάντες ὄρουσαν, ἐπεὶ 'ϝίδον Ἕκτορα δῖον.
ἡνιόχῳ μὲν ἔπειτα ἑϝῷ ἐπέτελλε ϝέκαστος 84 sq. = Δ 47 sq.
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν' αὖθ' ἐπὶ τάφρῳ·
οἳ δὲ διαστάντες, σφέας αὐτοὺς ἀρτύναντες, 86ᵇ = 43
πένταχα κοσμηθέντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
οἳ μὲν ἅμ' Ἕκτορ' ἴσαν καὶ ἀμύμονι Πολυδάμαντι,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, 'μέμασαν δὲ μάλιστα 89 = 197
τεῖχος ῥηξάμενοι κοίλῃσ' ἐπὶ νηυσὶ μάχεσθαι.
καί σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεσφι
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
τῶν δ' ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηίφοβος θεοϝειδής,
υἷε δύω Πριάμοιο· τρίτος δ' ἦν Ἄσιος ἥρως,
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν 'φέρον ἵπποι 96 sq. = B 838 sq.

---

67 τούς Aristoph.] δή codd. ‖ 68 ἵετ' veteres teste Didymo] βούλετ' meliores ‖ 69 *κεν] τ' ἂν ‖ 71 ὑποστρέψωσι] nº 122 ‖ 72 ἐνιπλήξωμεν] cf. nº 122 ‖ 75 ἄγεθ' ὡς] ἄγε, τὼς Zen. — *κεν] ἂν ‖ 79 πείρατ'] πεῖραρ Zen. Aristoph. fortasse recte. Vid. ad Z 143 ‖ 80 Πολυδάμας nº 21] Πουλ. — *ἀμύμων] ἀπήμων, cf. N 748 ‖ 85 αὖθ'] αὖτ'(ε) quidam legebant ‖ 86 sq. ἀρτύναντες... ἕποντο Ar. meliores] ἀρτύναντο... ἕκαστοι Vind., l. a. -τος ‖ 87 -σσιν ἕποντο] *σσ' εἵποντο? ‖ 88 Πολυδάμαντι nº 21] Πουλ. ‖ 90] dett. τεῖχός τε ῥήξειν καὶ ἐνιπρήσειν πυρὶ νῆας (= vs. 198) ‖ 95 δύω] δύο CD. — ἦν] ἔεν LMeyer ‖ 96 ὅν] τόν C

XII *αἴθωνες μεγάλοι, ποταμοῖ' ἄπο Σελλήεντος.*
*τῶν δὲ τετάρτων ἦρχεν ἐὺς πάις Ἀγχίσαο,*
*Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,* 99ᵇ sq. = *B* 822 sq.
*Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης ἐὺ ϝειδότε πάσης.*
*Σαρπηδὼν δ' ἡγήσατ' ἀγακλειτῶν ἐπικούρων,*
*πρὸς δ' ἕλετο Γλαῦκον καὶ Ἀρήιον Ἀστεροπαῖον·*
*οἳ γάρ ϝοι 'ϝείσαντο διακριδὸν ἔμμεν' ἄριστοι*
*τῶν ἄλλων μετά γ' αὐτόν· ὃ δ' ἔπρεπε καὶ διὰ πάντων.*
*οἳ δ' ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι,*
*'βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι, οὐδ' ἔτ' ἔφαντο* 106 cf. *Π* 552
*σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.* 107 = *I* 235
*ἔνθ' ἄλλοι Τρῶες τηλεκλειτοί τ' ἐπίκουροι*
*βουλῇ Πολυδάμαντος ἀμωμήτοἰ ἐπίθοντο·*
*ἀλλ' οὐχ Ὑρτακίδης ἔθελ' Ἄσιος, ὄρχαμος ἀνδρῶν,* 110 cf. *B* 837
*αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα,*
*ἀλλὰ σὺν αὐτοῖσιν 'πέλασεν νήεσσι θοῇσι,*
*νήπιος, οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας*
*ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν*
*ἂψ ἀπονοστήσειν προτὶ ϝίλιον ἠνεμόεσσαν·* 115 = *Θ* 499
*πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψε*
*ἔγχεϊ Ἰδομενῆος, ἀγαυοῦ Δευκαλίδαο.*
*'ϝίσατο γὰρ νηῶν ἐπ' ἀριστερά, τῇ περ Ἀχαιοὶ*
*ἐκ πεδίου 'νίσσοντο σὺν ἵπποισιν καὶ ὄχεσφι·*
*τῇ ῥ' ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύλῃσι*
*ηὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα,*
*ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες, εἴ τιν' ἑταίρων*
*ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας.*
*τῇ ῥ' ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ' ἅμ' ἕποντο*
*ὀξέα κεκληγῶτες· ἔφαντο γὰρ οὐκέτ' Ἀχαιοὺς*
*σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι,* 126 = *I* 235
*νήπιοι, ἐν δὲ πύλῃσι δύ' ἀνέρας ηὗρον ἀρίστους,*

---

97 *ποταμοῖ'* nº 59] *-μοῦ* ‖ 101 *ἡγήσατ'*] *ἡγεῖτο* Vind. ‖ 103 *ἔμμεν'* nº 125] *εἶναι* ‖ 106 *οὐδ' ἔτ'* Barnes] *οὐδέ τ'* ‖ 107] cf. ad *I* 235 ‖ 109 *Πολυδάμαντος* nº 21] *Πουλ.* — **ἀμωμήτοἰ ἐπίθοντο*] *-τοιο πίθ.* ‖ 112 *'πέλασεν*] *πελάσαι* Naber ‖ 115 *ἠνεμόεσσαν*] cf. nº 21 ‖ 116 *δυσώνυμος*] *-μον* A ‖ 117 *ἔγχεϊ 'Ιδ.*] hiatus notabilis, cf. nº 15 ‖ 118 *'*ϝίσατο* nº 201] *εἴσατο* ‖ 125 *κεκληγῶτες*] *κεκληγόντες* meliores, cf. ad *Π* 430 *ξ* 30; **-γγῶτες?* ‖ 126] cf. ad *I* 235 ‖ 127 *ἀνέρας ηὗρον ἀρίστους*] *ἀνέρε εὗρον ἀρίστω* Zen. Aristoph., fortasse recte

XII *υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων,*
*τὸν μὲν Πειριθόοιο υἷα, κρατερὸν Πολυποίτην,*
*τὸν δὲ Λεοντῆα, βροτολοιγῷ Ϝῖσον Ἄρηι.* 130ᵇ = Γ 46 cf. Δ 295
*τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων*
*ἕστασαν ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι,*
*αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα,*
*ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ' ἀραρυῖαι·*
*ὣς ἄρα τὼ χείρεσσι πεποιθότες ἠδὲ βίηφι* 135ᵇ = 153
*'μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδ' ἐφέβοντο.*
*οἳ δ' ἰθὺς πρὸς τεῖχος ἐὺ δμητὸν, βόας αὔας*
*ὑψόσ' ἀνασχόμενοι, ἔκιον μεγάλῳ ἀλαλητῷ*
*Ἄσιον ἀμφὶ Ϝάνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην* 139ᵇ = 193
*Ἀσιάδην τ' Ἀδάμαντα Θόωνά τε Ϝοινόμαόν τε.*
*οἳ δ' ἦ τοι τῆος μὲν ἐυκνήμιδας Ἀχαιοὺς*
*ὤρνυνον ἔνδον ἐόντες ἀμύνεσθαι περὶ νηῶν·*
*αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν* 143 sq. = Ο 395 [sq.
*Τρῶας, ἀτὰρ Δαναῶν 'γένετο ϜιϜαχή τε φόβος τε,* 144ᵇ = Π 366 cf. Δ 456
*ἐκ δὲ τὼ ἀίξαντε πυλάων πρόσθ' ἐμαχέσθην,*
*ἀγροτέροισι σύεσσι ϜεϜοικότε, τώ τ' ἐν ὄρεσσι*
*ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,*
*δοχμώ τ' ἀίσσοντε περὶ σφίσι Ϝάγνυτον ὕλην,*
*πρυμνὴν ἐκτάμνοντε, ὑπαὶ δέ τε κόμπος ὀδόντων* 149ᵇ = Λ 417
*γίγνεται, εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·*
*ὣς τῶν 'κόμπεε χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς*
*ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο,*
*λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφι.* 153ᵇ = 135
*οἳ δ' ἄρα χερμαδίοισιν ἐὺ δμητῶν ἀπὸ πύργων*

---

128 *υἷας ὑπερθύμους*] *υἷε* (immo *υἷε'*, cf. *Β* 518) *ὑπερθύμω* Zen. Aristoph. ‖ 129 **Πειριθόοιο*] *-θόου*. — *υἷα*] cf. nº 17 et vid. vs. 182 ‖ 130] subiungebant quidam *υἱὸν ὑπερθύμοιο Κορώνου Καινεΐδαο* (= *Β* 746) ‖ 131—140] aut hos versus aut 141—153 damnandos esse censebat Hephaestio ‖ 131 *πυλάων* C D] *θυράων* A ‖ 138 *ἔκιον*] *κιέτην* Zen. Aristoph. ‖ 141 *τῆος* Nauck] *εἷως*. Cf. *Ο* 277 et nº 323 ‖ 142 *ὤρνυνον* C] *ὄρνυνον* A D Ambr.; de *-ον* pro *-σαν* cf. nº 145. — *ἐόντες* Ar. A C D] *-ντας* Ambr. ‖ 147 *δέχαται* Ar. A C D, cf. nº 227] *δέχεται* Ambr.; parum probabiliter Kayser *δέχεται κολοσυρτὸς ἐόντε*, vid. *Ν* 472 ‖ 149 *ἐκταμνόντε* C] *ἐκταμνόντες* A D. Sed estne aptum hoc verbum ad depingendos apros impetu suo virgulta confringentes et sternentes? ‖ 151 *'κόμπεε* nº 191] *κόμπει*. — *στήθεσσι*] *-σφι* D; cf. ad vs. 401 ‖ 153 *λαοῖσιν*] *λάοισιν* Zen. (*λάεσσιν* cod., correxit Lehrs), pro *λάεσσιν* (= *λίθοισιν*) perperam accipiens

XII 'βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων
νηῶν τ' ὠκυπόρων. νιφάδες δ' ὡς 'πίπτον ἔραζε,
ἅς τ' ἄνεμος ζαὴς, νέφεα σκιόεντα δονήσας,
ταρφείας κατέχευεν ἐπὶ χθονὶ πολυβοτείρῃ·
ὣς τῶν ἐκ χειρῶν βέλε' ἔρρεον ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων· κόρυθες δ' ἀμφ' αὖον ἀύτευν
βαλλόμεναι μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι.
δή ῥα τότ' ᾤμωξεν καὶ ἑϜὼ 'πεπλήγετο μηρὼ 162 = Ο 397 cf. ν 198
Ἄσιος Ὑρτακίδης, καὶ ἀλαστήσας Ϝέπος ηὔδα·
„Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
πάγχυ μάλ'· οὐ γὰρ ἐγώ γ' ἐφάμην ἥρωας Ἀχαιοὺς
σχησέμεν' ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
οἳ δ', ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
Ϝοικία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν' ἠὲ Ϝαλῶναι."
ὣς ἔφατ', οὐδὲ Διὸς 'πεῖθε φρένα ταῦτ' ἀγορεύων·
Ἕκτορι γάρ Ϝοι θυμὸς ἐβούλετο κῦδος ὀρέξαι. 174 = Ο 596

---

*ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσι,* 175 cf. Ο 414
*ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ' ἀγορεῦσαι.*
*πάντῃ γὰρ περὶ τεῖχος ὀρώρεε θεσπιδαὲς πῦρ*
*δήιον· Ἀργεῖοι δὲ, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ*
*νηῶν ἠμύνοντο· θεοὶ δ' ἀκαχήατο θυμὸν*
*πάντες, ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.*
*σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηιοτῆτα.*

**175—180 (immo —181) Zen. om., Aristoph. Ar. —**

---

158 *πολυβοτείρῃ* D, cf. nº 21] *πουλ.* ‖ 159 **βέλε' ἔρρεον*] *βέλεα ῥέον* Ar. codd., l. a. *ῥέεν* ‖ 160 *ἀύτευν*] cf. nº 7 et 191. Fick *ἄυον* ‖ 161 *βαλλόμεναι* Zen. codd.] *-ων* Ar. A² ‖ 162 *καὶ ἑ(Ϝ)ὼ* Bentley] *τε καὶ ὦ.* Heyne *καὶ Ϝὼ* ‖ 166 *σχησέμεν* Nauck] *-σειν* ‖ 168 *ποιήσωνται* A D] *-σονται* C, cf. nº 122 ‖ 171 *οἵ γ'* A C] *οἴδ'* Ar. D. — *ἐόντε* A C] *-ντες* D ‖ 175 sqq.] recte damnasse videntur veteres critici; simul tamen vs. 181 erat abiciendus, neque credibile videtur ab iis fuisse servatum. Plures portae non sunt, ex Ο 414 autem fictum esse versum 175 vidit Ar.; ignis nullusdum iniectus est navibus (cf. vs. 441 Ο 718). Praeterea ab arte poetae alienum est personam suam ita interponere ut vs. 176 fit ‖ 177 *ὀρώρεε* nº 110] *-ρει* ‖ 178 *δήιον* Bentley] codd. *λάινον*, quod a *τεῖχος* nimis est remotum neque cum *πῦρ* iungi potest; ex *δάιον* (ut posteriores scribebant) natum esse *λάινον* sagaciter perspexit Bentley ‖ 179 *ἀκαχήατο* dett.] *-χείατο* A C D. — *θυμὸν*] l. a. *-ῷ*

XII ἔνθ' αὖ Πειριθόοιο υἱὸς, κρατερὸς Πολυποίτης,
δούρ' ἔβαλεν Δάμασον κυνέης διὰ χαλκοπαρῄου· 183$^b$ = Υ 397
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ πρὸ 184 cf. Υ 398
αἰχμὴ ϝιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλος δὲ 185 sq. = Υ 399 sq.
ἔνδον ἅπας 'πεπάλακτ'· ἐδάμασσε δέ μιν μεμαῶτα. 185$^b$ sq. = Λ 97 sq.
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξε.
υἱὸν δ' Ἀντιμάχοιο Λεοντεὺς, ὄζος Ἄρηος,
Ἱππόμαχον 'βάλε δουρὶ, κατὰ ζωστῆρα τυχήσας. [284 Φ 116
αὖτις δ' ἐκ κολεοῖο ϝερυσσάμενος ξίφος ὀξὺ 190$^b$ = Ξ 496 Υ
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξας δι' ὁμίλου, 191$^b$ sq.$^a$ = Ρ 293 sq.
'πλῆξ' αὐτοσχεδίην· ὃ δ' ἄρ' ὕπτιος οὔδε' ἐρείσθη. 192$^b$ cf. Η 145
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέστην 193$^b$ = 139
πάντας ἐπασσυτέρους 'πέλασε χθονὶ πολυβοτείρῃ. 194 = Θ 277

ὄφρ' οἳ τοὺς ἐνάριζον ἀπ' ἔντεα μαρμαίροντα, 195$^a$ = Ο 343
τόφρ' οἳ Πολυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, 'μέμασαν δὲ μάλιστα 197 = 89
τεῖχός τε ῥῆξαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
οἵ ῥ' ἔτ' ἐμερμήριζον ἐφεσταότες παρὰ τάφρῳ.
ὄρνις γάρ σφιν ἐπῆλθε περήμεναι ἐμμεμαῶσι, 200$^b$-202 = 218 sqq.
αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐϝέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον 202$^b$ = ο 161
ζῳὸν, ἔτ' ἀσπαίροντα, καὶ οὔ πω 'λήθετο χάρμης,
'κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν
ἰδνωθεὶς ὀπίσω· ὃ δ' ἀπὸ ϝέθεν ἧκε χαμᾶζε
ἀλγήσας ὀδύνῃσι, μέσῳ δ' ἐνὶ κάββαλ' ὁμίλῳ,
αὐτὸς δὲ κλάγξας 'πέτετο πνοιῇσ' ἀνέμοιο.

---

182 *Πειριθόοιο] -θόου. — υἱὸς] de priore syllaba correpta cf. n° 17 ‖ 183 *δούρ' ἔβαλεν] δουρὶ βάλεν ‖ 185 ϝιεμένη cf. Υ 399] χαλκείη meliores ‖ 186 *'πεπάλακτ'· ἐδάμ.] πεπάλακτο· δάμ. ‖ 192 *οὔδε' n° 71] οὔδει. Vind. οὖδας ἔρεισε, ut Ar. (?) Λ 144 ‖ 194 πολυβοτείρῃ n° 21] πουλ. ‖ 196 Πολυδάμαντι n° 21] Πουλ. ‖ 198 ῥῆξαι ... ἐνιπρῆσαι D] ῥήξειν ... ἐνιπρήσειν. Cf. ad Β 544 ‖ 199 *ἔτ' ἐμερμήριζον] ἔτι μερμ. — τάφρῳ A C] -ον D ‖ 200 *περήμεναι ἐμμεμαῶσι] περησέμεναι μεμαῶσι, item vs. 218; cf. ad Β 544 et n° 195 ‖ 201 ὑψιπέτης] non -πετῆς (= -πετήεις) legendum esse ut moneret Aristarchus opus erat scilicet. Cf. Ι 605. — ἐϝέργων] verbi usum hunc illustrant loci Herodotei VII 43, 110, 112 VIII 35: ἐν ἀριστερῇ vel ἐν δεξιῇ ἀπέργων (montem, regionem etc.), de exercitu Xerxis praetereunti. Vertatur igitur *a sinistra praetervolans* ‖ 207 'πέτετο πνοιῇσ'] deesse ἅμα vidit Ar.; *'πτάθ' ἅμα πνοιῇσ'?

XII *Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ 'Ϝίδον αἰόλον ὄφιν*
*κείμενον ἐν μέσσοισι, Διὸς τέρας αἰγιόχοιο.*
*δὴ τότε Πολυδάμας θρασὺν Ἕκτορα 'Ϝεῖπε παραστάς·* 210 = 60
*„Ἕκτορ, αἰεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῆσι*
*ἐσθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ϜέϜοικε* $212^{b}$ = *φ* 319
*δῆμον ἐόντα παρ' ἒξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῇ*
*οὔτε ποτ' ἐν πολέμῳ, σὸν δὲ κράτος αἰὲν ἀέξειν·*
*νῦν αὖτ' ἐκϜερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα.* 215 cf. *Ι* 103
*μὴ ἴομεν Δαναοῖσι μαχεσσόμενοι περὶ νηῶν.*
*ὧδε γὰρ ἐκτελέεσθαι ὀίομαι, εἰ ἐτεόν γε*
*Τρωσὶν ὅδ' ὄρνις ἦλθε περήμεναι ἐμμεμαῶσι,* $218^{b}$-220 = 200 sqq.
*φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον*
*ζωόν, ἄφαρ δ' ἀφέηκε πάρος φίλα Ϝοικί' ἱκέσθαι,*
*οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑϜοῖσι·*
*ὣς ἧμες, εἴ περ τε πύλας καὶ τεῖχος Ἀχαιῶν*
*ῥηξόμεθα σθένεϊ μεγάλῳ, Ϝείξωσι δ' Ἀχαιοί,*
*οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·*
*πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ*
*χαλκῷ δῃώσωσιν, ἀμυνόμενοι περὶ νηῶν.*
*ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῷ*

---

219 *αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐϜέργων,*

---

208 *ἐπεὶ* Anecd. Bachm. II 185] *ὅπως*. Cf. ad *Δ* 459. — *ὄφιν*] prior syllaba vocabuli ap. Hom. alibi non obvii cur producatur nemodum explicavit. Nihil prodest Antimachi fr. 78 (in schol. Ar. Plut. 718) *Τήνου ὀφιοέσσης*, nam haec forma cum *ἠνεμοέσσης ζεφυρίη* similibus (nº 21) est componenda. Veteres grammatici (vid. schol. Eust. Athen. XIV 632) *μείουρον* appellant versum, et Demetrius de Elocutione (Rhet. Spengel III 317) vel consulto quaesitam putat hanc *κακοφωνίαν*, poetam enim, si lubuisset, scribere potuisse *ὅπως ὄφιν αἰόλον εἶδον* (obstabat Ϝ). Deteriores vero codd. *ὄπφιν* exhibent: — recte, si sanus est locus, quod vix credibile videtur. Hipponactem quoque (fr. 49) *ὄφις* dixisse contendit Tzetzes, at in versibus ab eo allatis etiam *κακῦμήχανε* legitur, nec multum igitur videtur tribuendum eius testimonio, cum praesertim *οὖφις* (*ὁ ὄφις*) Hipponax l. l. salva sententia scribere potuerit || 210 *Πολυδάμας* nº 21] *Πουλ.* — *Ἕκτορα*] vid. ad vs. 60 || 211 **αἰεὶ*] *ἀεὶ* codd.; cf. nº 17 et 324. — *ἐπιπλήσσεις* Ar. codd.] l. a. *ἐνιπλήσσεις* || 213 *δῆμον ἐόντα*] verba corrupta: *δῆμον ἀντὶ τοῦ δημότην* Ar.; Bentley *δήμου* collato *Β* 198 (cf. etiam *Δ* 328 et infra vs. 447), idque probat vHerwerden. Vulgatam Horatius imitari videtur Epist. I 1, 59 *plebs eris* || 214 *κράτος*] l. a. *κλέος* || 215 *ἔμμεν* nº 125] *εἶναι*; sed vid. ad *Ι* 103 || 216 *μαχεσσόμενοι* Nauck] *μαχησόμενοι* (-*σάμενοι* D) || 218 *ἦλθε* Ar.] *ἐπῆλθε*. — *περήμεναι ἐμμεμαῶσι*] *περησέμεναι μεμαῶσι*, cf. vs. 200 || 219] om. A, in textu CD || 223 **ἧμες*] *ἡμεῖς* || 224 *Ϝείξωσι*] *εἴξουσι* C, cf. nº 122 || 227 *δῃώσωσιν* D] -*σουσι* A, cf. nº 122, *δηιόσωσιν* C. Notetur *δῃ*- pro *δηΐ*-; fortasse **δηιόωσιν* verum est, cf. *Ξ* 518 *Π* 158 et ad *Ρ* 65

XII ϝειδείη τεράων καί ϝοι πειθοίατο λαοί." 229b = Ξ 93
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 230 sq. = Σ 284 sq.
„Πολυδάμαν, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 231b-234 = Η 357 sqq.
ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,
ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλάων, ἅς μ' αὐτὸς ὑπέσχετο καὶ κατένευσε·
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω, 238 cf. Α 160
εἴ τ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠόα τ' ἠέλιόν τε, 239b = ι 26 ν 240
εἴ τ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα. 240b = ν 241
ἧμες δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ϝανάσσει.
εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.
τίπτε σὺ δέδϝοικας πόλεμον καὶ δηιοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἔπ' Ἀργεῖων, σοὶ δ' οὐ δϝέος ἔστ' ἀπολέσθαι·
οὐ γάρ τοι κραδίη μενεδήιος οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηιοτῆτος ἀφέξεαι ἠέ τιν' ἄλλον
παρφάμενος ϝεπέεσσιν ἀποτρέψεις πολέμοιο, 249a = β 189
αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις." 250 cf. Α 433
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο 251 sq.a = Ν 833 sq.
ϝηχῇ θεσπεσίῃ· ἐπὶ δὲ Ζεὺς τερπικέραυνος 251 = Β 413 ϑ 46, 104
ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ' ἰθὺς νηῶν κονίην ἔφερ'· αὐτὰρ Ἀχαιῶν
'θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε. 255b = Ο 327 Π 730
τοῦ περ δὴ τεράεσσι πεποιθότες ἠδὲ βίηφι
ῥήγνυσθαι μέγα τεῖχος Ἀχαιῶν 'πειρήτιζον.
κρόσσας μὲν πύργων 'ϝέρυον καὶ ἔρειπον ἐπάλξις
στήλας τε προβλῆτας ἐμόχλεον, ἃς ἄρ' Ἀχαιοὶ
πρώτας ἐν γαίῃ 'θέσαν ἔμμεναι ἔχματα πύργων.
τὰς οἵ γ' ἀϝϝέρυον, 'ϝέλποντο δὲ τεῖχος Ἀχαιῶν

230 τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη] τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Zen. || 231 Πολυδάμαν nº 21] Πουλυδάμαν Zen., Πουλυδάμα Ar. codd. || 236 *βουλάων, ἅς μ'] βουλέων, ἅς τέ μοι, cf. nº 56 || 239 ἠόα nº 77] ἠῶ || 241 *ἧμες] ἡμεῖς || 244 δέδϝοικας] δείδοικας codd. || 246 ἔπ'] ὑπ' Zen. || 248 ἠέ] εἴ τέ C || 249 ἀποτρέψεις A] -στρέψεις CD || 254 *ἔφερ'] φέρεν || 258 ἐπάλξις Bekker] -εις || 261 ἀϝϝέρυον nº 40] αὐέρυον A, αὖ ἔρυον CD

XII ῥηξέμεν᾽. οὐδέ νύ πω Δαναοὶ ᾽χάζοντο κελεύθου, 262 cf. Λ 504
ἀλλ᾽ οἵ γε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξις
᾽βάλλον ἀπ᾽ αὐτάων δηίους ὑπὸ τεῖχος ἰόντας.
  ἀμφοτέρω δ᾽ Αἴαντε κελευτιάοντ᾽ ἐπὶ πύργων
πάντοσ᾽ ἐφοιτήτην, μένος ὀτρύνοντες Ἀχαιῶν.
ἄλλον μειλιχίοισ᾽, ἄλλον στερεοῖσι Ϝέπεσσι
᾽νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα Ϝίδοιεν·
„ὦ φίλοι, Ἀργείων ὅς τ᾽ ἔξοχος ὅς τε μεσήεις
ὅς τε χερειότερος, ἐπεὶ οὔ πω πάντες ὁμοῖοι
ἀνέρες ἐν πολέμῳ, νῦν ἔπλετο Ϝέργον ἅπασι·
καὶ δ᾽ αὐτοὶ τόδε που γιγνώσκετε. μή τις ὀπίσσω
τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούων,
ἀλλὰ πρόσω Ϝίεσθε καὶ ἀλλήλοισι κέλεσθε,
αἴ κε Ζεὺς δώῃσιν ᾽Ολύμπιος ἀστεροπητὴς
νεῖκος ἀπωσαμένους δηίους προτὶ Ϝάστυ δίεσθαι."
  ὣς τώ γε προβιβάντε μάχην ὤτρυνον Ἀχαιῶν.
τῶν δ᾽, ὥς τε νιφάδες χιόνος πίπτωσι θαμειαὶ
ἤματι χειμερίῳ, ὅτε τ᾽ ὤρετο μητιέτα Ζεὺς
νιφέμεν᾽, ἀνθρώποισι πιφαυσκόμενος ἑϜὰ κῆλα· $280^b$ = h. Ap. 444
κοιμήσας δ᾽ ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρῴονας ἄκρους
καὶ πεδία λωτεῦντα καὶ ἀνδρῶν πίονα Ϝέργα,
καί τ᾽ ἐφ᾽ ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκτῇ,

---

262 ῥηξέμεν Nauck] -ειν ‖ 263 ἐπάλξις Bekker] -εις ‖ 264 δηίους] cf. nº 17 ‖ 265 κελευτιάοντ᾽ nº 191] -όωντ᾽ ‖ 266 ἐφοιτήτην] cf. nº 195 ‖ 267 στερεοῖσι Ϝέπεσσι Bekker] -οῖς ἐπέεσσι ‖ 269 μεσήεις] pro μέσος vix sanum; ingeniose Goebel μεσηγὺς ‖ 273 ποτὶ A C] προτὶ Syr. D. — ἀκούων Syr. CD] ἀκούσας A ‖ 274 πρόσω Syr.] πρόσσω ‖ 276 νεῖκος Syr. A D] νῖκος (= νίκην) Ar. C. — δηίους] cf. nº 17 ‖ 277 προβιβάντε Nauck] προβοῶντε codd. sine sensu, idque Zenodotum legisse ex Ο 307 fit veri simile. In Ar. Commentariis inveniebatur lectio προβάοντε, optima quod ad sensum, sed forma parum commendabilis. Cum Nauckio igitur ad ipsius Aristarchi exemplum (vid. Η 213 Ν 371 saepius) -βιβάντε dedimus pro -βοῶντε vel -βιβῶντε (nam sic quoque olim scriptum fuisse non potes non suspicari; cf. Ν 807 Π 609 ο 555 h. Merc. 149). — ὤτρυνον] -ναν D ‖ 278 πίπτωσι] -ουσι D ‖ 280 ἑὰ Nauck] τὰ ἅ; cf. Θ 430 Ο 58 Ρ 193 Σ 451 Φ 305 Χ 459 et ad Λ 185, et de metro vid. nº 19. An σεϜά? vid. nº 44 ‖ 281 ἔμπεδον Ar. codd.] ἄσπετον liber Massiliensis. — καλύψῃ] cf. nº 122 ‖ 283 λωτεῦντα] Ar. -οῦντα, idque ex -όεντα contractum censebat; -εῦντα vero liber Massiliensis habebat teste Eustath. Suspicamur *λοτόεντα verum esse, cf. χῶρος - εὐρύχορος, nº 18. IMenrad olim proposuit ἀνθεμόεντα, nunc ad verbum quoddam λωτέω referre conatur: neutrum probabiliter ‖ 284 ἀκτῇ Christ] ἀκταῖς codd., forma ne in recentissimo quidem versiculo ferenda

XII κῦμα δέ μιν προσκλύζον ἐρύκεται· ἄλλα δὲ πάντα
286 ϜεϜλύαται καθύπερθ', ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος· $286^b$ = Ε 91
ὣς τῶν ἀμφοτέρωσε λίθοι 'ποτάοντο θαμεῖαι,
αἳ μὲν ἄρ' ἐς Τρῶας, αἳ δ' ἐκ Τρώων ἐς Ἀχαιούς,
βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.

οὐδέ κέ πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα, 291 cf. Ν 124
εἰ μὴ ἄρ' υἱὸν ἑϜὸν Σαρπηδόνα μητιέτα Ζεὺς
ὦρσεν ἐπ' Ἀργεΐοισι, λέονθ' ὣς βουσὶ Ϝέλιξι.
αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐϜίσην, $294^b$ = Φ 581
καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺς
297 ῥάβδοισι χρυσέῃσι διηνεκέσιν περὶ κύκλον
296 ἤλασεν, ἔντοσθεν δὲ βοείας 'ράψε θαμείας.
τὴν ἄρ' ὅ γε πρόσθε σχόμενος, δύο δοῦρε τινάσσων,
'βῆ ῥ' ἴμεν' ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς 299 cf. Κ 297 Ρ 61 / $299^a$ = ζ 130
δϜηρὸν ἔῃ κρεάων, κέλεται δέ Ϝε θυμὸς ἀγήνωρ $300^b$ cf. ζ 133
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν· 301 = ζ 134
εἴ περ γάρ χ' εὕρῃσι παρ' αὐτόθι βώτορας ἄνδρας
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ μῆλα,
οὔ ῥά τ' ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι,
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξ' ἐπιάλμενος ἠὲ καὶ αὐτὸς
ἔβλητ' ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι· 306 cf. Λ 675
ὣς ῥα τότ' ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε
τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξις.
αὐτίκα δὲ Γλαῦκον προσέφη, παῖδ' Ἱππολόχοιο·
„Γλαῦκε, τίη δὴ νῶι τετιμήμεσθα μάλιστα

---

285 *προσκλύζον* vHerwerden coll. Ξ 392 Ψ 61 ι 484] *προσπλάζον*; cf. Φ 269. — *δὲ* Heyne] *τε* ‖ 286 *ϜεϜλύαται* n° 265] *εἰλύαται* Syr. C, *εἰλῦται* A D. — *ἐπιβρίσῃ*] -*σει* C, cf. n° 122 ‖ 287 *'ποτάοντο* n° 191] *πωτῶντο*, item h. Ap. 442 (et XXIX 4, ubi solvi nequit) ‖ 290 **οὐδέ κε*] *οὐδ' ἄν* ‖ 295 *ἐξήλατον* Zen. codd.] *ἐξήλατον* Ar. Stuttg. Cant. (= *ἑξάπτυχον*) non recte; neque enim numeralia sic componuntur neque clipei sic fabricantur. Nauck *εὐήλατον* coniecit ‖ 296 *ἤλασεν*] *ἐξέλασ'* Zen. ‖ 297 **ῥάβδοισι χρυσέῃσι*, cf. n° 61] *χρυσείῃς* (-*οις* D) *ῥάβδοισι*, codd. male, vid. n° 57. — Clipeum ornatum esse aureis striis, quae, radiorum instar, ab umbone ad oram tendant, demonstravit Helbig Epos p. 280 sq.; quem sensum ut eliceret, post versum 296 unum duosve hexametros excidisse statuit. Nos vero non lacunosam esse vulgatam sed ordinem versuum turbatum esse putamus; versu enim 297 ante vs. 296 posito is ipse efficitur sensus quem flagitabat Helbig ‖ 300 *κρεάων* Nauck] *κρειῶν* ‖ 302 *παρ' αὐτόθι*] *παραυτόθι* Bekker, *παρ' αὐτόφι* codd.; cf. Ν 42 Τ 255 Υ 140 Ψ 147, 640 ‖ 305 **ἥρπαξ' ἐπιάλμενος*] *ἥρπαξε* (-*ζε* D) *μετάλμενος* ‖ 308 *ἐπάλξις* Bekker] -*εις*

XII *ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοισι δέπασσι* 311 = Θ 162
*ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσοράουσι;*
*καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ᾽ ὄχθας,*
*καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο.* 314 = Z 195
*τῷ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας*
*ἑστάμεν᾽ ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι,* 316 = Δ 342
*ὄφρα τις ὧς Ϝείπῃ Λυκίων πύκα θωρηκτάων·*
*οὐ μὰν ἀκλεέες Λυκίην κάτα κοιρανέουσι*
*ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα*
*Ϝοῖνόν τ᾽ ἔξαιτον μελιϜηδέα· ἀλλ᾽ ἄρα καὶ Ϝὶς*
*ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται. —*
*ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε*
*αἰεὶ δὴ μέλλοιμεν ἀγηράω ἀθανάτω τε*
*ἔσσεσθ᾽, οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην* 324 cf. *I* 709
*οὔτε κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·*
*νῦν δ᾽ — ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο*
*μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ᾽ ὑπαλύξαι —*
*ἴομεν, ἠέ τιν᾽ εὖχος ὀρέξομεν ἠέ τις ἧμιν."* 328 cf. *N* 327
*ὧς ἔφατ᾽, οὐδὲ Γλαῦκος ἀπετράπετ᾽ οὐδ᾽ ἀπίθησε·*
*τὼ δ᾽ ἰθὺς ᾽βήτην Λυκίων μέγα Ϝέθνος ἄγοντε.*
*τοὺς δὲ Ϝιδὼν ᾽ρίγησεν υἱὸς Πετεῷο Μενεσθεύς·*
*τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν κακότητα φέροντες.*
*᾽πάπτηνεν δ᾽ ἀνὰ τεῖχος Ἀχαιῶν, εἴ τιν᾽ ἴδοιτο*
*ἡγεμόνων, ὅς τίς Ϝοι ἀρὴν ἑτάροισιν ἀμύναι·* 334ᵇ cf. *Π* 512
*ἐς δ᾽ ἐνόησ᾽ Αἴαντε δύω, πολέμοι᾽ ἀκορήτω,*
*ἑσταότας, Τεῦκρόν τε, νέον κλισίηθεν ἰόντα,*
*ἐγγύθεν· ἀλλ᾽ οὔ πώς Ϝοι ἔην βώσαντι γεγωνεῖν·*

---

311 *πλείοισι δέπασσι* Nauck] *-οις δεπάεσσι* || 312 *εἰσοράουσι* nº 191] *-όωσι* || 317 *ὧς* (*ὡς*) Bentley] *ὧδ᾽* || 318 *ἀκλεέες* nº 73] *ἀκλήεις* Syr., *ἀκληεῖς* A D, *ἀκλεεῖς* C, *ἀκλειεῖς* Eust. — Ar. non *-εις* sed *-ες* dedit, utrum tamen *ἀκλῆες* (vel *ἀκλεῖες*) an *ἀκλεὲς* [*οἵ*] scripserit, dubitari potest; cf. Ludwich Arist. I 343 || 322 *φυγόντε* A C] *-ντες* Syr. D || 323 *ἀγηράω* nº 62] *ἀγήρω τ᾽* || 325 *ἐς*] *ἀνὰ* C || 328 **τιν᾽(ι)* nº 99] *τοι*. — **ἧμιν*] *ἡμῖν*. — A quibusdam male addi *δώσει ἀποκτάμενος κλυτὰ τεύχεα καὶ δόρυ μακρόν* monebat Ar. || 330 *ἄγοντε* Ar. codd.] *-ντες* Vind. Barocc. || 331 *ῥίγησεν* C[1] Lips.] *ῥίγησ᾽*. — *υἱὸς*] nº 17. — *Πετεῷο* Cobet] *-ῶο* || 333 *τεῖχος* Bekker] *πύργον* codd., quod ex vs. praecedenti irrepsisse acute vidit Bekker; redit *τεῖχος Ἀχαιῶν* vs. 352 (vide tamen vs. 386). Simili vitio laborabat *B* 291. — *ἴδοιτο*] neglecto Ϝ || 334 *ἀμύναι*] Nauck *ἀλάλκοι* coll. *Φ* 539 || 335 *πολέμοι᾽* nº 59] *-μου* || 337 *βώσαντι*] forma notabilis, cf. nº 192; *βοόωντι* apud Nauckium proponitur, at vid. ε 400. — *γεγωνεῖν* Ar. codd.] male quidam *γεγώνειν*, est enim *aor. II*, alibi *γεγωνέμεν᾽* (Θ 223 Λ 6); cf. nº 260

XII τόσσος γὰρ κτύπος ἦεν, ἀυτὴ δ' οὐρανὸν ἷκε 338ᵇ = *B* 153
βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο, τοὶ δὲ κατ' αὐτὰς
ἱστάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐσελθεῖν.
αἶψα δ' ἐπ' Αἴαντε προΐει κήρυκα Θοώτην·
„ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον, ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 344 = 357
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος· 345 cf. 358
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ 346 sq. = 359 sq.
ζαχραέες τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρε, 348 cf. 361
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, 349 sq. = 362 sq.
καί ϝοι Τεῦκρος ἅμ' ἑσπέσθω τόξων ἐὺ ϝειδώς."
ὣς ἔφατ', οὐδ' ἄρα ϝοι κῆρυξ ἀπίθησεν ἀκούσας, 351 = *Δ* 198
'βῆ δὲ θέειν παρὰ τεῖχος Ἀχαιῶν χαλκοχιτώνων,
'στῆ δὲ παρ' Αἰάντεσσι κιών, εἶθαρ δὲ προσηύδα· 353 cf. *P* 707
„Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων, 354 = *Δ* 285
ἤνωγεν Πετεῷο διοτρεφέος φίλος υἱὸς
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον, ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 357 = 344
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος· 358 cf. 345
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ 359 sq. = 346 sq.
ζαχραέες τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρε, 361 cf. 348
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, 362 sq. = 349 sq.
καί ϝοι Τεῦκρος ἅμ' ἑσπέσθω τόξων ἐὺ ϝειδώς."
ὣς ἔφατ', οὐδ' ἀπίθησε μέγας Τελαμώνιος Αἴας.

---

350 Aristoph. Ar. — || 363 Ar. —

---

339 *τρυφαλειῶν*] pro *-άων* forma novicia (nº 56); **κυνεάων?* || 340 *πυλέων*] cf. nº 56. — *πᾶσαι γὰρ ἐπῴχατο* Ar. A] *πάσας γὰρ ἐπῴχετο* Zen. Syr. C D (sine sensu). Recte Ar. videtur interpretatus esse *ἐπέκειντο* (*clausae erant*), sed etymon vocabuli obscurum est. Fortasse *ἐπώχατο* (sic Harl. et Apoll. lex.) scribendum et cum *ἐπέχω* componendum est; vid. Curt. Verb. II 218 et conf. *συνοκωχότε* *B* 218 *συνωχαδόν* Hes. Theog. 690 || 342 sq. *Αἴαντε* Zen. Syr.] *-ντα*, cf. *K* 53 *O* 301 || 344 *ὃ γάρ*] cf. ad *K* 127 || 347 *ζαχραέες* Christ] *ζαχρηεῖς*, cf. ad *E* 525 || 348 *καὶ κεῖθι* Ar. A C] *κἀκεῖθι* Syr. D, *κἀκεῖσε* Zen. (cf. vs. 359), qui *ὧδε* vs. 346 pro *δεῦρο* perperam accipiebat (cf. nº 49) || 350 *ἅμ' ἑσπέσθω* A] *ἅμ' ἑπέσθω* C D, *ἅμα σπέσθω* Syr. || 352 *θέειν*] *θέων* D. — *παρὰ* A D] *κατὰ* Syr. C || 355 **ἤνωγεν* nº 225] *-γει*. — *Πετεῷο* Cobet] *-ῶο* || 357 *ὃ γάρ*] cf. ad *K* 127 || 359 *ὧδε* Ar. codd.] *κεῖσε* Zen., cf. vs. 348 || 360 *ζαχραέες* Christ] *ζαχρηεῖς*, cf. ad *E* 525. — *κρατερὰς ὑσμίνας*] *-ρὴν -νην* Syr. || 363 *ἅμ' ἑσπέσθω* A] *ἅμ' ἑπέσθω* C D, *ἅμα σπέσθω* Syr.

XII αὐτίκ' Ὀιλεΐδην ϝέπεα πτερόεντα προσηύδα·
„Αἶαν, σφῶι μὲν αὖθι, σὺ καὶ κρατερὸς Λυκομήδης,
ἑσταότες Δαναοὺς ὀτρύνετε ϝῖφι μάχεσθαι·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιάω πολέμοιο. 368 = Ν 752
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπεί κ' εὖ τοῖσ' ἐπαμύνω.“ 369 cf. Ν 753
ὣς ἄρα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας,
καί ϝοι Τεῦκρος ἅμ' ἦε κασίγνητος καὶ ὄπατρος· 371ᵇ cf. Λ 257
τοῖσ' ἅμα Πανδίων Τεύκρου 'φέρε καμπύλα τόξα.
εὖτε Μενεσθῆος μεγαθύμου πύργον ἵκοντο
τείχεος ἐντὸς ἰόντες, — ἐπειγομένοισι δ' ἵκοντο —
οἳ δ' ἐπ' ἐπάλξις 'βαῖνον ἐρεμνῇ λαίλαπι ϝῖσοι,
ἴφθιμοι Λυκίων ἡγήτορες ἠδὲ μέδοντες·
σὺν δ' ἐβάλοντο μάχεσθαι ἐναντίον, ὦρτο δ' ἀυτή.
Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα, 378 cf. Ν 170
Σαρπήδοντος ἑταῖρον, Ἐπικλέεα μεγάθυμον, 378ᵃ = Ζ 5
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεος ἐντὸς 380ᵃ = ι 499
'κεῖτο μέγας παρ' ἔπαλξιν ὑπέρτατος· οὔ κέ ϝε ῥεῖα [187
χείρεσσ' ἀμφοτέρῃσιν ἀνὴρ φέροι, οὐδὲ μάλ' ἡβῶν, 382ᵇ = Ω 565 ψ
οἷοι νῦν βροτοί εἰσ'· ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρας, 383ᵃ = Ε 304
'θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ' ὀστέ' ἄραξε 384ᵇ sq. = μ 413 sq.
πάντ' ἄμυδις κεφαλῆς. ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼς 385ᵇ = Π 742
κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, 'λίπε δ' ὀστέα θυμός.
Τεῦκρος δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο,
ἰῷ ἐπεσσύμενον 'βάλε τείχεος ὑψηλοῖο,
ᾗ 'ϝίδε γυμνωθέντα βραχίονα, 'παῦσε δὲ χάρμης.

---

**372 Ar.** —

---

365 *Ὀιλεΐδην* Nauck] *Ὀιλιάδην* codd., *ἄρ' Ἰλιάδην* Zen., cf. *Β* 527. Vitiosum patronymicum *-ιάδης* pro *-εΐδης*, quod legitur h. l. et *Ν* 203, 712 *Ξ* 446 *Π* 330 *Ψ* 759, peperit notissimarum vocum *Ἴλιος* et *Ἰλιάς* sonus subsimilis ‖ 366 *σφῶι*] *σφῶε* Zen., trito errore ‖ 367 *ὀτρύνετε* Bentley] *-τον* ‖ 368 *κεῖσ'*] *κεῖθ'(ι)* Zen. — *ἀντιάω* nº 191] *-όω* ‖ 369 **ἐπεί κ'*] *ἐπὴν* ‖ 372 **τοῖσ'*] *τοῖς δ'*; Nauck *τοῖσι δὲ Π.* ‖ 373 *εὖτε*] *οὔτε* Syr. ‖ 374] in Syr. om.; aberraverant igitur scribae oculi ab *ἵκοντο* vs. 373 ad sequentis versus exitum ‖ 375 *ἐπάλξις* Bekker] *-ξεις* ‖ 379 *Ἐπικλέεα* nº 73] *-κλῆα* codd., *Ὀικλῆα* Apoll. lex. ‖ 381 *οὔ κέ ϝε ῥεῖα* IMenrad] *οὐδέ κέ μιν ῥέα* meliores, Vind. *ῥεῖα*, D om. *κε*. Vitiosum *ῥέα* (nº 8) quomodo corrigendum sit, efficitur ex *Υ* 101, qui simili mendo laborat. Nauck *οὐδέ κε ῥεῖα | χερσί μιν ἀμφοτέρῃσιν ἀνὴρ ἔχοι* ‖ 382 **χείρεσσ' ἀμφοτέρῃσιν ἀνὴρ φέροι*] *χείρεσσ' ἀμφοτέρης ἔχοι ἀνὴρ* (metro duriore) C et alii (*-ῃσιν* Vind. Townl.), *χείρεσσιν ἀμφοτέροισιν ἔχοι ἀνὴρ* (invitis numeris) D, *χειρί γε τῇ ἑτέρῃ φέροι ἀνὴρ* A. Aristarchus non *χειρί γε τῇ ἑτέρῃ* scripsit sed *χείρεσσ' ἀμφοτέρῃσιν* (*-ρῃς*?), illud admirationem minuere monens ‖ 383 *δ' ἄρ'*] **δέ ϝ'*? l. a. *ὃ δέ μιν ῥέα πάλλε καὶ οἶος* (= vs. 449) ‖ 386 *ἀφ' ὑψηλοῦ*] l. a. *ἀπ' εὐεργέος* (cf. *Π* 743) ‖ 389 *ϝίδε* Heyne] *ᾧ' ἴδε*

ἂψ δ' ἀπὸ τείχεος ἆλτο λαθών, ἵνα μή τις Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετάοιτο Ϝέπεσσι.
Σαρπήδοντι δ' ἄχος 'γένετο Γλαύκοι' ἀπιόντος,
αὐτίκ' ἐπεί τ' ἐνόησ'· ἔμπης δ' οὐ 'λήθετο χάρμης,
ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας
'νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὃ δ' ἑσπόμενος 'πέσε δουρὶ 395ᵃ = Ν 178
πρηνής, ἀμφὶ δέ Ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῷ. 396ᵇ = Ν 181 Ξ 420
Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσι 397ᵇ = δ 506
εἷλχ'· ἣ δ' ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ 'θῆκε κέλευθον.
τὸν δ' Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ' ὃ μὲν ἰῷ
'βεβλήκει τελαμῶνα περὶ στήθεσφι φαεινὸν
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε
παιδὸς ἑϜοῦ, μὴ νηυσὶν ἔπι πρυμνῇσι δαμείη·
Αἴας δ' ἀσπίδ' ἔνυξ' ἐπιάλμενος, οὐδὲ διὰ πρὸ 404 cf. Η 260
ἤλυθεν ἐγχείη, 'στυφέλιξε δέ μιν μεμαῶτα. 405 = Η 261
'χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιος· οὐδ' ὅ γε πάμπαν
'χάζετ', ἐπεί Ϝοι θυμὸς ἐϜέλδετο κῦδος ἀρέσθαι.
'κέκλετο δ' ἀντιθέοισι Ϝελιξάμενος Λυκίοισι· 408 cf. Π 421
„ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδος ἀλκῆς; 409ᵇ = Δ 234
ἀργαλέον δέ μοί ἐστι, καὶ ἰφθίμῳ περ ἐόντι, 410 = Γ 356
μούνῳ ῥηξαμένῳ θέσθαι παρὰ νηυσὶ κέλευθον· 411 cf. 418
ἀλλ' ἐφομαρτέετε· πλεόνων τοι Ϝέργον ἄμεινον."
ὣς ἔφαθ', οἳ δὲ Ϝάνακτος ὑποδϜείσαντες ὁμοκλὴν 413 = Ψ 417, 446 cf. Ω 265
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ Ϝάνακτα.
Ἀργέιοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας 415 = Δ 215
τείχεος ἔντοσθεν, μέγα δέ σφισι 'φαίνετο Ϝέργον· 416ᵇ cf. χ 149
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον, 418 cf. 411

390 δ'] om. D ‖ 391 *εὐχετάοιτο Ϝέπεσσι* nº 191] *-τόῳτο Ϝέπεσσι* Heyne, *-τόῳτ ἐπέεσσι* codd. ‖ 392 *Γλαύκοι'* nº 59] *-κου* ‖ 393 **ἐνόησ'· ἔμπης*] *ἐνόησεν· ὅμως* codd., in quibus *ὅμως* non est Homericum, cf. nº 322. Sententiam aperit *ἔμπης* *Ε* 191 *τ* 302. Lehrs Ar.² 157 *ὁ δ' οὐδ' ὧς* ‖ 395 *δ' ἑσπόμενος πέσε*] *δὲ σχόμενος περὶ* Hesych. (male), cf. *Ν* 570 ‖ 398 **εἷλχ'*] *ἕλχ'* ‖ 401 *στήθεσφι* A D] *στήθεσσι* Syr. C. Ex lectionis varietate h. l. *Β* 388 alibi vere effecisse videtur Droncke, illis locis, ubi *στῆθος* de *corpore* dicatur non de *animo*, *στήθεσφι* constanter scribendum esse; vid. *Β* 416 *Γ* 332 *Δ* 420 *Ε* 317 etc. et ad *Κ* 95 ‖ 404 **ἀσπίδ' ἔνυξ' ἐπιάλμενος*] *ἀσπίδα νύξεν ἐπάλμενος* codd., *νύξε μετάλμενος* Vind. — *οὐδὲ* Ar. C D] *ἡ δὲ* A ‖ 406 *'χώρησεν*] *-σαν* C D (male) ‖ 407 *ἐέλδετο* Syr. C²] *ἐέλπετο* Ar. A C¹ D; cf. *δ* 162 ‖ 412 *ἐφομαρτέετε* nº 191] *-τεῖτε* Syr., *ἐφαμαρτεῖτε* Ar. (cf. *Ψ* 414), *ἐφομαρτεῖτον* (noto errore) A C D. — *τοι* Hoffmann] *δέ τοι*. Bentley *δέ τε*

XII οὔτε ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίους ἐδύναντο
τείχεος ἄψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτ' ἐπέλασθεν. 420 cf. Ο 418
ἀλλ' ὥς τ' ἀμφ' οὔροισι δύ' ἀνέρε δηριάεσθον,
μέτρ' ἐν χερσὶν ἔχοντε, ἐπιξύνῳ ἐν ἀρούρῃ,
ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ Ϝίσης,
ὣς ἄρα τοὺς διέϜεργον ἐπάλξιες· οἳ δ' ὑπὲρ αὐτέων
'δήοον ἀλλήλων ἀμφὶ στήθεσσι βοείας 425 sq. = Ε 452 sq.
ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέι χαλκῷ,
ἠμὲν ὅτεῳ στρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ' οὐδ' ὣς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν,
ἀλλ' ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
Ϝισάζουσ', ἵνα παισὶν ἀϜεικέα μισθὸν ἄρηται·
ὣς μὲν τῶν ἐπὶ Ϝῖσα μάχη 'τέτατο πτόλεμός τε, 436 = Ο 413
πρίν γ' ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορ' ἔδωκε
Πριαμίδῃ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν. 438 cf. Π 558
ἤυσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς· 439 = Ν 149 cf. Θ 227
„ὄρνυσθ', ἱπποδάμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος
Ἀργεΐων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ."
ὣς 'φάτ' ἐποτρύνων, οἳ δ' οὔασι πάντες ἄκουον,
ἴθυσαν δ' ἐπὶ τεῖχος ἀϜολλέες. οἳ μὲν ἔπειτα
κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντες,
Ἕκτωρ δ' ἁρπάξας λᾶαν 'φέρεν, ὅς ῥα πυλάων
εἱστήκει πρόσθε, πρυμνὸς παχύς, αὐτὰρ ὕπερθε

420 **πρῶτ' ἐπέλασθεν*] *πρῶτα πέλασθεν* Ar. codd. ‖ 421 *δηριάεσθον* nº 191] *-άασθον* ‖ 422 *ἔχοντε* Nauck] *-ντες* codd. ‖ 423 *ὀλίγῳ ἐνὶ χώρῳ*] *ὀλίγῃ ἐνὶ χώρῃ* Zen. — *Ϝίσης*] *νίκης* Apoll. lex. ‖ 424 *αὐτέων*] forma novicia, cf. nº 56; *αὐτάων* D metro invito; **αὐτὰρ ὕπερθε*? Recurrunt verba Scut. Hes. 237. — In Vind. subiungitur *βάλλον ἀμυνόμενοι χαλκήρεσιν ἐγχείῃσιν* (cf. vs. 155 Σ 534) ‖ 425 *'δήοον* nº 191] *δήουν*. Notetur *-η-* pro *-ηΐ-* ‖ 428 *ὅτεῳ* Zen.] *ὅτῳ* (Ar.?) A C D Syr. Ambr. Si genuinum est pronomen, non iambum sed anapaestum debet efficere, cf. nº 8; sed verum videtur **ὅτε* ‖ 433 *ἀληθής*] *ἀλῆτις* Apoll. lex. scribae errore ‖ 435 *ἀϜεικέα*] *ἀνεικέα* Ar. edidit, ipse tamen *ἀεικέα* (= *εὐτελῆ*) postulans; praeterea in quodam Commentario *ἀμεμφέα* protulit lectionem ‖ 437 *ὑπέρτερον*] *-τατον* Ambr. — **Ἕκτορ' ἔδωκε*] *-ρι δῶκε* ‖ 439 *γεγωνώς*] nº 260 ‖ 442 *'φάτ'*] *ἔφατ'* A, quod servari possit si scribatur *ὀτρύνων* ‖ 444ᵇ] *ἐπεὶ θεοῦ ἔκλυον αὐδήν* (cf. Ο 270) Zen., versum igitur 439 ad Iovem perperam referens, id quod Aristarchum quoque fecisse ex schol. ad vs. 439 et 442 apparet ‖ 446 *εἱστήκει* A D] *ἕστ.* Ar. C

XII ὀξὺς ἔην· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίστω 447ᵇ = Λ 328
ῥηιδίως ἐφ' ἅμαξαν ἀπ' οὔδεος ὀχλίσσειαν, 448ᵇ = ι 242
οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα πάλλε καὶ οἶος. 449 = Ε 304
ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει,
ὣς Ἕκτωρ ἰθὺς σανίδων 'φέρε λᾶαν ἀείρας,
αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας,
δικλίδας ὑψηλάς· δοιοὶ δ' ἔντοσθεν ὀχῆες
εἶχον ἐπημοιβοί, μία δὲ κληὶς ἐπαρήρει.
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἐρεισάμενος 'βάλε μέσσας,
εὖ διαβάς, ἵνα μή Ϝοι ἀφαυρότερον βέλος εἴη·
'ρῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς, 'πέσε δὲ λίθος εἴσω
βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι 'μύκον, οὐδ' ἄρ' ὀχῆες
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη
λᾶος ὑπὸ ῥιπῆς. ὃ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ
νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια· 'λάμπε δὲ χαλκῷ
σμερδαλέῳ, τὸν ἔϜεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ
δοῦρ' εἶχ'· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας
νόσφι θεῶν, ὅτ' ἐσᾶλτο πύλας, πυρὶ δ' ὄσσ' ἐδεδήει.
'κέκλετο δὲ Τρώεσσι Ϝελιξάμενος καθ' ὅμιλον
τεῖχος ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντ' ἐπίθοντο·
αὐτίκα δ' οἳ μὲν τεῖχος ὑπέρβασαν, οἳ δὲ κατ' αὐτὰς
ποιητὰς ἐσέχυντο πύλας. Δαναοὶ δ' ἐφόβηθεν
νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ' ἀλίαστος ἐτύχθη. 471 = Π 296

450 τόν Ϝοι ἐλαφρὸν ἔθηκε Κρόνου πάις ἀγκυλόμητις.
450 Zen. om., Aristoph. Ar. —

448 ἐφ' ἅμαξαν C] ἐπ' ἄμ. — ὀχλίσσειαν] ὀχλήσειαν dett., quod fortasse praeferendum h. l. et Ω 567 ι 242, cf. Φ 261; at vid. nº 144 ‖ 450 ἀγκυλόμητις Nauck] -μήτης. — Versus a Zen. recte omissus esse videtur, parum enim apte praecedenti subiungitur. Praeterea robur ferentis sic imminui monebat Ar.; sed hoc non admodum firmum est argumentum, quapropter Lachmann potius vs. 449 delendum censebat ‖ 451 φέρει Ar. codd.] φέροι Townl. ‖ 454 εἴρυντο] pro εἰρύατο vix sanum, vid. nº 119; *ἐρύοντο? cf. nº 132 ‖ 457 δὲ μάλ' ἐγγὺς] l. a. δ' ἄρ' ἐπ' οὐδὸν ‖ 459 ἀπ' A] om. D, ἐπ' Syr. C ‖ 462 ὑπὸ Syr. A D] ὑπαὶ C ‖ 465 *εἶχ'] ἔχεν. — οὔ κεν ... ἐρύκακεν Ar.] οὐκ ἂν ... ἐρυκάκοι. Cf. Γ 453 Ε 311, 388 Ρ 70 ‖ 466 ὄσσ' ἐδεδήει] notabilis est verbi singularis iunctus duali; item Ψ 477 ζ 132 (Ν 617 Τ 17) ‖ 468 *ὀτρύνοντ' ἐπίθοντο] ὀτρύνοντι πίθοντο Ar. codd. (alii -ναντι πίθοντο?)

c. 6246